BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

IMP. IVSTINIANI NOVELLAE

EDIDIT

C. E. ZACHARIAE V. LINGENTHAL

II



1467

LIPSIAE
IN AEDIBVS B.G. TEVBNERI

IMP. IUSTINIANI PP. A.

NOVELLAE QUAE VOCANTUR

SIVE

CONSTITUTIONES QUAE EXTRA CODICEM

SUPERSUNT

ORDINE CHRONOLOGICO DIGESTAE.

GRAECIS AD FIDEM CODICIS VENETI CASTIGATIS

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

PARS II.



LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXXI.

LIPSIAE TYPIS B. G. TEUBNERI.

Auth. 79. XCVII. Nov. 78.

Cap. 1. 2 est in Bas. XLVIII, 26, 1. cap. 4 ex Bas. XXXII, 1, 3 in Πεῖρα 49, 25. — Summae: Iulian. c. 72, Athan. XVIII, 2, Theod. Nov. 78, Ἀνέκδ. mea p. 213.

Ὥστε τοὺς ἀπελευθέρους τοῦ λοιποῦ μὴ δεῖσθαι δικαίου χρυσῶν δακτυλίων καὶ παλιγγενεσίας. καὶ ὥστε τὴν ποίησιν τῶν προικῴων συμβολαίων ἐπὶ τῶν ἀπελευθέρων γυναικῶν αὐτόθεν ἤδη καὶ τὸν γάμον νόμιμον ποιεῖν καὶ τοὺς παῖδας γνησίους· εἰ δὲ καὶ δούλη ἐτύγχανε, καὶ αὐτὴν ἐλευθέραν εἶναι τῇ ποιήσει τῆς προικὸς καὶ τὸν γάμον νόμιμον καὶ τοὺς ἐξ αὐτῆς γνησίους.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Τελείων ἡμῖν ἁπάντων τῶν ἀγαθῶν παρὰ τοῦ μεγάλου θεοῦ δεδομένων, ᾠήθημεν χρῆναι καὶ αὐτοὶ τὰς τῶν οἰκετῶν ἐλευθερίας, ἐπειδὰν παρὰ τῶν δεσποτῶν τῆς προτέρας ἀπαλλάττοιντο τύχης, παντοίως αὐτοῖς καθαράς τε καὶ ἀνοθεύτους καὶ τελείας ἀποτελέσαι. καὶ διὰ τοῦτο καὶ τῆς τῶν deditiκίων ὕβρεως τὰς ἐλευθερίας ἀπηλλάξαμεν καὶ τὰς latinότητας ὡς ἀτελεῖς ἐξεβάλομεν, καὶ τὰς iterationας περιττὰς ἀπεφήναμεν, καὶ τὸν Ἰούνιον[1]) νόμον καὶ τὸ Lar-

1) Ven. *Ἰούλιον*.

gianiov[2]) ἐμισήσαμεν δόγμα ὡς μάτην καὶ τὴν ἀρχὴν εἰσαχθὲν καὶ ὀρθῶς ὕστερον ἐκβεβλημένον, καὶ μόνην κρατεῖν τὴν ῥωμαϊκὴν πολιτείαν ἐπὶ τῶν ἐλευθεριῶν ἠβουλήθημεν, οὐ τόποις οὐχ ἡλικίαις οὐχ ἑτέρῳ τινὶ τὸ πρᾶγμα διακρίναντες. ἐπειδὴ δὲ ἀεὶ τὸ κρεῖττον περὶ τῶν ἡμετέρων ὑπηκόων βουλευόμεθα[3]), καὶ αὐτὸ τὸ τελειότερον δεδομένον μείζοσιν ᾠήθημεν δεῖν ταῖς προσθήκαις αὐξῆσαι·

α΄. Διὰ τοῦτο θεσπίζομεν, εἴ τις ἐλευθερώσας οἰκέτην ἢ θεράπαιναν αὐτοῦ πολίτας αὐτοὺς ἀποφήνειε ῥωμαίους (οὐδὲ γὰρ ἄλλως ἔξεστιν), ἴστω παρὰ τοῦδε τοῦ νόμου ὡς ὁ τὴν ἐλευθερίαν λαβὼν ἕξει παρεπόμενον εὐθὺς καὶ τὸ τῶν χρυσῶν δακτυλίων καὶ τὸ τῆς παλιγγενεσίας δίκαιον, καὶ οὐκ ἐξ ἀνάγκης αἰτήσει τοῦτο παρὰ τῆς βασιλείας ἔτι, οὐδὲ δεήσεται παντελῶς οὐδεμιᾶς πολυπραγμοσύνης, ἀλλὰ τῇ τῆς ἐλευθερίας ἰσχύϊ πάντα ταῦτα συνεισελεύσεται, τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐκ τῆς παρούσης ἡμέρας ἀρχομένης. οὐ γάρ τι τῶν ἔμπροσθεν γενομένων περιεργαζόμεθα, βεβαιοῦμεν δὲ μᾶλλον ἅπαντα τὰ προειληφότα, ὥστε κρατεῖν αὐτὰ καθ᾽ οὓς ἐγένοντο τρόπους. ἀλλὰ τοῦτο μὲν οὕτως ἔχειν θεσπίζομεν.

β΄. Ἐκεῖνο δὲ προσεπισκήπτομεν, ὥστε μηδὲν μηδὲ μετὰ τόνδε ἡμῶν τὸν νόμον βλάπτεσθαι τὰ πατρωνικὰ δίκαια ταῦτα, ἅπερ ἡμεῖς ἐνομοθετήσαμεν, ἐφ᾽ ὧνπερ ὅλως αὐτὰ προσώπων ἐφυλάξαμεν, πλὴν εἰ μὴ καὶ τούτων τὸν ἀπελεύθερον ἀπαλλάξειεν ὁ τὴν ἐλευθερίαν δωρησάμενος, ἢ κατὰ φιδεϊκόμμισσον τοῦτο καταλιπὼν ἢ καὶ κατ᾽ αὐτὴν τὴν ἐλευθερίαν τοῦτο προσθείς. εἰ γὰρ καὶ τοῦτο δοίη, παντελῶς ὁ ἠλευθερωμένος ἀφείσθω καὶ τοῦ πατρωνικοῦ δικαίου, διότι τοῦτο ἐκεῖνος ἐπέσκηψεν. ἐχέτωσαν μὲν οὖν ἅπαντα ταῦτα οἱ τῆς ἐλευθερίας ἠξιωμένοι, φυλαττέτωσάν γε μὴν καὶ μετὰ ταύτην ἡμῶν τὴν θείαν διάταξιν τοῖς εἰς τοιαύτην αὐτοὺς

2) Ven. largitianιον. Hal. λαργινιάνειον. 3) Ven. βουλευόμενοι. Hal. βουλόμεθα. Auth. tractamus.

ἄγουσι τιμὴν πᾶσαν αἰδῶ καὶ τό γε καλούμενον obsequiον καὶ τὴν ἐκ τῶν νόμων ὀρθῶς εἰσενηνεγμένην reverentiam. καὶ μὴν καὶ ἀπεχέσθωσαν ἢ χειρῶν ἢ ἐπιβουλῆς ἢ τῶν ἄλλων, ἐξ ὧν ἀπελεύθεροι τοιοῦτό τι πράττοντες ἀναδούλωσιν κατὰ τοὺς περὶ τούτων γεγραμμένους ὑφίστανται νόμους καὶ ἀποκαθίστανται τῇ προτέρᾳ τύχῃ. εἰ γὰρ οὐδένα παντελῶς ἀχάριστον εἶναι περὶ τὸν δωρησάμενον συνεχωρήσαμεν, κἂν εἰ τῶν εὐγενεστάτων εἴη, ἀλλὰ τὰς δωρεὰς ἀκύρους ἀπεφήναμεν ἐν τοῖς παρ' ἡμῶν ἤδη γραφεῖσι νόμοις καὶ ἐν τοῖς καθ' ἑκάστην παρ' ἡμῶν κελευομένοις, πῶς ἂν ἀνασχώμεθα τὸν ἐλευθερωτὴν τὸν ἐν ἴσῳ πατρὸς περὶ τὸν ἀπελεύθερον διαγενόμενον παρ' αὐτοῦ τι παθεῖν πονηρὸν, ἢ ὕβρεις τυχὸν τραχείας καὶ ἀπρεπεῖς ἢ πληγὰς ἢ μεγάλην καὶ ἀφόρητον ὑποστῆναι ζημίαν; ἀλλ' εἴ τι τούτων νομίμοις ἀποδείξεσιν ἐλέγξοι παθὼν ὁ τὴν ἐλευθερίαν δοὺς ἢ καὶ οἱ τούτου παῖδες, μετὰ τοὺς εἰρημένους ἐλέγχους τὸν ἀπελεύθερον τῷ προτέρῳ δώσομεν σχήματι, τῆς μὲν τῶν ὀνομάτων περιεργασίας καὶ τῆς διὰ ταῦτα ζημίας ἅπαντας ἀπαλλάττοντες, τὸ δίκαιον δὲ πανταχοῦ καὶ ἴσον καὶ νομοθέτῃ πρέπον καὶ ἀρέσκον θεῷ τῷ τε ἀπελευθέρῳ τῷ τε πάλαι δεσπότῃ φυλάξαντες. [§. 1.] ὥστε ἔστωσαν μὲν καὶ ἀπελεύθεροι καὶ εὐγενεῖς εἴτε οἱ πρῴην ἐλευθερωθέντες εἴπερ ῥητῶς αὐτοῖς τοῦτο πεφιλοτίμηται, εἴτε οἱ μετὰ τόνδε ἡμῶν τὸν νόμον εἰς ἐλευθέρους ἀφικνούμενοι, ὡς εὐγενεῖς δὲ ἤδη γενόμενοι βιούτωσαν, καὶ τὴν ὀφειλομένην τιμὴν τοῖς ἐλευθερωταῖς ἀποδιδότωσαν, ὥστε μὴ πάλιν αὐτοὺς καὶ τῆς ἐλευθερίας καὶ τῆς εὐγενείας ἐκπεσεῖν ὡς ἀγνώμονας καὶ ἀχαρίστους ἐληλεγμένους καὶ ὑπὸ τοῦ νόμου καταδεδικασμένους. ἔσονται γὰρ οὕτω διηνεκῶς ἐλεύθεροί τε καὶ εὐγενεῖς, εἰ τοῖς ἐλευθερωταῖς καὶ τοῖς τούτων παισὶν ἀθόλωτόν τε καὶ ἐλευθέραν τὴν ἑαυτῶν αἰδῶ τε καὶ reverentiαν καὶ εὐγνωμοσύνην φυλάξαιεν, ὧν δὴ τηρουμένων οὐ μήποτε εἰς τὴν ἔμπροσθεν κατολισθήσουσι τύχην.

γ'. Εἰ δέ τις ἀπελευθέραν ἀγαγέσθαι βουληθείη καὶ γνησίαν ποιήσασθαι γαμετὴν, ὁποιασοῦν ἀξίας ὢν γαμικὰ συντατέτω συμβόλαια· ταύτην γὰρ μόνην ἀπαιτοῦμεν μετὰ τὴν ἐλευθερίαν τὴν παρατήρησιν. καὶ ἔστωσαν καὶ οἱ προλαβόντες παῖδες καὶ οἱ μετὰ τὰ προικῷα τεχθέντες ἐλεύθεροί τε καὶ εὐγενεῖς, καὶ γνήσιοί γε μὴν τῷ πατρὶ διάδοχοι, τῆς αἰτήσεως τῶν χρυσῶν δακτυλίων καὶ τοῦ δικαίου τῆς παλιγγενεσίας ἀπηλλαγμένοι, καὶ οὐδεμίαν παντελῶς ἔχοντες διαφορὰν πρὸς τὰ λοιπὰ τῶν εὖ γεγονότων συνοικέσια. ἐλευθερία γὰρ τῆς μητρὸς καὶ πρός γε συμβόλαιον γαμικὸν τὴν γονὴν ἐλευθέραν τε καὶ εὐγενῆ καὶ τῷ πατρὶ διάδοχον ἀποδείξουσιν.

δ'. Καὶ οὕτω τῶν πραγμάτων καὶ τῆς ἀληθείας ὅλοι γινόμεθα, ὥστε εἴ τινι καὶ δουλευούσης τῆς γυναικὸς ἐξ αὐτῆς[4]) γένοιντο παῖδες, βουληθείη δὲ ἐκεῖνος ὕστερον τὴν γαμετὴν ἐλευθερῶσαι καὶ προικῷα συντάξαι συμβόλαια, ἅμα τῇ τῶν προικῴων γραφῇ καὶ τοῖς παισὶν ἁρμόσει τό τε τῆς ἐλευθερίας ὁμοῦ καὶ τὸ τῆς γνησιότητος δίκαιον, οὐκ ἐπιζητούντων ἡμῶν ἰδιάζουσαν ἐλευθερίαν ἐπὶ τοῖς παισὶ γενέσθαι, ὥστε ἢ συνελευθερωθῆναι τῇ μητρὶ ἢ καὶ μετ' αὐτὴν ἢ καὶ πρὸ αὐτῆς ἴσως τὴν ἐλευθερίαν λαβεῖν, ἀλλ' ἅμα τῇ γραφῇ τῶν γαμικῶν συμβολαίων εὐθὺς αὐτοῖς καὶ τὴν ἐλευθερίαν χαριζόμεθα. τί γὰρ ἂν μεῖζον δείξειεν ὁ πατὴρ ἐλευθερίας τῶν παίδων σημεῖον ἢ τὸ τὴν γαμετὴν ἀποφῆναι ἐλευθέραν ὁμοῦ καὶ γνησίαν τῇ τῶν γαμικῶν συμβολαίων γραφῇ; εἰ γὰρ στρατιώτης καταλιπὼν πρεσβεῖον τῶν οἰκείων τινὶ θεραπόντων αὐτῇ τῇ δόσει τοῦ πρεσβείου καὶ τὴν ἐλευθερίαν διδόναι δοκεῖ, πῶς οὐκ ἂν πολλῷ μᾶλλον ὁ πατὴρ εἰ γράψειε συμβόλαιον γαμικὸν ἕξει τοὺς ἑαυτοῦ παῖδας ἐξ αὐτοῦ δὴ τούτου καὶ μόνου καὶ ἐλευθέρους καὶ γνησίους διαδόχους; οὐ γὰρ ἄν τις αὐτὸν οἰηθείη βουληθῆναι τὴν

4) Ven. αὐτοῦ.

μὲν τῶν παίδων μητέρα γνησίαν εἶναι καὶ τηλικοῦτον[4a]) *αὐτῇ χαρίσασθαι πάρεργον ἡδονῆς, τοὺς ἑαυτοῦ δὲ παῖδας τοὺς ἐκ τῶν αὐτοῦ φύντας σπερμάτων ἔτι καταλιμπάνειν δουλεύοντας.* [§. 1.] *ταῦτα ὁμοίως μὲν ὑπὲρ τῶν ἐλευθερωτῶν ὁμοίως δὲ ὑπὲρ τῶν ἀπελευθέρων ἐνομοθετήσαμεν. εἰ γὰρ μὴ τὰ ἔμπροσθεν εἰρημένα τοῖς ἐλευθερωταῖς φυλάξομεν, ὀκνηροτέρους ἴσως τοὺς ἀνθρώπους περὶ τὴν τῆς ἐλευθερίας φιλοτιμίαν ἀποτελέσομεν· ἡμῖν δὲ πᾶσα καθέστηκε σπουδὴ τὰς ἐλευθερίας κρατεῖν τε καὶ ἰσχύειν καὶ ἐν τῇ καθ' ἡμᾶς ἀνθεῖν τε καὶ αὐξάνεσθαι πολιτείᾳ· καὶ γὰρ δὴ ταύτης ἕνεκα τῆς ἐπιθυμίας καὶ ἐπὶ Λιβύης καὶ ἐπὶ τῆς Ἑσπέρας τηλικούτους ἠράμεθα πολέμους, ὑπέρ τε τῆς ὀρθῆς πρὸς θεὸν δόξης ὑπέρ τε τῆς τῶν ὑπηκόων ἐλευθερίας.*

ε'. Ποιούμεθα δὲ ξένον οὐδὲν, ἀλλὰ τοῖς ἀρίστοις τῶν πρὸ ἡμῶν αὐτοκρατόρων[4b]) *ἀκολουθοῦντες. ὥσπερ γὰρ Ἀντωνῖνος ὁ τῆς εὐσεβείας ἐπώνυμος, ἐξ οὗπερ καὶ εἰς ἡμᾶς τὰ τῆς προσηγορίας ταύτης καθήκει, τὸ τῆς ῥωμαϊκῆς πολιτείας πρότερον παρ' ἑκάστου τῶν ὑπηκόων αἰτούμενον καὶ οὕτως ἐκ τῶν καλουμένων* peregrin*ων εἰς ῥωμαϊκὴν εὐγένειαν ἄγον*[5]) *ἐκεῖνος ἅπασιν ἐν κοινῷ τοῖς ὑπηκόοις δεδώρηται, καὶ ὅ γε Θεοδόσιος ὁ νέος μετὰ Κωνσταντῖνον τὸν μέγαν τὸν τῆς ἱερᾶς ταύτης πόλεως οἰκιστὴν τὸ τῶν παίδων δίκαιον πρότερον αἰτούμενον ἐν κοινῷ δέδωκε τοῖς ὑπηκόοις, οὕτω καὶ ἡμεῖς τοῦτο δὴ τὸ τῆς παλιγγενεσίας τε καὶ τὸ τῶν χρυσῶν δακτυλίων ἑκάστῳ τῶν αἰτούντων διδόμενον, καὶ ζημίας παρεχόμενον ἀφορμὴν καὶ πολυπραγμοσύνης καὶ τῆς παρὰ τῶν ἐλευθερωτῶν δεόμενον αὐθεντίας, ἅπασιν ὁμοίως τοῖς ὑπηκόοις αὐτόθεν δίδομεν. ἀποκαθίσταμεν γὰρ τῇ φύσει τοὺς τῆς εὐγενείας ἀξίους οὐ*

4a) *τηλικοῦτο?* 4b) l. 17 D. de statu hom. l. 1 C. de iure liberor. 5) Ven. *ἄγων*, quocum licet Hal. Auth. consentiant, tamen ex Hal. coniectura omnino *ἄγον* scribendum est, nisi malueris cum Auth. *αἰτούμενος* pro *αἰτούμενον* legere.

καθ' ἕνα τὸ λοιπὸν, ἀλλὰ πάντας ἐφεξῆς τοὺς ἐλευθερίας παρὰ τῶν κεκτημένων ἀξιουμένους, ἵνα καὶ ταύτην μεγάλην τινὰ καὶ γενικὴν φιλοτιμίαν τοῖς ἡμετέροις ὑπηκόοις προσθείημεν.

Ὅσα τοίνυν ὑπὲρ τῆς τῶν ὑπηκόων φιλανθρωπίας παρέστη τῷ ἡμετέρῳ κράτει κἀν τῷδε τῷ νόμῳ[6]*, ταῦτα ἡ σὴ ὑπεροχὴ μανθάνουσα τοῖς ἡμετέροις ὑπηκόοις κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν δῆλα ποιησάτω διὰ προγραμμάτων οἰκείων, ἐνταῦθά τε καὶ ἐν ταῖς ἐπαρχίαις, ὥστε μαθεῖν, ὅτι τῶν ἡμετέρων ὑπηκόων ἐφ' ἑκάστης κηδόμεθα, τὰ πρὸς λυσιτέλειαν αὐτῶν νομοθετοῦντες. κρατήσει δὲ ὁ νόμος ἐν τοῖς ἐφεξῆς ἅπασι καὶ τοῖς μετ' αὐτὸν ἀποβαίνουσι θέμασι· τὸ γὰρ φθάσαν οὐ περιεργαζόμεθα.* Dat. XV. Kal. Febr.[7]) CP. imp. DN. Iustiniani PP. Aug. ann. XII. Apione V. C. Cons.

Nov. 79. XCVIII. Auth. 80.

Hal. nonnisi rubricam et inscriptionem habet. — Summas praestant Iulian. c. 73, Ath. I, 15, Theod. Nov. 79, denique Nomoc. XIV titt. IX, 1.

Παρὰ τίσι χρὴ δικάζεσθαι μοναχοὺς καὶ ἀσκητρίας.

Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ.[1])

Πρᾶγμα μαθόντες ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως οὐκ ὀρθὸν γίνεσθαι ᾠήθημεν κοινῷ νόμῳ τοῦτο θεραπεῦ-

6) Equidem *δηλοῦται* pro *ταῦτα* scribendum esse putaverim. 7) Ven. FEBR.CR (Februar?). quod Auth. „Septembr." habet, forsitan ex simili scriptura perperam lecta ortum est. Athan. et Theod. mensem Februarium habent, Athan. autem simpliciter *καλ. φεβρ.* scribit; sic etiam Auth. simpliciter Kal. Sept.

1) Hal.: *Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.* scilicet Ioanni quoque exemplar scriptum est, ut Auth. in fine huius constitutionis scribit.

σαι, ἀρχόμενοι μὲν ἀπὸ ταύτης τῆς εὐδαίμονος πόλεως, εἰς ἅπασαν δὲ αὐτὸ τὴν ὑπήκοον ἐκτείνοντες. τινὲς γὰρ τὴν τῆς ὀρθοδόξου πίστεως σεμνότητα βουλόμενοι διαφθείρειν, εἴ τινα δίκην ἔχοιεν δῆθεν ἢ πρὸς μοναχοὺς ἢ προς ἀσκητρίας, προσίασι τοῖς πολιτικοῖς ἄρχουσιν, οἱ δὲ ἐκπέμπουσι πράκτορας ἀξιοῦντας ἔνδον τε γενέσθαι τῶν ἱερῶν τόπων καὶ μοναχοὺς ἐξέλκειν καὶ μοναστρίαις ἤτοι ἀσκητρίαις ἐνοχλεῖν ἴσως καὶ ἀθεάτοις οὔσαις, κἀντεῦθεν ὕβριν τε καὶ σύγχυσιν οὐ μικρὰν τοῖς προσκυνητοῖς γίνεσθαι[2]) τόποις.

α΄. Διὰ τοῦτο τοίνυν θεσπίζομεν, εἴ τις οἱανοῦν ἔχοι δίκην πρός τινας τῶν εὐλαβεστάτων ἀσκητῶν[2a]) ἢ τῶν ἱερωμένων παρθένων ἢ γυναικῶν ἐν μοναστηρίοις ὅλως οὐσῶν, τῷ θεοφιλεστάτῳ πόλεως ἑκάστης ἐπισκόπῳ προσιέναι, τὸν δὲ πέμπειν καὶ μετὰ πάσης σεμνότητός τε καὶ εὐσχημοσύνης τὰ περὶ τῆς τῶν προσώπων παρουσίας διατάττειν, εἴτε δέοι διὰ τῶν ἡγουμένων εἴτε διὰ τῶν ἀποκρισιαρίων εἴτε δι᾽ ἑτέρων τινῶν παραγίνεσθαι· αὐτὸν δὲ μετὰ τῆς ἱερατικῆς σεμνότητος τὸ πρᾶγμα ἐξετάζειν καὶ κρίνειν, καὶ πολιτικοὺς μὴ εἶναι παντελῶς αὐτοῖς δικαστὰς μηδὲ καταισχύνειν τὴν αὐτῶν σεμνότητα, ἱκανῶν ὄντων τῶν θεοφιλεστάτων ἑκάστης πόλεως ἐπισκόπων καὶ τὰ περὶ τῆς δίκης καὶ τὰ περὶ τῆς ἀσφαλείας τῶν δικῶν διατυποῦν, καὶ κρίνειν αὐτὰς σεμνῶς τε καὶ ἱερατικῶς κατὰ τοὺς νόμους τοὺς ἡμετέρους καὶ τοὺς θείους κανόνας. οὕτω γὰρ καὶ οἵ τινα λόγον ἔχειν οἰόμενοι τεύξονται τῶν δικαίων, καὶ ἡ σεμνότης τῶν ἱερῶν ἄθικτός τε καὶ ἀκέραιος φυλαχθήσεται.

β΄. Κοινὸς τοίνυν ὁ νόμος ἔστω, καὶ ἐχέτω τὴν φυλακὴν παρά τε τῶν ἐνδοξοτάτων ἐπάρχων τῶν ἐν ἁπάσαις ὄντων ταῖς διοικήσεσι (τῆς τε Ἰλλυρίδος φαμὲν καὶ Λιβύης Ἰταλίας τε καὶ τῆς δύσεως ὅλης) τῶν τε ἐνδοξοτάτων ὑπάρ-

2) Aut paulo ante scribendum ὥστε ἐντεῦθεν aut sermo ἀνακόλουθος est, quum ὕβρις τε καὶ σύγχυσις οὐ μικρὰ γίνεται scribi debuisset. 2a) ἀσκητριῶν?

χων τῆς ἑκατέρας[3]) Ῥώμης τοῦ τε μεγαλοπρεπεστάτου πραίτωρος τῶν δήμων καὶ τῶν ἀρχόντων τῶν ἐθνῶν καὶ τῶν αὐτῶν τάξεων, ὥστε μηδεμίαν αὐτοῦ γενέσθαι παντελῶς παραφθορὰν, ἀλλὰ ἀκέραιον αὐτὸν πρὸς τιμὴν τῶν εὐλαβεστάτων μοναχῶν φυλάττεσθαι. ταῦτα δὲ καὶ ἡ σὴ μακαριότης μανθάνουσα αὐτή τε παραφυλαξάτω ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως καὶ τῶν αὐτῇ περιοικίδων, γράμμασί τε χρησάσθω πρὸς τοὺς θεοφιλεῖς τῶν πόλεων μητροπολίτας ὧν αὐτὸς ἀναδέδεξαι τὴν χειροτονίαν, προτάττουσα τῶν οἰκείων γραμμάτων τόνδε ἡμῶν τὸν θεῖον νόμον· οἵ δὲ τοῖς ὑπ᾿ αὐτοὺς ἐπισκόποις ταῦτα μηνύσουσιν, ὥστε ἐξ ὀλίγου τούτου τοῦ γράμματος μίαν συνέχειαν τοῦ νόμου ἐφ᾿ ἅπασαν προελθεῖν τὴν ὑπήκοον. ἀλλὰ καὶ ἐπιταχύνεσθαι τὰς δίκας θεσπίζομεν τὰς μοναχοῖς ἐπαγομένας, ὥστε μὴ τὴν διάνοιαν αὐτῶν ἀπασχολεῖσθαι περὶ τὰς τῆς δίκης φροντίδας, ἀλλὰ θᾶττον ἀπαλλαγέντας τῶν θειοτέρων ἔργων ἀντέχεσθαι.

γ΄. Ἴστω τοίνυν ὁ παρὰ ταῦτά τι πράττων, εἰ μὲν ἄρχων εἴη ὁ τοιαύτην ἐνεγκεῖν ψῆφον θαῤῥήσας, ὡς τῆς τε ἀρχῆς ἀπελαθήσεται οἷα εἰς τὸ θεῖον ἐξυβρίσας, ποινῇ τε decem librarum auri ἅμα τῇ αὐτοῦ τάξει ζημιωθήσεται τῷ ἱερωτάτῳ ἡμῶν [δο]θησομένῃ[4]) ταμιείῳ· εἰ δέ γε πράκτορες[4a]) οἵ τολμήσαντες προσαγαγεῖν ὅλως ὑπόμνησιν, ὑπ᾿ αὐτῶν τῶν θεοφιλεστάτων ἐπισκόπων κωλυέσθωσαν καὶ καθειργέσθωσαν ἐν τοῖς καλουμένοις δεκανικοῖς, ποινὰς τὰς προσηκούσας ὑφέξοντες καὶ ἐκβιβασμὸν οὐδενὶ τὸ λοιπὸν προσαγαγεῖν συγχωρούμενοι.

Τούτου κρατοῦντος τοῦ νόμου, εἴ τις πρός τινα τῶν εὐλαβεστάτων μοναχῶν ἢ παρθένων ἢ γυναικῶν ὅλως ἱερωμένων καὶ ἐν εὐαγέσι μοναστηρίοις οἰκούντων ἔχοι. περὶ γὰρ δὴ κληρικῶν καὶ τῆς τάξεως τῆς ἐναγωγῆς τῆς αὐτῶν

3) Ven. πρεσβυτέρας, sed supra lineam ἑκατέρας. 4) Ven. θησομένῳ. 4a) Adde εἶεν.

ἤδη νόμους ἐγράψαμεν, οὓς κρατεῖν καὶ κυρίους εἶναι κατὰ πάντα βουλόμεθα τρόπον.[5]) Dat. VI Idus Martii[6]) Constantinop., imp. DN. Iustiniani Aug. ann. XII. Apione V. C. Cons.

Auth. 81. XCIX. Nov. 80.

Epanag. V, 1—10. Basil. VI, 6, 5—14. — Summas praestant Iulian. c. 74, Athan. IV, 14, Theod. Nov. 80.

Περὶ τάξεως καιαίστωρος καὶ τῶν βοηθῶν αὐτοῦ καὶ τῶν ἀντιγραφέων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) *καὶ πατρικίῳ.*

Ἀεὶ μετὰ τῆς τοῦ[2]) *θεοῦ βοηθείας πᾶσαν ποιούμεθα πρόνοιαν τοῦ τὸ ὑπήκοον τὸ παρὰ τῆς αὐτοῦ φιλανθρωπίας παραδοθὲν ἡμῖν ἀβλαβὲς φυλάττεσθαι. τοιγαροῦν καὶ νόμους τίθεμεν πάσης ἐν αὐτοῖς ἐπιμελούμενοι δικαιοσύνης, καὶ τὸ κατὰ μικρὸν ὀλισθαῖνον ἀνακτᾶσθαι σπεύδομεν, καὶ πρός γε καὶ ἀρχὰς ἐπινοοῦμεν, αἵπερ σωφρονίζουσαι τὸ ἀκοσμοῦν μετριώτερα ποιοῦσι τὰ πλημμελήματα. ὁποῖον δή τι τὸ τοῦ πραίτωρος τοῦ δήμου κατὰ ταύτην πεποιήκαμεν*[2a]) *τὴν μεγάλην πόλιν, λυσιτελέστατον ἐξ αὐτῆς τῆς τῶν πραγμάτων πείρας ἅπασι τοῖς τὴν βασιλίδα ταύτην ἡμῶν πόλιν οἰκοῦσιν ἀποδειχθέν. ἐκ τοίνυν ταύτης τῆς πείρας καὶ ἕτερόν τι θεραπείας δεόμενον προσμηχανήσασθαί τε καὶ ἐξευρεῖν νόμῳ τε καὶ ἀρχῇ δίκαιον ἡγησάμεθα. εὕρομεν γάρ, ὅτι κατὰ μικρὸν*

5) Auth. addit: Scripta exemplaria Ioanni viro gloriosissimo praefecto sacrorum Orientis praetoriorum secundo exconsuli ordinario et patricio. scripta exemplaria Basilidi gloriosissimo magistro sacrorum officiorum. scripta exemplaria Longino gloriosissimo praefecto urbis. 6) Theod. ut assolet *μηνὶ μαρτίῳ*. Athanasii lectio non satis certa: *εἰδ. μαΐαις* vel ... *μαρτ.*

1) Adde *ὀρδιναρίῳ*. 2) Hal. *ἐκ θεοῦ*. 2a) c. XXXVIII.

αἱ μὲν ἐπαρχίαι τῶν ἑαυτῶν οἰκητόρων γυμνοῦνται, ἡ μεγάλη δὲ αὕτη πόλις ἡμῶν διενοχλεῖται πλήθους[3]) διαφόρων ἀνθρώπων, καὶ μάλιστα γεωργῶν, τάς τε οἰκείας πόλεις καὶ τὴν γεωργίαν ἀπολιμπανόντων.

α΄. Ταῦτα ἡμᾶς εἰς τὸν παρόντα νόμον ἰδεῖν παρεσκεύασε καὶ εἰς τὴν ἀρχὴν τὴν νῦν παρ' ἡμῶν σχεδόν τι καινουργουμένην, ἧπερ οὐκ ὀκνοῦμεν ἐκ τοῦ δημοσίου καὶ σίτησιν ἐπιδοῦναι καὶ ταύτην αὐτάρκη, καὶ τάξιν προσκαταστῆσαι, καὶ τὸν ἐκ ῥαθυμίας αὐτῇ κίνδυνον ἐπιστῆσαι. τῇ μὲν οὖν ἀρχῇ καὶ τῷ ταύτην παραλαμβάνοντι τὸ τοῦ quaestoros[3a]) ἐπιτίθεμεν ὄνομα· οὕτως γὰρ δὴ καὶ οἱ τὴν ἀρχὴν αὐτὴν ἐξευρόντες (φαμὲν δὲ καὶ ἐν τοῖς ἀνωτάτω χρόνοις) ἐρευνάδας ἐκάλουν τοὺς εἰς ταύτην ἀφικνουμένους τὴν τάξιν. βουλόμεθα δὲ τὸν τὴν ἀρχὴν ἔχοντα ταύτην ἀφορῶντα πρὸς θεὸν καὶ τὸ ἡμέτερον δέος καὶ τὸν νόμον ἀναζητεῖν τοὺς ἐπὶ τῆς μεγάλης ταύτης ἐπιδημοῦντας πόλεως, ἐξ οἱασδήποτε χώρας εἶεν, εἴτε ἄνδρας εἴτε γυναῖκας εἴτε κληρικοὺς εἴτε μοναχοὺς ἢ ἀσκητρίας εἴτε τῶν ἔξω πόλεων συνηγόρους ἢ καὶ ἄλλης οἱασοῦν τύχης τε καὶ ἀξίας, καὶ περιεργάζεσθαι τίνες τε εἶεν καὶ πόθεν ἥκοιεν καὶ ἐπὶ ποίᾳ προφάσει. καὶ εἰ μὲν γεωργοί, σκοπεῖν τοὺς οἷς τῶν ἡμετέρων ἀρχόντων αἱ κατ' αὐτοὺς προσήκουσιν ὑποθέσεις καὶ τούτοις ἐπικεῖσθαι, συντόμως τε αὐτοὺς ἀπαλλάττειν τῶν δυσκόλων δι' ἅπερ ἂν ἐνταυθοῖ παραγεγόνασι, καὶ ὅτι τάχιστα τούτους ὅθεν ἥκουσιν ἐκπέμπειν τῶν προσηκόντων ἀπολαύσαντας.

β΄. Εἰ δέ τινες εἶεν γεωργοὶ τελοῦντες ὑπὸ δεσπότας[4]) καὶ δεόμενοι τούτων εἰς ταύτην παραγεγόνασι τὴν βασιλίδα πόλιν, παρασκευάζειν τοὺς κεκτημένους θᾶττον αὐτοῖς διακρίνειν τὰ ἐφ' οἷς ἀφίκοντο πράγματα, καὶ ἐκπέμπειν αὐτίκα τυχόντας τῶν δικαίων. εἰ δὲ ὡς εἰκὸς εἰς ἐναντίωσιν

3) πλήθεσι? 3a) Ven. quaestoros. Hal. κοιαίστωρος.
4) Ven. δεσποτείας, quod propter sequens τούτων cum Auth. in δεσπότας mutandum fuit.

τῶν κεκτημένων παρεγένοντο καὶ πρὸς αὐτοὺς λέγοιεν δίκας, εἰ μὲν πλῆθος εἴη, τοὺς μὲν πολλοὺς ἀποπέμπειν παραχρῆμα πρὸς τὴν χώραν δύο ἢ τριῶν καταλιμπανομένων, οἵπερ κατὰ τοῦ συνδίκου σχῆμα τὴν δίκην ἀγωνιοῦνται· καὶ οὕτω δὲ αὐτὸν ἐπικεῖσθαι τῷ τῆς δίκης ἀκροατῇ καὶ παρασκευάζειν ὅτι τάχιστα τέμνειν τὰς ὑποθέσεις, ἵνα μὴ μῆκος αὐτοῖς ἐγγίνοιτο χρόνου, καὶ μάλιστα γεωργοῖς, ὧν ἥ τε ἐνταῦθα παρουσία περιττὴ ἥ[5]) τε ἐκ τῆς γεωργίας σχολὴ βλάβος αὐτοῖς τε καὶ τοῖς κεκτημένοις ποιεῖ.

γ΄. Εἰ δὲ οὔτε γεωργικὸν εἴη τὸ ἐπιδημοῦν πλῆθος, ἀλλά τινες τυχὸν ἕτεροι ἢ καὶ δικασόμενοι πρὸς ἑτέρους, καὶ ἐνταῦθα χρονίζοιεν, μὴ ἐνδιδόναι, ἀλλὰ σὺν πάσῃ συντονίᾳ τοὺς δικαστὰς ἐπείγειν μετὰ σπουδῆς αὐτοὺς τῶν ἀμφισβητουμένων ἀπαλλάττειν τε καὶ τῶν δικῶν ἐλευθερουμένους ἐκπέμπειν, ὥστε αὐτοὺς τὰς οἰκείας χώρας τε καὶ πόλεις οἰκεῖν. εἰ δὲ πολλάκις ἐνοχλήσαντος τῷ ἀκροωμένῳ τῆς δίκης ἢ τοῖς τῶν γεωργῶν κυρίοις τοῦ παρ᾽ ἡμῶν καταστάντος ἄρχοντος, ἐφ᾽ ᾧ τοὺς δικαζομένους ἢ προσεδρεύοντας ἐλευθερῶσαι, αὐτοὶ πρὸς τοῦτο ἀναβάλλοιντο καὶ μὴ θᾶττον αὐτοὺς ἢ τῆς δίκης ἢ τοῦ προσεδρεύειν αὐτοῖς ἀπαλλάξουσι, τηνικαῦτα αὐτὸν τὸν παρ᾽ ἡμῶν ἐπὶ ταύτης τῆς ἀρχῆς προβληθέντα ἄγειν εἰς ἑαυτὸν τοὺς δικαζομένους ἢ δεομένους τινὸς τῶν δικαίων παρὰ τῶν κεκτημένων εἶτα μὴ τυγχάνοντας, καὶ ἐξετάζειν καὶ ἐν τάχει διατιθέντα[6]) ἐφ᾽ οἷς ἐκεῖνοι ταύτῃ τῇ μεγάλῃ προσεδρεύουσι πόλει, πρὸς τὰς οἰκείας ἐκπέμπειν πατρίδας ἢ ὅλως ἐξ ὧν ἥκουσι τόπων, πᾶσιν ἀνῃρημένης πρὸς τοῦτο προνομίας τε καὶ φόρου παραγραφῆς.

δ΄. Εἰ δὲ βίου πρόφασίν τινες ἢ δίκης αἰτίαν οὐκ ἔχοντες ἐπὶ ταύτης εἰσὶ τῆς ἡμετέρας πόλεως, ὥστε διαζῆν ἢ ἐκ τοῦ μεταιτεῖν ἢ τούτου πρὸς τὰς αὐτῶν ἐπιθυμίας

5) Ven εἰ. 6) Scil. τὸν ἐπὶ τῆς ἀρχῆς προβληθέντα. Ven. et Flor. διατιθέντας.

οὐκ ἀρκοῦντος ἤδη καὶ πλημμελεῖν, τὴν τῶν σωμάτων αὐτῶν κατάστασιν ὁποία τίς ἐστιν ἐποπτεύειν, καὶ εἰ μὲν ἔῤῥωται αὐτοῖς τὰ σώματα, δυνατοὶ δὲ[7]) ἀρκεῖν πρὸς πόνον εἰσὶν, εἰ μὲν οἰκέται τινῶν εἶεν, μανθάνειν τίνων εἰσὶ καὶ τούτους καὶ ἄκοντας τοῖς κεκτημένοις ἐκπέμπειν, εἰ δὲ ἐλεύθεροι τὴν τύχην καὶ ἔκ τινων ἐπαρχιῶν ἢ πόλεων ὁρμώμενοι, τούτους ἐκπέμπειν εἰς τὰς ἐξ ὧν εἰσὶν ἐπαρχίας.

ε΄. Εἰ δὲ αὐτόχθονες εἶεν καὶ σώμασι μὲν ἐῤῥωμένοις χρῶνται, βίου δὲ αὐτοῖς εὐπρεπὴς οὔκ ἐστι πρόφασις, τούτους μὴ μάταιον εἶναι τῆς γῆς ἄχθος συγχωρεῖν, ἀλλὰ παραδιδόναι θᾶττον αὐτοὺς τοῖς τε τῶν ἔργων τῶν δημοσίων τεχνίταις εἰς ὑπουργίαν, τοῖς τε προεστῶσιν ἀρτοποιητικῶν ἐργαστηρίων καὶ τοῖς τοὺς κήπους ἐργαζομένοις καὶ ἄλλοις διαφόροις τεχνίταις[8]) ἢ καὶ ἐργασίαις, ἐν αἷς ἰσχύουσιν ἅμα μὲν κάμνειν ἅμα δὲ ἀποτρέφεσθαι, καὶ τὸν ἀργὸν οὕτως ἐπὶ τὰ κρείττω μεταβάλλειν βίον. [§. 1.] εἰ δέ τινες μὴ βουληθῶσι προσεδρεύειν ταῖς ἐργασίαις αἷς παρεδόθησαν, τούτους ἀπελαύνειν ταύτης τῆς βασιλίδος πόλεως. φειδόμενοι γὰρ αὐτῶν ταῦτα νομοθετοῦμεν, ὅπως ἂν μὴ τῆς ἀργίας αὐτοὺς εἰς ἀτόπους πράξεις συνωθούσης οἱ νόμοι τούτους ἁρπάζοιεν πρὸς ποινὰς τοῖς ἡμετέροις παραδιδόντες ἄρχουσι. τοὺς δέ γε βεβλαμμένους ἢ βεβλαμμένας τὸ σῶμα ἢ τῇ πολιᾷ βαρεῖς[9]) τούτους ἀνενοχλήτους εἶναι κελεύομεν ἐπὶ ταύτης τῆς ἀγαθῆς πόλεως παρὰ τῶν εὐσεβεῖν βουλομένων ἀποτρεφομένους· καὶ τῶν ἄλλων ἕκαστον ἀνερωτᾶν, τίνος παρεγένοντο χάριν, καὶ πυνθανόμενον τὰ εἰκότα ἐπ᾽ αὐτοῖς πράττειν, ὥστε μὴ ἀργοὺς ἐνταῦθα καθῆσθαι, ἀλλὰ τὰ προσήκοντα πράξαντας εἰς τὰς οἰκείας ἐπανελθεῖν χώρας.

7) τε? 8) Hal. Epan. Bas. *τέχναις*, consentiente Auth. Mox Epan. et Auth., *καὶ* omittunt. utrumque probaverim. 9) Ven. *τῇ πόλει ἀβαρεῖς*.

ϛʹ. Εἰ δέ τινες ἢ τῶν ἐπὶ ταύτης οἰκούντων τῆς πόλεως ἢ καὶ τῶν ἔξωθεν παραγινομένων μέμφοιντό τισιν, ὡς παρ᾽ αὐτῶν ζημιωθέντες, κατὰ πρόφασιν τυχὸν τῶν λεγομένων σπορτούλων ἢ καὶ τῶν ἐντεῦθεν ἀδικιῶν, καὶ φάσκοιεν αὐτοὺς ἢ παραβῆναι τοὺς ὑπὲρ τούτων ἡμῶν νόμους ἢ καὶ χωρὶς ἀρχικῆς προστάξεως ὑπόμνησιν αὐτοῖς προσαγαγεῖν, ζητεῖν ἀκριβῶς τοὺς ταῦτα πλημμελήσαντας, ὁποίας εἶεν ἀξίας τε καὶ στρατείας καὶ ὑφ᾽ οἱανοῦν τελοῖεν ἀρχὴν, καὶ τούτους ἅμα μὲν συλλαμβάνειν, ἅμα δὲ μετ᾽ ἐλέγχους τὰς ἠπειλημένας κατὰ τοὺς ἡμετέρους νόμους εἰσπράττειν ποινὰς, οὐδενὸς τῶν προσφόρων αὐτοῖς ἀρχόντων ἀντιποιεῖσθαι τούτων[9a]) δυναμένου. καὶ τοῦτο μὲν ἀζημίους φυλάττειν τοὺς ἠδικημένους ἀπολαμβάνοντας ἅπερ παρὰ τὸν νόμον ἀπῄτηνται, τοῦτο δὲ τὰς ποινὰς τὰς παρὰ τῶν ἡμετέρων ὡρισμένας διατάξεων προσαπαιτεῖν, καὶ εἰς ἡμᾶς τὰ περὶ αὐτῶν ἀναφέρειν ἔνθα ἂν καὶ συνείδοιμεν[10]) δοθησομένας.

ζʹ. Πρὸς τούτοις δὲ καὶ ὅσα μέμψιν λαμβάνει παραποιήσεως ἤτοι τῆς καλουμένης πλαστογραφίας ἐν οἱῳδήποτε πράγματι ταῦτα ἀναζητεῖν, καὶ τοὺς ἐπὶ τούτοις προσαγγελλομένους συνέχειν, καὶ μετὰ γραφὴν καὶ ἐλέγχους τιμωρεῖσθαι τούτους· καὶ γὰρ τῆς τοιαύτης ἀκροάσεως δίδομεν ἐξουσίαν αὐτῷ. εἰ δέ τις τῶν τὰ τοιαῦτα ἠδικημένων προσαγγείλειε ταῦτα τῷ παρ᾽ ἡμῶν προβληθέντι κατὰ τὸν παρόντα νόμον ἄρχοντι καὶ μὴ δικαίας τύχῃ προνοίας, ὡς ἀναγκασθῆναι καὶ εἰς ἡμᾶς ἤτοι τὴν ἀεὶ βασιλείαν ταῦτα προσαγγέλλειν, ἴστω σαφῶς ὁ τὴν ἀρχὴν ταύτην παραλαβὼν, ὡς αὐτὸς οἴκοθεν ἀποδώσει ταῦτα τῷ παρ᾽ αὐτοῦ ῥᾳθυμηθέντι κακῶς, ἅπερ ἐχρῆν αὐτὸν παρὰ τοῦ πλημμελήσαντος λαβεῖν, πρὸς τὸ καὶ μείζονος ἀγανακτήσεως ἡμετέρας πειρᾶ-

9a) *τούτῳ?* 10) Epan. *συνείδοι*, quod praestare crediderim. nimirum quaestor ad imperatorem referre iubetur, ut imperator poenas lege non determinatas imponere possit.

σθαι δικαίως, οἷα τὰς ἡμετέρας κελεύσεις ὑπερβῆναι θαῤῥήσαντα.

η΄. Μέγιστον δὲ πάντων ὁ τήνδε τὴν ἀρχὴν ἔχων καὶ διηνεκὲς τοῦτο θήσεται σπούδασμα, τὸ καθαραῖς ταῖς χερσὶν ἅπαντα πράττειν, καὶ τοὺς ὑπουργοῦντας ἔχειν μὴ ῥυπῶντας μηδὲν[10a]) μηδὲ αἰσχροῦ λήμματος ἐλάττους, ἀλλ᾽ αὐτόν τε καθαρῶς καὶ ἐλευθέρως ἄρχειν, καὶ εἴ τι τοιοῦτο παρὰ τῶν ὑπηρετουμένων πλημμελούμενον εὕροι, τοῦτο καὶ κολάζειν, καὶ ἐξ αὐτῶν πρῶτον δεικνύναι τὴν ἑαυτοῦ στεῤῥότητα ὁμοῦ καὶ σωφροσύνην. διὰ τοῦτο γὰρ δὴ καὶ decem librarum auri προφάσει δαπάνης ὁρίζομεν αὐτῷ, καὶ τῷ αὐτοῦ παρέδρῳ solidos centum, καὶ τοῖς γε ὑπηρετουμένοις αὐτῷ κατὰ τὴν τῆς δαπάνης αἰτίαν solidorum trecentorum triginta δίδομεν σίτησιν (ὧν καὶ ἀπογραφὴν ὑποτεθῆναι τῷδε τῷ νόμῳ προσετάξαμεν), ἵνα ταῖς ἐκ τοῦ δημοσίου φιλοτιμίαις ἀρκούμενοι τῶν ἀλλοτρίων ἀπόσχοιντο. οὕτως ἔσονται θεοῦ τε καὶ ἡμῶν ἀκριβεῖς θεραπευταὶ, καὶ τῆς ἐξ οὐρανοῦ τε καὶ ἡμῶν ἀπολαύοντες προνοίας καὶ τοῖς τῆς ἀρχῆς πράγμασιν εὐκολώτερόν τε καὶ νομιμώτερον χρώμενοι.

θ΄. Δίδομεν δὲ τῷ τὴν ἀρχὴν ἔχοντι παῤῥησίαν καὶ ἄρχουσιν ἐνοχλεῖν, καὶ εἰς ἡμᾶς ἀναφέρειν καὶ οἴκοθεν πράττειν τὰ προσήκοντα, ἵνα μήτε ἀσθένειαν μήτε ἄλλο τὶ παντελῶς αἰτιώμενος τῆς ἡμετέρας ἐπ᾽ αὐτῷ κρίσεως ἐλάττων φανείη. ἄδειαν δὲ ὁμοίως αὐτῷ δίδομεν δημοσίαις ἐπιστολαῖς χρῆσθαι πρὸς τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους, ὥστε τοὺς ἐκπεμπομένους παρ᾽ αὐτοῦ παραπέμπειν εἰς τὰς αὐτῶν χώρας, ἀπραγμόνως ἐκεῖσε διάξοντας καὶ εἴ τινος δέονται βοηθείας νομίμου ταύτην ληψομένους. κἀκείνου μάλιστα προνοεῖν, ὥστε μὴ περὶ[11]) τῶν αὐτῶν δὶς ἐνοχλεῖσθαι, τῷ πολλάκις τοὺς ἐνταῦθα μάτην ἐμφωλεύοντας εἶτα ἀποπεμφθέντας παρ᾽ αὐτοῦ πάλιν ἐπανιέναι, καὶ εὐθὺς ὑπο-

10a) Hal. et Epan. μηδὲν omittunt. 11) Hal. παρά. non male.

στρέφοντας δευτέρων αὐτῷ πραγμάτων παρέχειν ἀφορμάς. εἰ γὰρ πάλιν ἐπὶ τῆς εὐδαίμονος ταύτης λάβοι πόλεως ἐμφωλεύοντας μάτην τοὺς ἀπαλλαγέντας καὶ ἐπὶ τὴν οἰκείαν χώραν ἀποπεμφθέντας, τούτοις καὶ σωφρονισμὸν ἐπιθήσει πρέποντα καὶ σφοδρότερον αὖθις ἐκπέμψει. οὕτως ἡμῖν τὰ τῶν ἔξω πόλεων οἰκισθήσεται, καὶ ἡ μεγάλη πόλις αὕτη συγχύσεως ἐλευθερωθήσεται. εἰ δὲ καί τινας συνείδοι τῆς αὐτοῦ τάξεως ἐν τοῖς πέραν ὁρμητηρίοις ἱδρῦσαι, οἵπερ καὶ τοῖς ἔξωθεν ἀφικνουμένοις ἐντεύξονται, καὶ τοὺς ἐντεῦθεν πεμπομένους δεχόμενοι εἰς τὰς ἐπαρχίας ἐκπέμψουσι, καὶ τοῦτο πράξει, τὸ συμφέρον τῷ πολιτεύματι διὰ πάντων θηρεύων.

ι΄. Ταῦτα ἅπαντα νομοθετοῦμεν τῶν ἡμετέρων ὑπηκόων κηδόμενοι καὶ ὥστε μὴ τὰς οἰκείας ἀπολιμπάνοντας πατρίδας ἐνταῦθα ταλαιπωρεῖσθαι καὶ τελευτᾶν ἴσως τῶν οἰκείων ἐστερημένους καὶ μηδὲ πατρῴων ἀπολαύοντας τάφων, διότι καὶ τοῖς πρὸ ἡμῶν τεθεικόσι τοὺς νόμους καὶ πολιτείας συστησαμένοις ταῦτα οὐ παρέργως ἐσπουδάσθη, ἀλλὰ καὶ ἀργίας ἦν τις γραφὴ, καὶ τὸ ξενικὸν ἅπαν περιειργάζοντο. καὶ οὐ καινὸν οὐδὲ ἄηθες τοῦτο τοῖς πράγμασίν[12]) ἐστι τὸ σπούδασμα, ἀλλὰ καλὸν μὲν καὶ ἀρχαῖον ἀμεληθὲν δὲ ἐν μέσῳ παρὰ τῆς ἅπαντα καταβλαψάσης ῥαθυμίας κατὰ μικρὸν ἐκινδύνευε διαφθαρῆναί τε καὶ ἀνῃρῆσθαι, ἕως ἡμεῖς χρήσιμον αὐτὸ καὶ λυσιτελέστατον ὂν εὑρόντες πάλιν εἰς τὴν πολιτείαν εἰσηγάγομεν.[13]) ὥσπερ δὲ αὐτὸν ἀδωρότατον καὶ τὴν αὐτοῦ τάξιν εἶναι βουλόμεθα, καὶ μηδ᾽ ὁτιοῦν ἔξω τῶν παρ᾽ ἡμῶν ὡρισμένων λαμβάνειν, οὕτω καὶ ἀζημίους αὐτοὺς φυλάττεσθαι κελεύομεν, καὶ μήτε προφάσει τῶν συμβόλων μήτε κατὰ τὴν τῶν σιτήσεων πρόφασιν μήτε κατ᾽ ἄλλην οἱανοῦν αἰτίαν, ἢ ἐν τῷ θείῳ ἡμῶν παλατίῳ ἢ ἐν τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς προφάσει συμβόλων ἢ

12) Ven. πατράσιν, quod ex Bas. et Auth. correxi. 13) Cf. Cod. XI, 25.

προστάξεών τι διδόναι νῦν ἢ εἰς τὸν ἔπειτα χρόνον, ἢ τοῖς προεστῶσι τῆς τραπέζης τῆς σῆς ὑπεροχῆς προφάσει σιτήσεων τῶν δι' αὐτῶν χορηγουμένων αὐτῷ τε ἢ παρέδρῳ[14]) ἢ τῇ αὐτοῦ τάξει, ἀλλὰ πανταχόθεν αὐτοῖς καθαρὰ φυλάττεσθαι τὰ παρὰ τῆς ἡμῶν φιλοτιμίας διδόμενα. ἀρκέσει γὰρ ἅπασιν ἀντὶ θεραπείας πρεπούσης τὸ γνησίως αὐτὸν κυβερνῶντα τὴν ἀρχὴν ἅπασιν ὠφελιμώτατον[15]) εἶναι.

Τὰ τοίνυν τῷ ἡμετέρῳ παραστάντα κράτει γινώσκουσα ἡ σὴ ὑπεροχὴ ἅπαντα εἰς ἔργον ἀγαγεῖν σπουδασάτω. ἀποδεχέσθω τε τὴν ἡμῶν πρόνοιαν, ὅτι καὶ νέαν ἀρχὴν προσεθήκαμεν, καὶ τῶν ἡμετέρων ὑπηκόων διὰ πάντων κηδόμεθα. Dat. VI. Id. Mart.[16]) Constantinop. imp. DN. Iustiniano PP. Aug. ann. XII. Apione V. C. Cons.

Nov. 133. **C.** Auth. 131.

Extat in Cod. Ambrosiano. Basil. IV, 1, 17—24; Collectio XXV capitulorum cap. 23 (Heimbach. Ἀνέκδ. II p. 185 sqq.). — Summae: Athan. I, 14, Theod. Nov. 133, cap. 6 in Nomoc. XIV titt. IX, 35 et Nomoc. L titt. tit. 30. — Data est haec constitutio IV Non. Maii ad Mennam archiepiscopum Constantinopolitanum (reliquosque patriarchas), sed XV Kal. April. ad Ioannem PP. (et ad Pr. Urbi). prius istud exemplar praetulerunt Coll. XXV capp. Athanasius et Auth. (unde explicatur cur Authentici lectiones cum Coll. cit. plerumque conspirent), alterum Coll. 168 Novv. ita tamen, ut fere adnotetur quae verba in exemplari ad patriarchas vel ad Pr. urbi misso mutata sint. de quo vide infra notas.

Περὶ μοναχῶν καὶ ἀσκητριῶν καὶ διαγωγῆς αὐτῶν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ . . .[1])

Ὁ μονήρης βίος καὶ ἡ κατ' αὐτὸν θεωρία πρᾶγμά ἐστιν ἱερὸν καὶ ἀνάγον αὐτόθεν τὰς ψυχὰς εἰς θεόν, καὶ

14) Malim ἢ τῷ αὐτοῦ. 15) Ven. ὠφελιμώτατος 16) Ven. VII Id. Mai. sed omnino cum Athan. et Theod. legendum *Mart.* nam Id. Maii incidunt in annum XIII imperii, omnes autem anno XII constitutionem datam esse testantur. pro VII Id. autem reposui VI. Id. ex Auth., ut constitutiones XCVIII et XCIX eadem die sancitae sint.

1) Ven. addit μακαριωτάτῳ ἀρχιεπισκόπῳ, id quod nimirum

οὐ μόνον ὠφελοῦν αὐτοὺς τοὺς εἰς τοῦτο παριόντας, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι διὰ τῆς αὐτοῦ καθαρότητος καὶ τῆς πρὸς θεὸν ἱκετείας παρεχόμενον τὴν πρέπουσαν ὠφέλειαν. ὅθεν τοῖς τε πρῴην αὐτοκράτορσι τοῦτο διεσπούδασται, καὶ ἡμῖν οὐ μέτρια νενομοθέτηται περὶ τῆς αὐτῶν σεμνότητός [τε καὶ κοσμιότητος].[2]) ἀκολουθοῦμεν γὰρ τοῖς θείοις κανόσι καὶ τοῖς ἁγιωτάτοις πατράσιν οἵπερ ταῦτα ἐνομοθέτησαν, ἐπειδὴ μηδὲν ἄβατόν ἐστιν εἰς ζήτησιν τῇ βασιλείᾳ κοινὴν πάντων ἀνθρώπων ἐπιστασίαν ἐκ θεοῦ παραλαβούσῃ. ἤδη μὲν οὖν ἐγράψαμεν διάταξιν[3]) βουλομένην τοὺς εἰς πλῆθος ὄντας μοναχοὺς ἐν κοινῷ διαιτᾶσθαι κατὰ τὸ τῶν καλουμένων κοινοβίων σχῆμα, καὶ μήτε ἰδίας ἔχειν κτήσεις μήτε περιουσίας ἀθροίζειν μήτε βίον ἔχειν ἀμάρτυρον, ἀλλὰ κοινῇ μὲν αὐτοὺς σιτεῖσθαι, καθεύδειν δὲ αὐτοὺς ἐν κοινῷ, καὶ τὸν εὐσχήμονα μεταδιώκειν βίον καὶ μάρτυρας εἶναι τῆς ἀλλήλων κοσμιότητος, καὶ τοὺς νεωτέρους αἰδεῖσθαι τὴν πολιὰν τῶν ταῦτα ἐποπτευόντων, καὶ ἐξεπίτηδες καὶ ἀγρυπνίαν προσλαμβάνειν, ἵνα μή τι πάρεργον μηδὲ ἐξ ὕπνου γένηται μηδὲ ἀσχήμων θέα τοῖς ἄλλοις, ἀλλ᾿ ἕκαστος τὴν ἑαυτοῦ κοσμιότητα καὶ ἐν τῷ καθεύδειν φυλάττοι.[4])

α΄. Τινῶν δὲ ἡμῖν προσαγγελθέντων, ἅπερ καὶ μείζονος καὶ ἀσφαλεστέρου νόμου προσεδεῖτο, εἰκότως ἐπὶ τὴν παροῦσαν ἀφικόμεθα νομοθεσίαν εἰς ἐκείνης τελείωσίν τε καὶ ἀναπλήρωσιν, δι᾿ ἧς θεσπίζομεν, μηδένα παντελῶς ἰδίαν ἔχειν οἴκησιν μηδὲ τὸ καλούμενον κελλίον, [εἰ μὴ μόνος][5])

exemplari ad patriarcham directo inscribendum fuit. omittit, quae addenda fuerant τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ. — Coll. XXV capp. Athan. Auth. inscribunt Μηνᾷ τῷ μακαριωτάτῳ ἐπισκόπῳ (Ath. addit κωνσταντινουπόλεως). 2) Inclusa Ven. omittit. 3) Const. XIII. 4) Ven. φυλάττειν. 5) Inclusa addo ex Coll. XXV capp., quacum facit Auth. eorundem auctoritate χρώμενος edidi, ubi Ven. χρωμένους, Hal. χρωμένοις, Bas. χρώμενον habent.

εἴη κατὰ τὸ μοναστήριον ἑνὶ τυχὸν ἢ δύο χρώμενος ὑπουργοῖς καὶ τὸν[6]) ἐν θεωρίᾳ τε καὶ ἡσυχίᾳ διαζῇ βίον, ἀλλ' ὅλως ὄντων πλειόνων ἀνδρῶν μίαν εἶναι τὴν αὐτῶν συνέλευσιν καὶ εὐχομένων καὶ τὰ τῆς φύσεως ἔργα πραττόντων, ὁπόσα ἄμεμπτά τε καὶ ἀδιάβλητα καθέστηκε, καὶ κοινῇ μὲν ὡς εἴρηται σιτεῖσθαι, κοινῇ δὲ καθεύδειν, εἰ μὲν[7]) τοσοῦτον εἴη τὸ πλῆθος ὅσον εἰς ἕνα οἶκον χωρεῖσθαι· ἐπείτοιγε τυχὸν δύο ἢ τρεῖς οἴκους εἶναι τοὺς δεχομένους αὐτούς. μηδένα μέντοι παντελῶς ἴδιον ἔχειν μηδὲν, ἀλλ' ἐν κοινῷ ζῆν νύκτωρ τε καὶ μεθ' ἡμέραν, ἵνα αἱ νύκτες αὐτοῖς τὴν αὐτὴν ταῖς ἡμέραις ἔχοιεν παρατήρησιν. οὐ γὰρ καθεύδουσιν ἅπαντες ἀεὶ, ἀλλὰ πρόδηλον, ὡς οἱ μὲν ἐν τῷ καθεύδειν εἰσὶν, οἱ δὲ ἐγρηγόρησαν, καὶ πάντως ἔσονταί τινες οἱ τοὺς καθεύδοντας ἐποπτεύοντες. εἰ δέ τινα οἰκήματά ἐστιν ἐν οἱῳδήποτε μοναστηρίῳ τῶν ὑπὸ τὸν οἰκουμενικὸν πατριάρχην[8]), [εἴτε ἐπὶ][9]) ταύτης τῆς μεγάλης πόλεως εἴτε ἐπὶ τῆς [αὐτῆς] περιοικίδος, εἴτε παρ' ἡμῶν αὐτῶν ᾠκοδομημένα[10]) εἴτε παρ' ἑτέρων, [ἰδιάζουσαν οἴκησιν ἔχοντά τινων μοναχῶν][11]) ταῦτα πάντα καθαιρήσεις τρόποις ἅπασιν, ἀνοίξεις τε αὐτοῖς τὴν ἀλλήλων θέαν, καὶ ὄψονται πάντες τὰ παρ' ἀλλήλων πραττόμενα.[12]) τί γὰρ δὴ καὶ εὐλαβηθή-

6) Sequor lectionem Coll. XXV capp. et Auth. Ven. et Bas. κατὰ τὸν — διαζῆν, Hal. κατὰ τὸ — διαζῆν. 7) Ven. et Coll. cit. καὶ εἰ μέν. Hal. et Bas. εἰ μέντοι. 8) Ven. addit ἢ τῶν ὑπὸ τὴν σὴν ὄντων ἁγιωσύνην. scilicet ita scribendum erat in exemplari ad patriarcham CP. directo: perinde sic scribunt Coll. XXV capp. et Auth., omissis verbis τῶν ὑπὸ τὸν οἰκ. πατρ. ἐν οἱῳδήποτε μοναστηρίῳ ταύτης τῆς μεγάλης πόλεως. 9) Haec suppleo ex Auth. quod sequitur αὐτῆς ex Hal. Coll. cit. et Bas. addo. 10) Ven. οἰκοδ. 11) Ex Coll. XXV capp. inclusa addo, quae et Authentico quodammodo firmantur: ut suppleantur sensus postulat. 12) In Coll. XXV capp. haec in brevius contracta habentur, sic: ταῦτα πᾶσι τρόποις καθαιρήσεις, ἀνοίξεις τε αὐτοῖς τὴν ἀλλήλων πάροδον. similiter Auth. ubi tamen παρῳδὸν vel simile quid in graeco textu fuisse indicatur.

σονται τοῦτο πράττειν, ἅπαξ ἑαυτοὺς ἀναθέντες θεῷ καὶ ἀπειπόντες πρὸς πᾶσαν δημώδη δίαιταν; καὶ τοῦτο μὲν ταύτῃ κρατεῖν νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα βουλόμεθα χρόνον, οὐδενὸς ὡς εἴρηται ἔχοντος οἴκησιν ἰδίαν, ἀλλὰ συναθροιζομένων ἁπάντων καὶ θεωμένων τὰ παρ' ἀλλήλων πραττόμενα. πρόδηλον γὰρ ὅτι τοιαῦτα σπεύσουσιν αὐτὰ[13]) καθεστάναι οἷα παντελῶς ἀνεπίληπτα μένει. εἰ δέ τις ὀφθείη τοσοῦτον ἀναιδὴς ὥστε τολμᾶν ἐπιχειρεῖν παραβαίνειν τὶ τῶν νενομοθετημένων, ὁ τῆς μονῆς ἡγούμενος ταῦτα ἐξεταζέτω. βουλόμεθα γὰρ τῇ[14]) νῦν σφοδροτέραν γενέσθαι παρατήρησιν, καὶ πρῶτον μὲν μὴ πολλὰς εἶναι[15]) τὰς εἰς τὸ μοναστήριον εἰσόδους, ἀλλὰ μίαν ἢ δύο τυχὸν, ἐφεστάναι τε τῇ πυλίδι ἄνδρας γεγηρακότας καὶ σώφρονας καὶ μεμαρτυρημένους ἐξ ἁπάντων, οἵπερ οὔτε τοῖς εὐλαβεστάτοις μοναχοῖς συγχωρήσουσι χωρὶς τῆς τοῦ ἡγουμένου γνώμης ἐκφοιτᾶν ἐκ τοῦ μοναστηρίου, ἀλλ' εἴσω τούτους καθέξουσι τὰ πρὸς θεὸν ζηλοῦντας καὶ μὴ διασπῶντας ἑαυτοὺς μήτε τὰς πράξεις μήτε τὰς ἐπιτηδεύσεις, οὔτε ἑτέρους τινὰς γενέσθαι κατὰ τὸ μοναστήριον νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐάσουσιν, οἵπερ οὐκ ὀρθὴν [μένειν][16]) τὴν τῶν εὐλαβεστάτων μοναχῶν παρασκευάσουσι δόξαν. ἔστω δὲ ἀκριβεῖ θριγκίῳ περιπεφραγμένον τὸ μοναστήριον, ὥστε μηδεμίαν ἔξοδον ἀλλαχόθεν πλὴν ἢ διὰ τῶν πυλίδων εἶναι.

β'. Ἔπειτα κἂν εἰ μή[17]) τις ἐκκλησία κατὰ τὸ μοναστήριον εἴη, μηδὲ οὕτως προφάσει τῶν ἐκκλησιῶν ἐκφοιτᾶν ἀδεῶς, ἢ καὶ περιπάτους ἐκεῖσε ποιεῖσθαι καὶ ἐντυγχάνειν

13) Ita ex Coll. cit. restitui. Ven. et Hal. *τὰ τοιαῦτα σπ. αὐτοί* 14) Ven. et Hal. *τὴν*, quod ex Auth. correxi. Coll. cit. *βουλ. γὰρ σφοδρ. νυνὶ γεν.* 15) Ven. et Hal. *ἔχειν*. lectionem praetuli quam praestat Coll. cit. cum Auth. 16) Ven. omittit. Coll. cit. *ὅπερ — τῶν εὐλαβεστάτων παρασκευάσει*, omissa voce *μοναχῶν*, quae etiam in Auth. deest. 17) In Ven. *μὴ* et *εἴη* deest. Hal. *κἂν εἴ τις — μὴ εἴη*. Bas. *κἂν μήτις — εἴη*. equidem Coll. XXV capp. sequutus sum.

τισὶν οἷς οὐδὲ προσῆκον, ἀλλὰ παραγίνεσθαι μὲν[18]) ἐν τῷ καιρῷ τῆς ἱερᾶς λειτουργίας ἅμα τῷ ἡγουμένῳ ἢ τοῖς αὐτῶν[19]) πρωτεύουσί τε καὶ γεγηρακόσι, τῆς δὲ λειτουργίας πληρωθείσης τὸ μὲν μοναχικὸν ἅπαν αὖθις εἰς τὸ κοινόβιον χωρεῖν κἀκεῖσε καθῆσθαι, καὶ τόν τε μέγαν ἱκετεύειν θεὸν ταῖς τε θείαις ἐντυγχάνειν γραφαῖς. πολὺς γὰρ ὁ ἱερὸς τῶν τοιούτων βιβλίων χορὸς, καὶ δυνατόν[20]) ἐστιν ἑκάστου τὴν ψυχὴν ἐπανορθοῦν καὶ ἐπάρδειν τοῖς ἱεροῖς λογίοις, ἅπερ εἰ συνεχῶς ἀναγινώσκοιεν, οὐκ ἂν ποτε σφαλεῖεν οὐδὲ εἰς ἀνθρωπίνας κατενεχθεῖεν μερίμνας. τέσσαρας δὲ ἢ πέντε πρεσβύτας ἐκ τῆς αὐτῆς μονῆς εἶναι κατὰ τὴν ἐν τῷ μοναστηρίῳ καθεστῶσαν ἁγιωτάτην ἐκκλησίαν, οἷς ἤδη πᾶς ἀγὼν ἤνυσται κατὰ τὴν ἄσκησιν, καὶ οἵπερ χειροτονίας ἠξίωνται τῆς ἐν τῷ κλήρῳ, πρεσβυτέρων τυχὸν ἢ διακόνων ἢ τῶν ἐφεξῆς ἔχοντες σχῆμα. οὗτοι γὰρ καὶ τοῖς ἀφικνουμένοις ἐντεύξονται, καὶ τὰ[21]) ἐκ τῶν θείων διαλέξονται γραφῶν, καὶ νομίζεσθαι πάντας εἶναι τοιούτους παρασκευάσαιεν, καὶ φυλάξαιεν τὸν ἱερὸν οἶκον, τὴν νεότητα δὲ θρασυνομένην καὶ τῶν οἰκείων ὅρων ἐξιέναι βουλομένην ὑπὸ τῆς καρτερίας ἐπέχοντες.

γ΄. Οὐκ εἰσελεύσεται δὲ οὔτε γυνὴ παντελῶς εἰς ἀνδρικὸν μοναστήριον οὔτε[22]) ἀνὴρ εἰς γυναικεῖον ἢ προφάσει τελευτήσαντος κἀκεῖσε κειμένου μνήμης ἢ κατὰ ἄλλην αἰτίαν, καὶ μάλιστα εἴ τις ἀδελφὸν τυχὸν ἢ ἀδελφὴν ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσειε. συγγένεια γὰρ τοῖς μοναχοῖς ἐπὶ γῆς οὐκ ἐστὶ τοῖς γε τὸν ἐν οὐρανῷ ζηλώσασι βίον. τί γὰρ δὴ καὶ βουλόμενοι τὰς τοιαύτας εἰσόδους ποιήσοιντο, εἰ μὴ βούλονταί τι πράττειν τῶν ἀπηγορευμένων; ἐξὸν ὂν[23]) καὶ τὰ ἀνδράσι πρέποντα ἐν τοῖς

18) In Ven. *μὲν* deest. 19) Ven. et Hal. *αὐτοῦ*. correxi ex Coll. cit. et Auth. 20) Hal. *δυνατός*. non male. 21) In Coll. cit. *τὰ* rectius abest. 22) Ven. *οὔτε — οὐδέ*. Hal. *οὐδὲ — οὔτε*. 23) Ven. *ἐξ ὧν ὄν*.

ἀνδρικοῖς μοναστηρίοις ἄνδρας ποιεῖν, καὶ τὰ γυναιξὶν ὁμοίως ἀπονενεμημένα ἐν τοῖς γυναικείοις μοναστηρίοις πράττειν γυναῖκας, οὐδενὸς ἐπιμιγνυμένου θατέρων, οὐδὲ εἴ τις τυχὸν ἀδελφὸς εἶναι λέγοιτο ἢ ἀδελφὴ ἢ συγγενὴς ἄλλος· οὐδὲ γὰρ κατὰ ταύτην τὴν πρόφασιν εἰσιτητὸν εἶναί τισι συγχωροῦμεν. εἰ γὰρ αὐτὰς τὰς ἀρχὰς ἐκκόψαιμεν[24]), καὶ τὴν δι' αὐτῆς τῆς ὁράσεως εἰσκρινομένην ταῖς ψυχαῖς ἀπάτην καὶ τὸν ἐντεῦθεν ὄλισθον κωλύσαιμεν, ἔσται πολλῷ πρᾷός τε καὶ εὐκολωτέρα τοῖς ἱεροῖς ἀγωνισταῖς ἡ τοῦ κρείττονος βίου κατόρθωσις. πάντες τοίνυν τῷδε τῷ νόμῳ πειθέσθωσαν, καὶ μήτε ἄνδρες ἀποτιθέσθωσαν ἐν γυναικείων μοναστηρίων τάφοις μήτε γυναῖκες ἐν ἀνδρικοῖς ἀσκητηρίοις κατορυττέσθωσαν. οὐδὲ γὰρ ἀνδράσι γυναικωνίτιδες πρέπουσιν οὔτε αὖθις ἀνδρῶνες τοῖς τῶν γυναικῶν καταλόγοις· οὐδὲ ἐντεῦθεν διὰ τοὺς τελευτήσαντας τοῖς περιοῦσι τὰς ἀσχήμονας ταύτας ἐπιμιξίας γίνεσθαι βουλόμεθα, ἵνα μὴ πάροδος ἐντεῦθεν γένοιτο τῇ φύσει πρὸς ἑαυτὴν ἃ μὴ θέμις τρυφᾶν τε καὶ παίζειν καὶ τὰ θεῖα καταισχύνειν πράγματα, καὶ εὐσεβείας δῆθεν προκαλύμματι καὶ τῷ τῆς ὁσίας σχήματι ταῦτα πράττειν, ἅπερ οὐδὲ λέγειν οὐδὲ ἐννοεῖν τοῖς τὸν μονήρη βίον ἀσκοῦσι καλόν. ἐκείνου δ' ὄντος φανεροῦ, [ὡς][25]) ἀνάγκη καθέστηκε τοὺς ταῖς ταφαῖς ὑπηρετουμένους καὶ μάλιστα τοὺς τὴν κλίνην φέροντας τούς τε ὀρύττοντας εἰσφοιτᾶν εἰς τὰ μοναστήρια. καὶ ἐν μὲν τοῖς ἀνδρικοῖς μοναστηρίοις τὸ πρᾶγμα εὔκολόν ἐστιν, ἐν δὲ τοῖς γυναικείοις οὐχ οὕτως διὰ τὴν εἰρημένην ἀπαγόρευσιν. [§. α'.] θεσπίζομεν τοίνυν, εἴ ποτε μέλλοι τοιοῦτό τι γίνεσθαι καὶ θάπτεσθαί τις γυνὴ ἐν γυναικείῳ μοναστηρίῳ (ἄνδρα γὰρ οὐκ ἐφίεμεν), τὰς μὲν εὐλαβεστάτας γυναῖκας ἐν τῷ οἰκείῳ μένειν καταγωγίῳ, μόνην δὲ τὴν θυρωρὸν ἢ τὰς θυρωροὺς καὶ τὴν ἡγουμένην ἴσως αὐτὴν εἰ βουληθείη παρεῖναι τοῖς γινο-

24) Ita ex Coll. cit. scripsi. Ven. et Hal. ἐκκόψομεν.
25) Ven. ὡς omittit, quod ex Coll. cit. addidi.

μένοις, καὶ θᾶττον ἐκείνους πράξαντας τὰ περὶ τὴν ὁσίαν νενομισμένα καὶ τὸν τάφον ὀρύξαντας καὶ τὸ σῶμα καλύψαντας εὐθὺς ἀναχωρεῖν, μὴ τεθεαμένους τινὰς τῶν εὐλαβεστάτων γυναικῶν μήτε παρά τινων[26]) αὐτῶν θεαθέντας. ἀλλὰ μηδὲ ἄλλην ἐπινοείτωσαν πρόφασιν ἢ ἄνδρες τῶν εἰς γυναικεῖα μοναστήρια παρόδων ἢ γυναῖκες τῶν ἀνδράσιν ἀφωρισμένων, προφάσει[27]) τῶν περὶ τὴν ὁσίαν πραττομένων (ἃς δὴ μνήμας καλοῦσιν) εἰς τρίτην καὶ ἐννάτην συνιόντες ἡμέραν, καὶ[28]) ἡνίκα τεσσαράκοντα ἐξήκοιεν ἢ καὶ ἐνιαυτός. ἐξὸν εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν, εἰ δὲ ἀνδρεῖον ἄνδρας, καὶ μὴ προφάσει τῶν τοιούτων παρατηρήσεων ἀδοξίαν τινὰ τοῖς εὐαγέσι μοναστηρίοις προστρίβεσθαι.

δ΄. Ἐπειδὴ δὲ οὐδὲν τῶν νομοθετουμένων εἰ μὴ φυλακὴν ἔχοι τὴν προσήκουσαν δύναται τηρεῖσθαι προσηκόντως, θεσπίζομεν, τὸν κατὰ καιρὸν ἑκάστου μοναστηρίου προεστῶτα συνεχῶς ἐποπτεύειν αὐτοὺς[29]) καὶ περιεργάζεσθαι τὴν ἑκάστου πολιτείαν τε καὶ κατάστασιν, καὶ εἴ πού τι βραχὺ γένηται παρὰ τὸ πρέπον, τοῦτο εὐθὺς ἐπανορθοῦν, καὶ μὴ συγχωρεῖν μείζω γίνεσθαι τὸν ὄλισθον μηδὲ ἀπολέσθαι ψυχὴν πρὸς τὴν ἐκ τῆς ἀσκήσεως σωτηρίαν καταφεύγουσαν. ὁ δὲ τῶν μοναστηρίων ἔξαρχος (εἴ γε εἴη κατὰ τὸν τόπον, ὥσπερ ἐπὶ ταύτης ἐστὶ τῆς εὐδαίμονος πόλεως), ταῦτα περιεργαζέτω καὶ στελλέτω τοὺς καλουμένους ἀποκρισιαρίους τοὺς αὐτοῦ κατὰ τὰ μοναστήρια, καὶ πυνθανέσθω καὶ ἐκ τῶν γειτόνων, μήπου τὶ πονηρὸν ἐπί τινος τῶν μοναστηρίων τῶν ἐγγύθεν γίνεται, καὶ ταῦτα ἅπαντα σωφρονιζέτω καὶ τῆς προσηκούσης ἀξιούτω προνοίας. ἀλλὰ καὶ ὁ πόλεως ἑκάστης ἐπίσκοπος τούτου πρόνοιαν ἐχέτω, εἴτε πατριάρχης εἴτε μητροπολίτης εἴτε καὶ τῶν καθ' ἕκαστον

26) Coll. cit. Bas. *τινος.* rectius ni fallor. 27) Ven. Coll. cit. et Bas. *καὶ προφ.* 28) Ven. *καὶ* non habet. 29) In Coll. cit. (et Auth.) *αὐτοὺς* ignoratur. recte.

εἴη, καὶ τοὺς εὐλαβεστάτους ἐκδίκους τῆς ἐκκλησίας τῆς αὐτοῦ[30]) στελλέτω ταῦτα ἀναζητοῦντας καὶ παραφυλάττοντας καὶ μὴ συγχωροῦντας μηδ' ὁτιοῦν γίνεσθαι ἔξω τοῦ προσήκοντος, ἀλλὰ καὶ εἴ τι γένοιτο[31]), θᾶττον τοῦτο ἐπανορθοῦν. ὁ δὲ ἁγιώτατος πατριάρχης ταύτης τῆς εὐδαίμονος πόλεως τὰ περὶ τῶν ἐνταῦθα μοναστηρίων ὁμοίως ἐξεταζέτω, καὶ φύλακας τοῦ πράγματος τοὺς θεοφιλεστάτους ἐκκλησιεκδίκους τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ οὓς ἂν νομίσειεν ἀκριβεῖς καὶ σεμνοτάτους εἶναι καταστησάσθω, ἵνα διὰ πλειόνων τῆς φυλακῆς γινομένης ἔτι μείζων ἡ τήρησις καὶ ἡ ἐπὶ τοῖς ἁμαρτήμασιν ἐκδίκησις γένηται.

ε'. Δεῖ δὲ ἕκαστον μοναστήριον ὑπὸ ἡγούμενον τελοῦν ἔχειν (καθάπερ εἰπόντες ἔφθημεν) τοὺς λεγομένους ἀποκρισιαρίους, ἄνδρας γεγηρακότας καὶ ἤδη τὸ μοναχικὸν ἀγωνισαμένους καὶ οὐ ῥᾳδίως τὰς σωματικὰς ἐπηρείας ὑφισταμένους, οἳ τοῖς πράγμασι καὶ ταῖς αὐτῶν ἀπησχόληνται χρείαις. καὶ οὐ μόνον εἴπερ ἀνδρῶν εἴη τὸ μοναστήριον, ἀλλ' εἰ καὶ γυναικῶν τυχὸν, εἶναι δύο τινὰς ἢ τρεῖς ἄνδρας, ἢ εὐνούχους εἰ δυνατὸν [ἢ τῶν γεγηρακότων καὶ ἐπὶ σωφροσύνῃ] μαρτυρουμένων[32]), οἵπερ τὰ πράγματα αὐταῖς πράξουσι καὶ τὴν ἄῤῥητον αὐταῖς διαδώσουσι κοινωνίαν, ἡνίκα τούτου καιρός. εἰ δὲ περί τινος τοῦ μοναστηρίου χρείας ἢ εἰς μίαν τῶν εὐλαβεστάτων ἀσκητριῶν ἀναφερομένης εἰπεῖν τι τῶν ἀναγκαίων βούλοιντο, ἐντεύξονται τῇ ἡγουμένῃ μόνῃ καὶ ἑτέρᾳ παντελῶς οὐδεμιᾷ τῶν γυναικῶν τῶν εἰς τὸ μοναστήριον τοῦτο ἀλλὰ[32a]) διὰ τῶν εὐλαβεστάτων θυρωρῶν πράττοντες· δεῖ γὰρ τοιαύτας τινὰς καὶ ἐπὶ ταῖς θύραις[33]) τετάχθαι, αἵπερ ὁμοίως τὰς εἰσόδους καὶ ἐξόδους

30) Ven. et Hal. *αὐτῆς*. Coll. cit. *καὶ οὕτω*. 31) Verbum *γένοιτο* in Ven. excidit. 32) Ven. *ἢ εἰ δυνατὸν μαρτυρουμένους*, Hal. *ἢ εὐν. εἰ δυν. μαρτ.* emendavi ex Coll. cit. et Auth. 32a) *τοῦτο αὐτό*? in Auth. et Coll. cit. *ἀλλὰ* deest. 33) Flor. in marg. *μέμνησο ρκγ' νεαρᾶς*.

τὰς εἰς τὸ μοναστήριον ἐποπτεύουσαι καὶ τὰς ἐξόδους κωλύσουσι καὶ ἀβάτους ἀνδράσι τὰς εἰσόδους πλὴν τῶν ἀποκρισιαρίων καταστήσουσιν· οἵ δὲ ταῖς θυρωροῖς ἐντεύξονται καὶ ἐροῦσι τὴν ἑαυτῶν ἄφιξιν, ἡ δὲ ἡγουμένη μανθάνουσα μὲν καὶ κατιοῦσα τούτοις ἐντεύξεται, αὐτοὶ δὲ ἀνοίσουσιν ἐπ' ἐκείνην τὰ περὶ τῆς ἑαυτῶν διοικήσεως ἢ τῆς χρείας ᾗ παραγεγόνασι, καὶ οὕτως καὶ τὰ ἀνθρώπινα πραχθήσεται καλῶς καὶ ἡ σωφροσύνη διαμενεῖ πανταχόθεν ὑπ' οὐδενὸς πειραζομένη κακοῦ. εἰ δέ τις ἁμάρτοι (καὶ γὰρ πολλὰ τὰ ἀνθρώπινα, καὶ οὐκ ἄν τις δύναιτο τὴν φύσιν οὕτως ἐπισχεῖν ὡς ἁμαρτάνειν μηδέν· τοῦτο γάρ ἐστι μόνου θεοῦ), τοῦτον μετρίου μὲν ὄντος τοῦ πράγματος [33a]) καὶ νουθετεῖν καὶ καθείργειν καὶ μετανοίας αὐτῷ διδόναι καιρὸν, ἵνα καλλίω τάξιν λαβὼν αὖθις ἐπανέλθοι πρὸς ἑαυτὸν καὶ μὴ τοὺς ἤδη καταβεβλημένους ἀπολέσειε πόνους· εἰ δὲ μείζων ὁ τοῦ πταίσματος εἴη τρόπος, πρὸς τὴν ἁμαρτίαν καὶ τὴν ἐπιμέλειαν τῆς ἐπανορθώσεως εἶναι καὶ αὖθις νουθεσίαν σφοδροτέραν καὶ μετάνοιαν ἰσχυρὰν ἀπαιτεῖν. καὶ εἰ μὲν ἰσχύσειε τούτοις τοῖς τρόποις σῶσαι τὸν ὀλισθαίνειν ἀρχόμενον (τὸ αὐτὸ δὲ καὶ ἐπὶ γυναικῶν ἀσκουσῶν καὶ ἀνδρῶν φαμεν), χάριν εἰδέναι τῷ μεγάλῳ θεῷ, τῷ καὶ ἐν οὐρανῷ γίνεσθαι χαρὰν ταῖς ἀγγελικαῖς εἰπόντι δυνάμεσιν ἡνίκα τὶς σωθείη τῶν ἁμαρτανόντων· εἰ δὲ κρεῖττον ἢ κατὰ θεραπείαν τὸ πρᾶγμα γένηται, τηνικαῦτα δεῖ καὶ ἐξωθεῖν αὐτὸν τοῦ μοναστηρίου, ὅπως ἂν ἐκδοὺς ἑαυτὸν ἐκ τῶν καλλιόνων τοῖς χείροσιν αὐτὸς τῆς ἑαυτοῦ κακίας ἀπολαύσειε μόνος, καὶ μή τι τῶν ἑαυτοῦ κακῶν καὶ ἑτέροις προσαπομάξηται, ὥσπερ τι τῶν λοιμωττόντων [34]) καὶ ἀθεράπευτα νοσούντων βοσκημάτων. οὐδὲ γὰρ ἡ βασιλεία περιόψεται τούτων ἀμελουμένων, οὐδὲ ἀφέξεται τῆς ἀγανακτήσεως κατὰ τοῦ ἡγουμένου οὐδὲ κατὰ τοῦ τῶν τόπων ἐπισκόπου καὶ τῶν ὑπ' αὐτὸν ἐκκλη-

33a) πταίσματος? 34) Ven. et Bas. λιμ.

σιεκδίκων, εἰ μὴ ταῦτα τηροῖεν, ὡς ἀναγκαίας οὔσης καὶ τῇ βασιλείᾳ τῆς τοῦ πράγματος ἐπιμελείας. εἰ γὰρ ἐκεῖνοι καθαραῖς ταῖς χερσὶ καὶ γυμναῖς [ταῖς ψυχαῖς][35]) τὰς ὑπὲρ τοῦ πολιτεύματος εὐχὰς προσάγοιεν τῷ θεῷ, πρόδηλον ὡς καὶ τὰ στρατεύματα ἕξει καλῶς καὶ αἱ πόλεις εὐσταθήσουσι, (θεοῦ ἵλεώ τε[36]) καὶ εὐμενοῦς καθεστῶτος πῶς οὐκ ἔσται πάντα μεστὰ πάσης εἰρήνης τε καὶ εὐνομίας;) καὶ ἡ γῆ τε ἡμῖν οἴσει καρποὺς καὶ [ἡ] θάλαττα τὰ οἰκεῖα δώσει, τῆς ἐκείνων εὐχῆς τὴν εὐμένειαν τοῦ θεοῦ πρὸς ἅπασαν τὴν πολιτείαν συναγούσης.[37]) ἀλλὰ καὶ αὐτὸ τὸ κοινὸν σχῆμα τῶν ἀνθρώπων αἰδεσιμώτερον ἔσται καὶ ζήσει κάλλιον τὴν ἐκείνων αἰσχυνόμενον καθαρότητα. ὥστε μία σύμπνοια γενήσεται, πάντων ὁμοῦ πρὸς τοῦτο συντρεχόντων, καὶ ἐξοριζομένης καθ' ὅσον οἷόν τέ ἐστι κακίας ἁπάσης, καὶ καλλιόνων τε καὶ ὁσιωτέρων ἐπιτηδευμάτων εἰσαγομένων[38]) τε καὶ ἐμπρεπόντων τοῖς πράγμασιν. ὅπερ ἡμεῖς ἐπιζητοῦντες πρᾶγμα πράττομεν ὥσπερ πεπιστεύκαμεν χρηστόν.

ς'. Κἀκεῖνό γε μὴν πᾶσι φυλάττεσθαι βουλόμεθα τρόποις, ὥστε εἰ φανείη τὶς τῶν εὐλαβεστάτων μοναχῶν εἴς τι καπηλεῖον ἀναστρεφόμενος, τοῦτον εὐθὺς παραδίδοσθαι τοῖς τῶν πόλεων ἐκδίκοις ἢ ἐνταῦθα τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς[39]), σωφρονίζεσθαι τε διελεγχόμενον, καὶ μηνύεσθαι τοῦτο τῷ ἡγουμένῳ, ὥστε αὐτὸν ἐξελαύνειν τοῦ μοναστηρίου τὸν ταῦτα πλημμελήσαντα καὶ τὸν ἐν αἰσχύνῃ βίον τῆς ἀγγελικῆς ταύτης καταστάσεως ἀλλαξάμενον. δεῖ γὰρ διπλοῦν τοῦτο ἔργον τοῖς μοναχοῖς καθεστάναι, ἢ ταῖς θείαις ἐνα-

35) Haec addo ex Coll. cit. et Auth. 36) Ven. et Hal. *θεοῦ δὲ ἵλεω καί.* 37) Ven. *εὐμενείᾳ θεοῦ — συνιούσης.* quod ex Hal. Bas. Coll. cit. (quae tamen *ἀναγούσης* habet) emendavi. 38) Coll. cit. *ἀντεισαγ.* Haud male. 39) Coll. cit. (ut et Auth.) *τοῖς ἐνδοξοτάτοις ἐπάρχοις τῶν ἱερῶν πραιτωρίων.*

σχολεῖσθαι γραφαῖς ἢ τὰ μοναχοῖς πρέποντα ἅπερ καλεῖν εἰώθασιν ἐργόχειρα μελετᾶν τε καὶ ἐργάζεσθαι· διάνοια γὰρ μάτην σχολάζουσα οὐδὲν ἂν τῶν ἀγαθῶν ἀποτέκοι. ὑπὲρ τούτων τόνδε τίθεμεν τὸν νόμον ἐπί τε ταύτης τῆς βασιλίδος πόλεως κρατοῦντα ἐπί τε τῶν ἐθνῶν ἁπάντων. καὶ γὰρ δὴ πρὸς ἕκαστον ὁσιώτατον πατριάρχην[40]) καταπέμψομεν αὐτὸν ἐπ' ἀσφαλείᾳ τε καὶ φυλακῇ προσηκούσῃ, οἵ δὲ πρὸς τοὺς ὑφ' ἑαυτῶν τεταγμένους μητροπολίτας ἐκπέμψουσιν, ἐκεῖνοι δὲ τοῖς ἄλλοις ἅπασι διαδώσουσιν ἐπισκόποις, καὶ διὰ τῶν ἐπισκόπων ταῦτα τοῖς εὐλαβεστάτοις μοναχοῖς καὶ τοῖς ἡγουμένοις αὐτῶν γενήσεται φανερά. δίδομεν δὲ τὴν τοῦ πράγματος παρατήρησιν οὐ μόνον τῷ ἡγουμένῳ μονῆς ἑκάστης οὐδὲ μόνῳ τῷ θεοφιλεστάτῳ τῶν τόπων ἐπισκόπῳ οὐδὲ τοῖς ὁσιωτάτοις μητροπολίταις οὐδὲ τοῖς ἁγιωτάτοις πατριάρχαις, ἀλλ' ἐνταῦθα μὲν καὶ τῇ σῇ ὑπεροχῇ[41]), ἵνα εἴ τινος τὸ πρᾶγμα δεηθείη σφοδροτέρας ἐπανορθώσεως μανθάνοντες παρὰ τῶν θεοφιλεστάτων ἀνδρῶν ἐπεξίοιεν, ἐν δὲ ταῖς ἐπαρχίαις τοῖς ἐκείνων ἄρχουσι πρότερον παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων τὸ πρακτέον μανθάνουσι, καὶ εἴη διὰ πάντων καὶ τοῖς προσώποις τοῖς ἱερωμένοις καὶ ταῖς ἀρχαῖς[42]) ἀνεύθυνα τὰ πρὸς θεὸν καὶ πρό γε πάντων τῇ βασιλείᾳ, ὡς οὐδενὸς τῶν θειοτέρων καὶ τῶν φυλάττεσθαι δικαίων ἀμελουμένου παρ' ἡμῶν, ἀλλὰ διὰ πάντων σπευσάντων τὴν κοινὴν πολιτείαν τῆς τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φιλανθρωπίας ἀπολαύειν διὰ τῆς τῶν εὐλαβεστάτων ἀνδρῶν καθαρότητος, ἣν φυλάξουσι καὶ κληρικοὶ καὶ μοναχοὶ καὶ ἐπίσκοποι, μείζους τε καὶ ἐλάττους, τῶν τε ἱερῶν μεμνημένοι κανόνων τῶν τε ἡμετέρων νόμων καὶ

40) Coll. cit. (cum Auth.) *τῶν πατριαρχῶν*, omisso ὁσιώτ.
41) Coll. cit. (cum Auth.) *τοῖς ἐνδοξοτάτοις ἐπάρχοις τῶν ἱερῶν πραιτωρίων*. in exemplari ad Praef. Praet. scripto debebat esse *μανθάνων* — *ἐπεξίοι* vel *ἐπεξίοις*. 42) Coll. cit. *καὶ τοῖς ἱεροῖς κανόσι καὶ τοῖς ἡμετέροις νόμοις καὶ ἐν ταῖς ἐπαρχίαις*.

διατάξεων τῶν περὶ τούτου γεγραμμένων, οὓς καὶ κρατεῖν καὶ κυρίους εἶναι καὶ διὰ τοῦ παρόντος θεσπίζομεν νόμου.

Ἡ τοίνυν σὴ ἐνδοξότης[43]) τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου γινώσκουσα[44]) ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XV. Kal. April.[45]) CP. Apione V. C. Cons.

Auth. 82. **CI.** Nov. 81.

Cf. Basil. XXI, 5. — Forte sermone etiam latino constitutio ad Senatum data est, ut quem Auth. c. 82 praestat non versio sed genuinus textus sit. — Summae: Iulian. c. 75, Athan. XVIII, 3, Theod. Nov. 81, Proch. 26, 8.

Ἡ διάταξις ἡ [διὰ][1]) τῶν ἀξιωμάτων καὶ τῆς ἐπισκοπῆς ἐλευθεροῦσα τοὺς παῖδας τῆς ὑπεξουσιότητος.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος τῇ ἱερᾷ συγκλήτῳ τῆς βασιλίδος πόλεως.[2])

Εἴ τι πρὸς ὠφέλειαν καὶ κόσμον ὁρᾷ τῆς ὑπὸ τοῦ θεοῦ παραδοθείσης ἡμῖν πολιτείας, τοῦτο ἀεὶ βουλευόμενοι πρὸς ἔργον ἄγειν σπουδάζομεν. τοιγαροῦν καὶ ἤδη νόμον[3]) ἐγράψαμεν ἐπὶ τῶν ἐνδοξοτάτων ἡμῶν πατρικίων, τὸν ἐλευθέρους αὐτοὺς τῇ τῆς ἀξίας δόσει τῆς ὑπεξουσιότητος τῶν

43) Coll. cit. (cum Auth.) μακαριότης. 44) Ven. addit ἡ σὴ ὑπεροχή. scilicet in exemplari ad Praef. Praet. directo sic erat scriptum pro ἡ σὴ ἐνδοξότης, qua allocutione exemplar ad Praef. Urbi missum usum esse videtur. 45) Ven. XVII K. Apr. sed legerim XV Kal. April., ut eadem die data sit qua c. CI et CII. caeterum, de quo supra dixi, in coll. XXV capp. est Dat. VII (vel IV?) . . . et Athanasio subscriptio audit: ἐγράφη δ' νον. μαΐου (al. μαρτ.) βασιλείας ἰουστινιανοῦ τῷ ιγ' ὑπατείᾳ ἀπίωνος. Theod.: μηνὶ μαρτίῳ ὑπατείᾳ ἀπίωνος.

1) Deest in Ven. 2) Ven. addit περὶ αὐτεξουσιότητος. 3) l. ult. C. de consulib. 12, 3.

πατέρων ἀποφαίνοντα. οὐ γὰρ πρέπον ἐνομίσαμεν εἶναι, τούτους οὓς ἡμεῖς ἐν τάξει πατέρων ἄγομεν ἡμετέρων, ὑφ' 4) *ἑτέρου τελεῖν ἐξουσίαν. εἰ γὰρ ἡ* 5) *τῆς* emancipationos *πρᾶξις πάλαι μὲν ὑπὸ τὰς καλουμένας* legis actionας *γινομένη μεθ' ὕβρεων καὶ ῥαπισμάτων ἀπήλαττεν αὐτοὺς τῶν τοιούτων δεσμῶν, πῶς οὐκ ἔμελλε τὰ σύμβολα τὰ πάντων ἀνθρώπων σεμνότατα, διδόμενα παρὰ τῆς ἐφεστώσης τοῖς ὅλοις βασιλείας, μὴ τῆς ὑπεξουσιότητος αὐτοὺς* 6) *ἐλευθεροῦν; νῦν δὲ φιλανθρωπότερόν τι καὶ σεμνότερον τῇ πολιτείᾳ διανοούμενοι, καὶ ἐπὶ τῶν ἐνδοξοτάτων ὑπάτων, οἵπερ τὸ οἰκεῖον ὄνομα τῷ χρόνῳ μετὰ τὴν βασιλείαν διδόασι, καὶ τῶν γε μόνοις τοῖς ὑπατικοῖς συμβόλοις τετιμημένων, καὶ ἐπὶ τῶν ἀρχῶν τῶν* 7) *ἐλευθεροῦν βουλῆς δυναμένων τουτέστιν ἐπαρχότητός τε καὶ στρατηγίας (φαμὲν δὲ τῆς ἐν αὐτοῖς τοῖς θρόνοις καὶ τοῖς ἔργοις γνωριζομένης), αὐτὸ τοῦτο νομοθετοῦμεν, ἵνα πᾶν τοιοῦτον ἀξίωμα καὶ ἀρχὴ τοιαύτη προσγινομένη τισὶν, οἷς ἂν ἡμεῖς δοκιμάσαιμεν, ὅπερ αὐτοὺς ἀπαλλάττει καὶ βουλῆς, τοῦτο ἰσχύσειε καὶ τῆς ὑπεξουσιότητος αὐτοὺς ἐλευθεροῦν τῶν πατέρων ἢ πάππων. εἰ γὰρ ἐνομοθετήσαμεν* 8)*, ὡς εἴ τις οἰκέτης εἰδότος τοῦ κεκτημένου ἀξιωθῇ στρατείας ἤ τινος ἀξίας τύχοι παρὰ τῆς βασιλείας, εὐθὺς ἐλευθεροῦται καὶ εἰς αὐτὴν ἀναρπάζεται τὴν εὐγένειαν, πῶς οὐχὶ δίκαιον, τὸν τηλικούτων ἠξιωμένον συμβόλων μὴ καὶ τῆς ὑπεξουσιότητος ἐλεύθερον γίνεσθαι;*

α'. Διὰ τοῦτο τοίνυν τῷδε τῷ σεμνοτάτῳ χρώμενοι νόμῳ θεσπίζομεν, τούς τε ὀρδιναρίους ὑπάτους, εἴπερ ἐν ὑπεξουσίοις τελοῖεν, ἅμα τῷ ῥήματι τῷ ταύτην αὐτοῖς χαριζομένῳ τὴν τάξιν εἰς αὐτεξουσιότητα φέρεσθαι, καὶ πρός γε τοῖς τιμωμένοις παρὰ τῆς βασιλείας ὑπατικοῖς συμβόλοις, εἴπερ ὑπὸ τὴν τῶν πατέρων τελοῖεν χεῖρα, γίνεσθαι τὸ σύμ-

4) Hal. *τούτους ὑφ'*, priori *τούτους* omisso. Ven. *τουτέστι τῆς ὑφ' ἑτ.* 5) Articulus *ἡ* deest in Ven. 6) Ven. *αὐτόν.* 7) Ven. *ἀρχόντων.* 8) l. 4 C. 6, 4.

βολον αὐτεξουσιότητος πρόφασιν· καὶ εἴ γέ τινας ἡμεῖς[9]) ἐπὶ πασῶν τῶν διοικήσεων τῶν ἐνδοξοτάτων ὑπάρχων τῶν ἱερῶν ἡμῶν πραιτωρίων ἐπιστήσοιμεν ἢ ἐπὶ τὴν πολιαρχίαν ἑκατέρας Ῥώμης ἄγοιμεν ἢ ἐπί τινα στρατηγίαν, τούτους εὐθὺς καὶ αὐτεξουσίους γίνεσθαι. τὸν γὰρ τοσούτων ἄρχοντα καὶ τοσούτοις ἐπιτάττοντα μένειν ἐπὶ τῆς ὑπεξουσιότητος ἔτι καὶ μὴ τοῖς αὐτεξουσίοις ἐγγράφεσθαι, τῶν ἡμετέρων ἀνάξιον ἡγησάμεθα νόμων τε ἅμα καὶ χρόνων. [§. 1.] ἐν γένει δὲ καθάπερ εἴρηται νομοθετοῦμεν, ὥστε πᾶν ἀξίωμα καὶ ἀρχὴν πᾶσαν βουλῆς ἐλευθεροῦν δυναμένην ταύτην καὶ αὐτεξουσιότητος γέρα τοῖς τετιμημένοις παρέχειν. τοῦτο γὰρ καὶ σεμνοτέρους ἔτι τοὺς πατέρας ἀποφαίνει, εἴ γε τῶν οὕτω παρὰ τῆς βασιλείας τετιμημένων καθεστᾶσι πατέρες· οὐ γὰρ ἂν εἰ μὴ τοῦτο καὶ αὐτοὶ συνέσπευδον, τὴν βασιλείαν ὑπὲρ τούτων ᾔτουν. ὥστε εἴτε ἐστί τις νῦν ἐν ὑπεξουσίοις τούτων ἀπολαύων τῶν τιμῶν ἢ ἀρχῶν ἃς ἔμπροσθεν ἠριθμήσαμεν εἴτε ὕστερον ἔσται, καὶ τούτοις αὐτεξουσιότης ἀκολουθείτω, τό τε peculion αὐτοῖς χαριζομένη καὶ τὸ αὐτόγνωμον διδοῦσα καὶ ἄξια πράττειν τῆς τιμῆς καὶ τῆς ἐπ' αὐτοῖς ἐκ τῆς βασιλείας γινομένης κρίσεως· οὕτως γὰρ πολλῷ μείζων τοῖς πατράσιν ἔπαινος ἔσται καὶ εὐφροσύνης ἀφορμὴν παρέξει μεγάλης.

β΄. Ἐκεῖνο δὲ τῷ νόμῳ προσεπισκήπτομεν, ὥστε μὴ τὰς τοιαύτας αὐτεξουσιότητας ὅμοια χαρίζεσθαι ταῖς ἄλλαις, αἳ διὰ τῶν ἐμαγκιπατιόνων γίνονται, ἀλλ' ἐξαίρετόν τι τὴν βασιλείαν δῶρον ταῖς τοιαύταις αὐτεξουσιότησι παρέχειν. οὐδὲ γὰρ βουλόμεθα τὸν οὕτως αὐτεξούσιον γενόμενον ἢ γινόμενον ἀπολλύναι τὶ τῶν λεγιτίμων δικαίων, ἀλλ' ἔστω καὶ τῷ γένει πρὸς αὐτοὺς καὶ αὐτοῖς πρὸς τὸ γένος ἄθικτα τὰ λεγίτιμα καὶ ἐκ τῆς φύσεως φυλαττόμενα δίκαια. καὶ οἵ

9) Hal. καὶ εἴγε τινὰ ἢ μιᾷ. non male, sed Auth. cum Ven. facit.

γε παῖδες αὐτῶν μετὰ τελευτὴν τῶν πάππων εἰς τὴν αὐτῶν μεταπιπτέτωσαν ὑπεξουσιότητα, ὥσπερ ἂν εἰ ἔτυχον οἱ τούτων γονεῖς τελευτῇ τῶν οἰκείων πατέρων ἀλλ' οὐκ ἐκ τοῦ παρόντος νόμου αὐτεξούσιοι γενόμενοι καὶ εἰκότως τοὺς παῖδας τοὺς αὐτῶν μετὰ τελευτὴν τῶν οἰκείων πατέρων ὑπεξουσίους ἔχοντες· ἵνα[10]) *μηδὲν τῶν ἐκ τῆς βασιλείας προσγινομένων παραιρεῖσθαί τι δόξειεν αὐτῶν, διότι πᾶν ὅπερ εἴτε ἐκ θεοῦ πρόσεισιν ἀνθρώποις εἴτε ἐκ βασιλείας τῆς τῷ θεῷ κατακολουθούσης ἀγαθὸν εἶναι προσήκει μόνως*[11]) *καὶ πάσης κακίας τε καὶ ἐλαττώσεως ἀμιγὲς καθεστάναι.*

γ΄. Πρόδηλον δὲ, ὡς οὔκ ἐστιν ὃς ἀγνοεῖ πρό γε ἁπάντων τοῖς ὁσιωτάτοις ἐπισκόποις ἅμα τῇ χειροτονίᾳ καὶ τὴν αὐτεξουσιότητα προσγίνεσθαι. οἱ γὰρ πάντων ὄντες πνευματικοὶ πατέρες πῶς ἂν ὑπὸ τὴν ἑτέρων ἐξουσίαν τελοῖεν; ἀλλὰ προσήκει καὶ αὐτοὺς τῆς τοιαύτης ἀπολαύειν τιμῆς καὶ ταύτην ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας καρποῦσθαι.

Τὰ τοίνυν παραστάντα ἡμῖν εἰς ὑμετέραν αἰδῶ τε καὶ τιμὴν, ὦ σεβασμιώτατοι πατέρες, βουλόμεθα εἰς τὸ διηνεκὲς ἐμπρέπειν τῇ ἡμετέρᾳ πολιτείᾳ, ἅμα μὲν εἰς κόσμον ὑμέτερον, ἅμα δὲ εἰς τὴν τῆς ἡμετέρας φιλοτιμίας ἀπόδειξιν, ἣν τοῖς ἡμετέροις πατράσι καὶ ὑπάτοις καὶ ἱερεῦσι δεδώκαμεν. Dat. XV. Kal.[12]) Apr. CP. imp. DN. Iustiniani PP. Aug. [ann. XII.][13]) Apione V. C. Cons.

10) Ven. *ἵνα δέ.* 11) Ven. *μόνως ὡς*, Auth. *μένον* legit. 12) Etiam Ath.: *πρὸ ιε΄ καλ.* Auth. X Kal. 13) Annum addo ex Athanasio et Auth.

Auth. 83. CII. Nov. 82.

Bas. VII, 1, 4—16 (cf. Gesch. d. griech. röm. Rechts ed. II p. 535 not. 1238). — Summas praestant Iulian. c. 76, Athan. IV, 15, Theod. Nov. 82, *αἱ ῥοπαὶ* X, 2. XIV, 19. XXII n. 53.

Περὶ τῶν δικαστῶν καὶ ὥστε μεθ' ὅρκου μὴ αἱρεῖσθαι.

Imp. Iustinianus Aug. Ioanni P.P. per Orientem exconsule ac patricio.[1])

Ζήνωνι τῷ τῆς εὐσεβοῦς λήξεως γέγραπται διάταξις περὶ τῆς τῶν δικῶν τάξεως, πολλὰς μὲν παραλλαγὰς ἐκ τῶν ἐφεξῆς δεξαμένη χρόνων, εἰς τοῦτο δὲ ἀφικομένη ὥστε κατὰ μικρὸν σχεδὸν καὶ παντάπασιν ἐκλιπεῖν. οἵ τε γὰρ ἐν αὐτῇ γεγραμμένοι διαιτηταὶ τὸν μετ' ἀνθρώπων ἅπαντες ἀπέλιπον βίον, πολλά τε τῶν ὁρισθέντων δικαίων σεσίγηται ῥητῆς τε οὐκ ἔτυχε μνήμης[2]), *ἀλλ' ἥ γε χρῆσις ταῦτα παραλαβοῦσα πρὸς*[3]) *ἀλλοῖον μετέστησε σχῆμα. ἡμεῖς τοίνυν ὁρῶντες συγκεχυμένον καθάπαξ τὸ τῶν δικαστῶν σχῆμα, ᾠήθημεν χρῆναι νόμῳ ταῦτα διορίσασθαι, ὃς τὴν πρέπουσαν τάξιν ἐπιθήσει τῷ πράγματι. οὐδὲ γὰρ ᾠήθημεν χρῆναι ἔχειν δικαστῶν τινας ὀνόματα, μάλιστα μὲν νόμων ἀνεπιστήμονας, ἔπειτα δὲ οὐδὲ πραγμάτων εὐτυχοῦντας πεῖραν. τοῖς μὲν γὰρ ἡμετέροις ἄρχουσι πάρεισι πάντως καὶ πάρεδροι, τὰ ἐκ τῶν νόμων ὑφηγούμενοι καὶ τὰς ἀσχολίας ἀναπληροῦντες τὰς αὐτῶν, ἐπειδήπερ πολλαῖς περιεχόμενοι φροντίσιν ἃς ὑφ' ἡμῖν ἔχουσιν εἰκότως τὸ δικαστικὸν ἀναπληροῦσι μέρος τῇ*

1) Ita est in Ven. Hal.: *Αὐτοκράτωρ Ἰουστινιανὸς αὔγουστος Ἰωάννῃ ὑπάρχῳ πραιτωρίων τῆς ἀνατολῆς τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.* ratione habita subscriptionis omnino legendum: iterum exconsule ordinario. — Ven. inscriptioni addit *βι. γ' τοῦ κώδ. τί. γ' διάτ. τελευταία.* 2) Scil. in Codice. 3) Hal. *εἰς*, quod forsan praestat.

τῶν οἰκείων παρουσίᾳ παρέδρων· οἱ δὲ οὔτε ἀρχὴν ἔχοντες οὔτε ἡμῖν ὑπηρετούμενοι εἰ μὴ μέλλοιεν οἴκοθεν γοῦν ἐπίστασθαι τὸ δίκαιον, ἀλλ' ἑτέρωθεν ἐρανίζεσθαι τὴν τοῦ δικάζειν εὐσχημοσύνην, πῶς οὐ μέγιστον τοῦτο ἐλάττωμα πολιτείας ἂν εἴη, τὸ μὴ τοῖς αὐτόθεν τὸ πρακτέον ἐπισταμένοις παραδοῦναι τὰς δίκας, ἀλλ' ἐᾶν αὐτοὺς ζητεῖν ἑτέρους, παρ' ὧν ἔξεστι μανθάνειν ἅπερ αὐτοὺς ἐν τῷ κρίνειν φθέγγεσθαι δεῖ; ταῦτα ἡμᾶς εἰκότως εἰς τὸν παρόντα νόμον ἀνέστησε, τῶν ἡμετέρων ὑπηκόων κηδομένους καὶ βουλομένους αὐτοῖς καὶ τὰ ἐπὶ ταῖς δίκαις εὔκολά τε εἶναι καὶ ῥᾴδια καὶ χωρὶς ἁπάσης ἀναβολῆς διαλύεσθαι.

α΄. Τὸ μὲν οὖν πάλαι σχῆμα τῆς διατάξεως Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως, ἥπερ ἑκάστῳ δικαστηρίῳ ῥητοὺς ἀφώρισε δικαστὰς, παντελῶς ἀναιροῦμεν, ἐπιλεγῆναι δὲ συνείδομεν δικαστὰς τοὺς τὴν πανταχόθεν ἐπὶ χρηστοῖς ἔχοντας μαρτυρίαν, οἵπερ κοινοὶ πάντων ἔσονται δικασταὶ οἷα πανταχόθεν[4]) ἐπιλελεγμένοι. καὶ δὴ τοῦτο πέπρακται, καὶ ᾕρηνταί τε παρ' ἡμῶν δικασταὶ Ἀνατόλιός τε ὁ περίβλεπτος, ἤδη τοῦ συνηγορεῖν πρῴην πεπαυμένος καὶ ἐν τοῖς περιβλέπτοις τοῦ δημοσίου συνηγόροις ταχθεὶς, Φλαβιανός τε ὁ λαμπρότατος, ὃς συνήγορος τοῦ δημοσίου καθέστηκε νῦν, καὶ πρός γε Ἀλέξανδρος καὶ Στέφανος καὶ Μηνᾶς, οἱ λογιώτατοι συνήγοροί τε καὶ διαιτηταὶ τῆς σῆς ἀγορᾶς, Ἀλέξανδρός τε ἕτερος (καὶ διαιτητὴν δὲ εἶναι κἀκεῖνον τοῦ δικαστηρίου τοῦ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων μεμαθήκαμεν), καὶ δύο ἐφεξῆς ἄλλοι συνήγοροι τῆς σῆς ἀγορᾶς, Βίκτωρ[5]) καὶ ὁ ἐκ Κυζίκου Θεόδωρος. ἐκ μὲν οὖν

4) Verba ἐπὶ χρηστ. — πανταχ. in Ven. desunt. Hal. habet eaque firmat Auth. 5) Hal. καὶ τρεῖς — Δανιὴλ τε καὶ Βίκτωρ. octo tantum e causidicis electos fuisse et quatuor e patriciis, ita ut duodecim constituerentur, praeter Ven. et Auth. testatur etiam Ecl. Basil. loco relato in Gesch. d. griech. röm. Rechts cit. proinde Holoandri lectio τρεῖς sine dubio reiicienda est: Victori autem fortassis etiam Danielis nomen erat, ut scri-

συνηγόρων οὗτοι δικασταὶ προκεκρίσθωσαν. [§. 1.] *ἐπειδὴ δὲ προσῆκόν ἐστιν εἶναι καὶ μείζους δικαστάς, τοὺς μὲν ἀξιώμασι προέχοντας καὶ πρός γε ἢ πείρᾳ πραγμάτων πολλῶν ἢ πολυχρονίῳ τριβῇ*[6]) *μεγίστων ἀρχῶν ἢ πλήθει τούτων ἐγγεγυμνασμένους καὶ τῇ τε ἡμετέρᾳ προσκαρτεροῦντας εὐσεβείᾳ, διὰ τοῦτο συνείδομεν ἐκ μὲν τῶν ἐνδοξοτάτων πατρικίων Πλάτωνα τὸν ἐνδοξότατον, μακρὸν ἐπὶ τῆς πολιαρχίας διανύσαντα χρόνον καὶ δὶς ἐπὶ τῶν θρόνων ἐκείνων γενόμενον, Βίκτωρά τε τὸν ἐνδοξότατον, καὶ αὐτὸν ἐπί τε τῆς μεγάλης Ἑλλάδος ἐπί τε τῆς σεμνῆς τῶν Ἀλεξανδρέων ἄρξαντα πόλεως καὶ πρός γε τῆς πολιαρχίας ἡγησάμενον καὶ οὐδὲ νόμων ἀνήκοον, καὶ Φωκᾶν τὸν ἐνδοξότατον ἐν τοῖς ἡμετέροις καταλέξαι δικασταῖς, ἄνδρα ὃν ὅ τε σὸς ἐπίσταται θρόνος ἐπαινουμένως αὐτοῦ προστάντα καὶ πρός γε τὰ ἐκ νόμων εἰδότα, καὶ ἐπὶ τούτοις Μάρκελλον τὸν μεγαλοπρεπέστατον, ἀεὶ μὲν ἡμῖν παρόντα καὶ περὶ τὴν τοῦ δικαίου θαυμαζόμενον τήρησιν καὶ παρὰ πάντων σχεδὸν τῶν ἡμῖν προσιόντων διὰ τοῦτο αἰτούμενον, παρέδρῳ τε χρώμενον ἐπαινουμένως διατιθέναι*[6a]) *τὰ ἐκ τῶν νόμων δυναμένῳ, φαμὲν δὲ Ἀππίονα τὸν περίβλεπτον, τῷ δημοσίῳ τε συνειπόντα καὶ τἆλλα μαρτυρίας ἀγαθῆς παρά τε τῶν ἄλλων παρά τε ἡμῶν αὐτῶν ἠξιωμένον.*

β'. Τοὺς μὲν οὖν δικαστὰς μετὰ τοὺς ἡμετέρους ἄρχοντας τούτους εἶναι βουλόμεθα, καὶ ἡμεῖς αὐτοὶ τούτοις ἅπασι[7]) *τὰς ὑποθέσεις κατὰ τὸ δοκοῦν ἡμῖν παραδώσομεν. εἰ δέ τις τῶν ἡμετέρων ἀρχόντων παραπέμπειν βούλοιτο δίκας, τούτοις δὴ τοῖς εἰρημένοις καὶ ὡρισμένοις παρ' ἡμῶν διαιτηταῖς ταύτας παραδώσει, καὶ ἑτέρῳ παντελῶς οὐδενὶ, πλὴν εἰ μὴ τοῖς παρέδροις τοῖς ἑαυτοῦ παραδοίη τὰς κατὰ μέρος ἐξετάσεις, αὐτὸς τὴν ὑπὲρ τοῦ παντὸς κρίσιν ἐξοίσων.*

ptum fuerit *ὁ καὶ Βίκτωρ*. 6) Ven. *τρυβῇ*. 6a) *ἐπαινουμένῳ ὡς?* Ita Auth. 7) Deest in Bas. Hal. *ἅπαντας*. forte *ἁπάσας*.

γ'. Καθεδοῦνται δὲ οἱ διαιτηταὶ διηνεκῶς ἐπὶ τῆς βασιλείου στοᾶς, ἐν οἷς καὶ νῦν οἰκίσκοις δικάζουσιν, ὄρθριοί τε εὐθὺς καὶ εἰς δείλην ὀψίαν. καὶ ἀκροάσονται τῶν δικῶν οὐ μόνον τῶν μετὰ τὸν νόμον τοῦτον κινηθησομένων παρ' αὐτοῖς, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσαι παρὰ μὲν τοῖς ἄλλοις οὐ κατὰ[8]) τὸ ἀρχικὸν ἐκινήθησαν σχῆμα, νῦν δὲ παρ' ἡμῶν εἰς αὐτοὺς μετενεχθῆναι προσετάχθησαν.

δ'. Ἐκείνου φυλαττομένου, ὡς εἴπερ ἐφέσιμοι παρὰ τῶν διαιτητῶν ἢ τῶν ἐνδοξοτάτων ἀνδρῶν γίνονται δίκαι αὗται, εἰ μὲν ἐξ ἡμῶν αὐτῶν παραπεμφθεῖεν, κατὰ τὸ ποσὸν ἢ εἰς τὸ κοινὸν τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων ἐξετασθήσονται ἢ ἑτέροις κατὰ τὸ ἔθος τῶν θείων consultationων παραπεμφθήσονται. εἰ μέντοι τινὲς τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων δίκας αὐτοῖς παραπέμψαιεν, ἐπ' αὐτοὺς τοὺς παραδόντας αὐτοῖς τὰς ἀκροάσεις ἡ ἔφεσις ἥξει, ἐξ ἐκείνων δὲ αὖθις κατὰ τὸν εἰρημένον τρόπον τὰ τοιαῦτα κριθήσονται.

ε'. Ἀκροάσονται δὲ πάντες τῆς μὲν δίκης ἄχρι τριακοσίων οὔσης νομισμάτων ἐν σχήματι παρασημειώσεως. οὕτω γὰρ θᾶττον αἱ δίκαι κριθήσονται, καὶ τῶν ἐπὶ ταῖς διαγνώσεσι κύκλων καὶ τῆς τοῦ χρόνου τριβῆς τὸ δικαζόμενον ἅπαν ἀπαλλαγήσεται. πρόδηλον δὲ, ὡς εἰ καὶ κατὰ παρασημείωσιν ἀκροάσονται τῶν δικῶν, ἀλλὰ δώσουσιν ὅρον ἐν γράμμασι τὸν τὴν αὐτῶν δηλοῦντα γνώμην, τῶν ἐπὶ τούτοις ἐφέσεων οὐδενὶ παντελῶς ἀνῃρημένων, πλὴν εἰ μὴ τρισσάκις ἐκκαλέσασθαί τις βουληθείη ἢ κατὰ προπέτειαν ἀπολειφθείη· τοῖς γὰρ τοιούτοις καὶ ὁ τῶν ἐφέσεων ἀνῄρηται λόγος.

ϛ'. Τὰς δὲ ἐκ τῆς μεγάλης ταύτης πόλεως ἀπὸ τῶν διαιτητῶν ἐφέσεις εἰς τοὺς δικαστὰς οὐ περαιτέρω δύο μηνῶν ἔχειν προθεσμίαν ἐν τῷ δρόμῳ τῶν κυρίων βουλόμεθα,

8) Florent. ὅσαι παρὰ intermediis omissis. in Basil et Auth. οὐ deest. legerim ὅσαι παρὰ μὲν ἄλλοις οὐ κατὰ τὸ ἀρχαῖον σχῆμα, ut intelligantur lites apud iudices alios quam quos Zenonis constitutio instituerat pendentes.

μεθ' οὓς ἀνάγκη τὰς κυρίας τοῦ ἑαυτῶν ἄρξασθαι δρόμου, τῆς καλουμένης παρὰ τῶν νόμων reparationos[9]) χώραν ἐπὶ τούτων οὐδεμίαν ἐχούσης.

ζ'. Οὐδενὸς θαῤῥοῦντος ἐκβαίνειν τὰ ἐπὶ τοῖς sportulois ἢ ταῖς δικαστικαῖς δαπάναις παρ' ἡμῶν διατεταγμένα, ἀλλὰ πάντων αὐτοῖς[10]) ἐμμενόντων καὶ εὐλαβουμένων τὴν ποινὴν, ἣν ἐπὶ τοῖς τοιούτοις ἡ θεία ἡμῶν διάταξις ὥρισεν. [§. 1.] τῶν τὰς δίκας παρασκευαζόντων οὕτως ὄντων, ὅσον κατὰ τὸ τῆς στρατείας σχῆμα, ὡς μέχρι νῦν ὡρίσθησαν. ἑκάστου μέντοι δικαστοῦ δύο μὲν τοῖς ὑπογράφουσι χρωμένου, δύο δὲ τοῖς τὰς δίκας παρασκευάζουσί τε καὶ ἐπείγουσιν, οὐ δυναμένων τῶν αὐτῶν πολλοῖς ἢ δύο γοῦν ὅλως ὑπηρετεῖσθαι δικασταῖς. τούτους δὲ παντοίως πιστούς τε καὶ δεδοκιμασμένους εἶναι, ὥστε μηδὲν παρ' αὐτῶν ἁμαρτάνεσθαι μήτε προδίδοσθαι μήτε κακουργεῖσθαι, ἀλλὰ κινδύνῳ τῶν τάξεων ἢ σχολῶν ἢ σκρινίων τῶν παρεχόντων αὐτοῖς[11]) τὴν ἐπ' αὐτοῖς ἐπιλογήν τε ἅμα καὶ ὑπουργίαν εἶναι, καὶ κἂν εἴ τι παρ' αὐτῶν πταισθείη, πρὸς τοὺς ἀφορίσαντας αὐτοὺς φέρεσθαι τὸν ἐκεῖθεν κίνδυνον, οἵπερ πᾶσαν ζημίαν παρὰ τὴν αὐτῶν αἰτίαν γενομένην τοῖς παρ' ἐκείνων βλαβεῖσι θεραπεύσαιεν. ἀνάγκην ἐχόντων καὶ τῶν προσφόρων ἀρχόντων, εἰ προσελευσθεῖεν, παρασκευάζειν πάντως τοὺς ἐκ τῶν οἰκείων τάξεων ἢ σχολῶν ἢ σκρινίων προβαλλομένους τοὺς ὑπουργοῦντας τὴν ἐντεῦθεν τῷ βλαβέντι θεραπεύειν ζημίαν. εἰ δὲ ὁ δικαστὴς αἴσθηταί τι πονήρευμα παρά τινος τῶν ὑπουργούντων γινόμενον, ἀπελάσει μὲν τῆς ἀκροάσεως τῆς αὐτοῦ τοὺς οὐ μετὰ χρηστῆς δόξης τῷ πράγματι χρωμένους, ἑτέρους δὲ ἐγκαταστήσει γνώμῃ καὶ προβολῇ τῶν οἷς ταῦτα καθάπερ εἰπόντες ἔφθημεν κεκινδύνευται.

η'. Εἰ δέ τις ἢ τῶν ἐνδοξοτάτων ἢ τῶν ἐλλογιμω-

9) Ven. inter lineas ἀνακαινίσεως. 10) Ven. τοῖς αὐτοῖς, quod ex Hal. et Bas. correxi. 11) Omnino legendum αὐτοὺς, scil. exceptores et executores.

τάτων ἡμῶν δικαστῶν παύσοιτο τοῦ δικάζειν καθ' οἱανοῦν αἰτίαν, οὐκ ἄλλως ἕτερος αὐτοῦ διαδέξηται τὴν ἀκρόασιν, πλὴν εἰ μὴ τοῦτο ἡμεῖς ἐγκρίνοντες ἑτέρῳ παραδοίημεν τὴν ἀντ' αὐτοῦ τῶν δικῶν ἐξέτασιν.

θ'. Ὅπως δ' ἂν μὴ ὁ περὶ ταῦτα πόνος ἄμισθος τοῖς ἡμετέροις γένηται διαιτηταῖς, θεσπίζομεν αὐτοὺς ἐν ἑκάστῃ παρ' αὐτοῖς λεγομένῃ δίκῃ, κἂν εἰ θειόθεν παραπεμφθείη, ἀνὰ δύο μὲν χρυσοὺς παρ' ἑκατέρου μέρους ἐν τῇ προκατάρξει λαμβάνειν, ἀνὰ δύο δὲ ἐν τῷ πέρατι τῆς ὑποθέσεως, καὶ περαιτέρω τούτων μηδὲν (τοῦτο ὅπερ καὶ οἱ πρὸ ἡμῶν διωρίσαντο), ἀλλὰ τούτοις ἀρκεῖσθαι καὶ μόνοις, δηλαδὴ τῶν προνομίων τῶν ἐπ' ἐλαττώσει τῶν δαπανημάτων τισὶν ὑπαρχόντων ἅπασιν ἀκεραίων κατὰ τὴν ἑαυτῶν τάξιν φυλαττομένων. ταῦτα δέ φαμεν ἐπὶ τῶν δικῶν τῶν ὑπερβαινουσῶν ποσότητα χρυσῶν ἑκατόν. εἰ γὰρ μέχρι τούτου τὸ μέτρον εἴη τῶν δικῶν, οὐδὲν αὐτοὺς δικαστικῶν ἕνεκεν ἀπαιτεῖσθαι βουλόμεθα· ἐκ γὰρ οὕτως ἐλαχίστης ποσότητος ὁ τὴν οἱανοῦν ἐξαίρεσιν ποιούμενος μεγίστῳ μέρει τῆς νίκης[12]) τὸν οὕτω πεπονημένον ἐλαττοῖ. καὶ οὐ μέχρι τούτων ἱστάμεθα μόνων, ἀλλὰ καὶ οἴκοθεν αὐτοῖς φιλοτιμούμεθα. βουλόμεθα γὰρ ἕκαστον τῶν τοιούτων διαιτητῶν ἔτους ἑκάστου παρὰ τῆς τραπέζης τῆς σῆς ὑπεροχῆς κομίζεσθαι duo librarum auri[13]), καὶ ταύταις ἀρκεῖσθαι καὶ μόναις, ἀδωροτάτους τε εἶναι καὶ χρυσίου παντὸς ὑπερφρονεῖν. διὰ τοῦτο γὰρ εἱλόμεθα τὸ δημόσιον ἐλαττῶσαι, ἵνα καὶ αὐτῶν ἕκαστος ἀρκούμενος τῇ τε παρ' ἡμῶν δόσει τοῖς τε ἀνὰ τέτρασι χρυσοῖς καθαρὰς τῷ θεῷ τε καὶ ἡμῖν καὶ τῷ νόμῳ φυλάξῃ τὰς χεῖρας, ἐνθυμούμενος οἷα περὶ τούτων τοῖς ἔμπροσθεν νομοθέταις διηγόρευται.

ι'. Τὸ δὲ χρῆναι καὶ τὸν τῶν δαπανημάτων λόγον τοὺς

12) Ven. δίκης. sed νίκης propter sequens πεπονημένον scil. ὑπὲρ τῆς νίκης praestat. 13) Ven. inter lineas δύο λίτρας χρυσίου.

δικαστὰς πάντως κατεξετάζειν (ἐπειδὴ τοῦτο καλῶς καὶ ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως ἐπέταξε ψῆφος, ἡμεῖς τε οὐκ ἀπηξιώσαμεν μέρος καὶ αὐτὸ τῶν ἡμετέρων ποιῆσαι διατυπώσεων) μενέτω καὶ νῦν ἐπὶ τοῦ αὐτοῦ[14]) σχήματος φυλαττόμενον, ἐκείνου μόνου προσεπιτιθεμένου τοῦ εἴπερ ὅρκον ἐπαγάγοι περὶ τῶν δαπανημάτων ὁ δικαστὴς τῷ νενικηκότι (δηλαδὴ μετὰ τῆς φαινομένης αὐτῷ ὀρθῶς ἔχειν ποσότητος, ἣν δὴ ταξατίονα καλοῦσιν οἱ νόμοι), εἶτα ἐκεῖνος[15]) ἐπομόσοιτο, μὴ ἔχειν ἄδειαν τὸν δικαστὴν εἰς[16]) ἐλάττόνα τῶν ὀμωμοσμένων καταδικάζειν μηδὲ φαίνεσθαι φιλανθρωπότερον τοῦ νόμου τοῦ ταῦτα διατάττοντος. εἰ μέντοι συνείδοι μὴ δεῖν μηδέτερον τῶν μερῶν τῷ τῶν δαπανημάτων ὑποθεῖναι λόγῳ διὰ τὸ τῆς ὑποθέσεως ἴσως ποικίλον, αὐτὸ τοῦτο διορίζεσθαι ψήφῳ. πάντων τῶν ἄλλων τῶν ἐπὶ ταῖς ἐφέσεσι (καθάπερ εἰπόντες ἔφθημεν), καὶ τῶν ἐπὶ ταῖς παραιτήσεσι, καὶ τῶν περὶ τοῦ μὴ προχείρως καὶ σὺν ἀνάγκῃ γίνεσθαι τὰς προκατάρξεις ἀλλ' ἔχειν τὴν τῶν εἴκοσιν ἡμερῶν προθεσμίαν[17]), καὶ εἴ τι ἄλλο δικαστικὸν ὡρίσαμεν, πάντως ἐπὶ τῆς οἰκείας μενόντων ἰσχύος.

ια΄. Ἐπειδὴ δὲ πολλαί τινες ἡμῖν γίνονται προσελεύσεις αἱρουμένων τινῶν δικαστὰς παντοίως ἀνεπιστήμονας καὶ νόμων καὶ πείρας, καὶ ὑπὸ προθυμίας ὀμνύουσιν ἐμμένειν τοῖς δικασταῖς οἷς οὐκ ἄν τις οὐδ' ὁτιοῦν πιστεύσειεν, εἶτα ἀναπείθουσιν ἴσως καὶ τοὺς δικαστὰς τὸν τοιοῦτον δῆθεν αὐτοῖς ὅρκον παρέχειν ἄνδρας οὐδὲ ὅ τί ποτέ ἐστι τὸ δίκαιον οὐδὲ τὴν αὐτοῦ παρατήρησιν ἐπισταμένους, καὶ εἰκότως βλαβέντες αἰτοῦσιν ἐξετασθῆναι τὴν ὑπόθεσιν ἐπιλαθόμενοι τῶν ὅρκων ὧν ὤμοσαν, τὸ πρᾶγμα ἡμῖν ἐπιστροφῆς ἄξιον ἐνομίσθη. [§. 1.] καὶ ἐπειδήπερ ἔγνωμεν ἐκ τῆς τῶν πραγμάτων πείρας σφαλερὸν εἶναι τὸ τοιοῦτο,

14) Ven. ταὐτοῦ, sed correctum in τοῦ αὐτοῦ. 15) Ven. ἐκεῖνο. 16) Ven. εἰς non habet. 17) Const. LXXI.

θεσπίζομεν τοῦ λοιποῦ μηδένα γίνεσθαι παντελῶς δικαστὴν αἱρετὸν καὶ μετὰ τῆς ἐξ ὅρκων ἀσφαλείας δικάζεσθαι, ἵνα μὴ ἐντεῦθεν εἰς ἐπιορκίαν ἀκούσιον ἐμπίπτωσιν ἄνθρωποι διὰ τὴν τῶν δικαστῶν ἀμαθίαν ἐπιορκεῖν ἀναγκαζόμενοι, ἀλλὰ πάντως οἱ τὸν δικαστὴν ἢ τοὺς δικαστὰς αἱρούμενοι μετὰ ποινῆς αὐτοὺς ἐπιλεγέσθωσαν, ὁπόσης ἂν τὰ μέρη πρὸς ἄλληλα συμβαῖεν, καὶ ἀνάγκην ἐχέτωσαν ἢ ἐμμένειν τῇ κρίσει ἢ εἴπερ ταύτην[18]) *ἀναψηλαφῆσαι βουληθεῖεν, πρότερον δοῦναι τὸ πρόστιμον, οὕτω τε ἄδειαν ἔχειν ἀναχωρεῖν τῶν κεκριμένων καὶ ἐφ' ἕτερον χωρεῖν δικαστήν· τῶν ἡμετέρων ἀρχόντων, εἴ γε προσελευσθεῖεν, ἐκβιβαζόντων τὰ πρόστιμα καὶ τοῖς ταῦτα προσταχθεῖσι λαβεῖν ἀποκαταστῆναι παρασκευαζόντων. εἰδότων τῶν τοὺς δικαστὰς αἱρουμένων, ὡς εἰ μὴ τοῦτο πράξαιεν μηδὲ ἐπερωτήσουσι ποινὴν, ἀλλ' οἰηθῶσιν ἀρκεῖν αὐτοῖς τὴν ἐκ τῶν ὅρκων ἀσφάλειαν, εἶτα οἱ δικασταὶ οἱ οὕτως αἱρεθέντες βλάψουσιν αὐτοὺς, εἰ μὲν ἐξεπίτηδες, τῷ δεσπότῃ θεῷ τὴν ποινὴν τῆς ἐπιορκίας ὑφέξουσιν, εἰ δὲ ἐξ ἀμαθίας τοῦτο ὑποσταῖεν, οὐδὲν παρὰ τοὺς ὅρκους αὐτοῖς ἔσται πλέον. οὔτε γὰρ ἐπιορκίαν παρά τινος γίνεσθαι βουλόμεθα, οὔτε αὖθις τοὺς δικαζομένους ζημίαν ὑφίστασθαι μεγάλην διὰ τὴν τῶν δικαστῶν ἀμαθίαν παρὰ τὴν τῶν ὅρκων εὐλάβειαν συγχωροῦμεν. πάντων τῶν ἔμπροσθεν νενομοθετημένων, εἴτε ἐκ τῆς ἀρχαίας νομοθεσίας εἴτε καὶ παρ' ἡμῶν, περὶ τῶν* compromissari*ων*[19]) *δικαστῶν ἢ ἐπὶ τοῖς αἱρετοῖς (χωρὶς μέντοι τῆς περὶ*[20]) *τῶν ὅρκων ἀνάγκης) μενόντων ἐπὶ τῆς ἰδίας ἰσχύος, καὶ οὐδὲν ἐκ τοῦδε ἡμῶν τοῦ νόμου καινιζομένων.*

ιβ'. Τοὺς μέντοιγε ἡμετέρους ἄρχοντας πᾶσι τρόποις δέχεσθαι τὰς ἐκκλήτους θεσπίζομεν, καὶ μηδενὶ παῤῥησίαν

18) In Ven. *ταύτην* deest. 19) Ven.: comissari*ίων*: (emendationem „compromissar*ίων*“ firmat schol. Basil.) Hal. *περὶ τῶν διαιτητῶν μόνον δικ.* Bas. *περὶ τῶν διαγνωμόνων δικ.* 20) Hal. *παρά.* malim *τοῖς περὶ τῆς.*

εἶναι παντελῶς τοῦτο διωθεῖσθαι, πλὴν μόνου τοῦ θρόνου τῆς σῆς ὑπεροχῆς, ᾧτινι τοῦτο ἄνωθεν ἡ βασιλεία πεφιλοτίμηται τὴν τῆς ἀναψηλαφήσεως ἀντεισάγουσα βοήθειαν.

ιγ'. Πᾶς[21]) δὲ δικαστὴς εἴτε ἀρχὴν ἔχων εἴτε ἄλλως δικάζων τηρείτω τοὺς νόμους καὶ κατὰ τούτους φερέτω τὰς ψήφους, καὶ κἂν εἰ συμβαίη κέλευσιν ἡμετέραν ἐν μέσῳ κἂν εἰ θεῖον τύπον, κἂν εἰ πραγματικὸς εἴη φοιτήσας λέγων τοιῶσδε[21a]) χρῆναι τὴν δίκην τεμεῖν, ἀκολουθείτω τῷ νόμῳ· ἡμεῖς γὰρ ἐκεῖνο βουλόμεθα κρατεῖν, ὅπερ οἱ ἡμέτεροι βούλονται νόμοι. εἰ γὰρ ἔκκλητος ἡ δίκη γένηται, ὁ μὲν δικαστὴς δεχέσθω πάντως τὴν ἐπιδιδομένην ἔφεσιν[22]) οὐδ' ὁτιοῦν παντελῶς προφασιζόμενος, ἐφ' ὧν ὅλως ἔξεστιν ἐγκαλεῖσθαι, ἡ δὲ ἐκ τῶν ἐκκλήτων βοήθεια πᾶσι προκείσθω, δι' ἧς ἔξεστι τῷ βλαβέντι καὶ μέμψασθαι καὶ τυχεῖν ἐπανορθώσεως, ἢ παρὰ τῶν ἐφετῶν ἢ παρ' ἡμῶν αὐτῶν, εἴπερ εἰς ἡμᾶς ἡ ψῆφος ἐνεχθείη.

ιδ'. Εἰ δέ τι κρίνοντες οἱ δικασταὶ νομίσαιεν ἀμφισβητήσιμον εἶναι, δίδομεν αὐτοῖς ἄδειαν τὰ περὶ τούτου μηνύειν εἰς ἡμᾶς, καὶ πυνθάνεσθαί τε ἡμῶν καὶ μανθάνειν τὰ δέοντα, καὶ οὕτω τὸ πρακτέον ὑφηγεῖσθαι καὶ ποιεῖν δικαίας τε ἅμα καὶ εὐλόγους τὰς κρίσεις.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τὴν τῶν ἡμετέρων ὑπηκόων ὠφέλειαν πεπραγμένα ταῦτα ἐπί τε τῆς βασιλείου προθήσει στοᾶς, ἐπί τε τῶν ἄλλων μερῶν τῆς μεγάλης ταύτης ἡμῶν πόλεως, ὥστε ἅπασι ταῦτα γενέσθαι φανερὰ καὶ μαθεῖν, ὅτι διὰ πάντων ἡμῖν μέλει τῆς αὐτῶν ἀσφαλείας τε καὶ ἀπραγμοσύνης. Dat. XV K. Apr. CP. imp. DN. Iustiniano PP. A. ann. XII Apione V. C. Cons.[23])

21) Ven. in margine περὶ τοῦ χρῆναι τοὺς δικαστὰς κατὰ τοὺς ' . . ᾱ νόμους ἐκφέ[ρε]ιν τὰς δίκας. 21a) φοιτῆσαι λέγοντα ὡς δή? 22) Ven. in marg.: ἔφεσίς ἐστι ἡ ἐκ δικαστηρίου εἰς ἕτερον δικαστήριον μεταγωγή. 23) Auth. VI. Id.

Nov. 86. CIII. Auth. 123.

Basil. VI, 22, 1 sqq. Summae: Iulian. c. 69, Athan. I, 3. Theod. Nov. 86, Nomoc. XIV titt. 8, 2. 9, 27. 10, 5. — In cod. Ambrosiano, in quo haec constitutio extat, rubrica est *Ὥστε τὸν ἐπίσκοπον συνακροᾶσθαι τῷ ἄρχοντι.*

Ὥστε ὑπερτιθεμένους τοὺς ἄρχοντας ἀκούειν τῶν τοῦ προσιόντος δικαίων συνελαύνεσθαι παρὰ τῶν ἐπισκόπων τοῦτο πράττειν. καὶ ὥστε ἡνίκα τὶς ἐν ὑπονοίᾳ ἔχει τὸν ἄρχοντα, συνακροατὴν τῆς δίκης λαβεῖν τὸν τῆς πόλεως ἐπίσκοπον. καὶ περὶ τοῦ τοὺς ἐπηρεαζομένους ὑπὸ ἄρχοντος τῷ ἐπισκόπῳ προσιέναι. καὶ περὶ ἑτέρας παραφυλακῆς ὑπὸ ἐπισκόπων ὀφειλούσης πάντως κρατύνεσθαι παρὰ ἀρχόντων γενέσθαι.[1])

Αὐτοκράτωρ[2]) *Ἰουστινιανὸς Αὔγουστος.*

Ἐξ οὗπερ ἡμᾶς ὁ θεὸς τῇ Ῥωμαίων ἐπέστησε βασιλείᾳ πᾶσαν τιθέμεθα σπουδὴν πάντα πράττειν ἀεὶ τὰ πρὸς ὠφέλειαν τῶν ὑπηκόων τῆς ἐμπιστευθείσης ἡμῖν παρὰ τοῦ θεοῦ πολιτείας, κἀκεῖνα πράττειν, ἅπερ πάσης αὐτοὺς δυσχερείας καὶ βλάβης καὶ συντριβῆς ἀπαλλάσσει, ἵνα μὴ προ-

April. in Ven. est: Dat. XV. reliqua desiderantur. ea addo ex Theod. ubi sic est: *ἐξεφωνήθη μηνὶ ἀπριλίῳ τῆς ὑπατείας ἀπίονος ἔτει ιβ΄ τῆς βασιλείας ἰουστινιανοῦ.* annus imperii bene habet, si Dat. XV Kal. April. legeris. Athanasii Codex *ἐγρά. ςιδιατ. ἀπριλ. βασιλείας ἰουστινιανοῦ τὸ ιγ΄ ὑπατείας ἀπίωνος.* ibi si propter annum imperii XIII legeris *ς΄ ἰδῶν*, Athanasius cum Auth. faciet. scilicet XV K. Apr. a Iustiniano sancita est constitutio, et VI Id. Apr. e scriniis emissa.

1) Haec ultima verba suspecta sunt: oratio enim non bene procedit et vetus interpres verba *κρατύνεσθαι παρὰ ἀρχόντων* non vertit. 2) Hal. *Αὐτοκράτορος — ἔδικτον.* in Cod. Ambros. solennior inscriptio est, qualis supra c. LX.

φάσει δικῶν καὶ ἑτέρων τινῶν ἀποδημεῖν ἀναγκάζωνται τῆς ἰδίας πατρίδος καὶ ἐπὶ ξένης ταλαιπωρεῖσθαι.

α΄. Διὰ τοῦτο τοίνυν καὶ ἐπὶ τοῦ παρόντος συνείδομεν τὸ παρὸν ἔδικτον εἰς ἅπαν καταπέμψαι τὸ ὑπήκοον καὶ δῆλον ποιῆσαι τοῖς πασῶν τῶν πόλεων καὶ τῶν κωμῶν οἰκήτορσιν, ἐφ᾽ ᾧτε εἴπερ ἔχοι τὶς ἀμφισβήτησιν πρὸς ἕτερον, εἴτε περὶ χρηματικῆς αἰτίας εἴτε περὶ ἀφαιρέσεως πραγμάτων κινητῶν ἢ ἀκινήτων ἢ αὐτοκινήτων εἴτε περὶ ἐγκληματικῶν[3]*), πρότερον προσιέναι τῷ λαμπροτάτῳ τῆς ἐπαρχίας ἄρχοντι, ἐφ᾽ ᾧτε αὐτὸν κατὰ τοὺς ἡμετέρους νόμους ἐξετάσαι τὰ προσαγγελλόμενα καὶ ἑκάστῳ τὸ δίκαιον φυλάττειν. εἰ δὲ προσιών τις τῷ ἄρχοντι τῆς χώρας μὴ τύχῃ τῶν δικαίων, τότε κελεύομεν αὐτὸν προσελθεῖν τῷ κατὰ τὸν τόπον ὁσιωτάτῳ ἐπισκόπῳ, καὶ αὐτὸν πέμψαι προς τὸν λαμπρότατον τῆς ἐπαρχίας ἄρχοντα ἢ καὶ δι᾽ ἑαυτοῦ παραγενέσθαι πρὸς αὐτὸν, καὶ παρασκευάσαι αὐτὸν ἵνα πᾶσι τρόποις ἀκούσῃ τοῦ προσιόντος καὶ ἀπαλλάξῃ αὐτὸν μετὰ τοῦ δικαίου κατὰ τοὺς ἡμετέρους νόμους, ὥστε μὴ ἀναγκασθῆναι αὐτὸν ἀποδημεῖν τῆς ἰδίας πατρίδος. εἰ δὲ καὶ τοῦ ὁσιωτάτου ἐπισκόπου ἐπείγοντος τὸν ἄρχοντα μετὰ τοῦ δικαίου διαλῦσαι τὰ τῶν προσιόντων πράγματα ὁ ἄρχων διαναβάλλεται, ἢ κρίνει μὲν τὴν ὑπόθεσιν, μὴ φυλάξει δὲ τοῖς κρινομένοις τὸ δίκαιον, ἐπιτρέπομεν τῷ ὁσιωτάτῳ ἐπισκόπῳ ἐκείνης τῆς πόλεως δοῦναι πρὸς ἡμᾶς γράμματα τῷ μὴ τυχόντι τοῦ δικαίου, δηλοῦντα ὅτι ἐπειχθεὶς παρ᾽ αὐτοῦ ὁ ἄρχων ἀνεβάλετο ἀκοῦσαι τοῦ προσιόντος καὶ διακρῖναι τὰ μεταξὺ αὐτοῦ τε καὶ τοῦ παρ᾽ αὐτοῦ ἐν αἰτιάσει γενομένου, ἵνα ταῦτα γνόντες ἡμεῖς τιμωρίας ἐπάξωμεν τῷ τῆς ἐπαρχίας ἄρχοντι, ἐφ᾽ οἷς προσελευσθεὶς παρὰ τοῦ ἀδικουμένου καὶ ἐπειχθεὶς παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου οὐ διέκρινε τὰ ἀμφισβητούμενα.*

3) Ven. *ἐγκλημάτων*. praetuli Hal. et Auth. lectionem, quippe praecedenti *χρηματικῆς αἰτίας* melius respondentem.

β'. Εἰ δὲ συμβῇ τινα τῶν ἡμετέρων ὑπηκόων ἐν ὑποψίᾳ ἔχειν τὸν ἄρχοντα, κελεύομεν τῷ ὁσιωτάτῳ ἐπισκόπῳ συνακροᾶσθαι τῷ λαμπροτάτῳ ἄρχοντι, ὥστε ἀμφοτέρους ἢ κατὰ φιλικὴν συμβίβασιν διαλῦσαι τὰ ἀμφισβητούμενα ἢ κατὰ παρασημείωσιν ἔγγραφον ἢ διαγνωστικῶς διακρῖναι τὰ μεταξὺ τῶν δικαζομένων, καὶ τύπον δοῦναι τὸν τῷ δικαίῳ καὶ τοῖς νόμοις συμβαίνοντα, ὥστε μὴ καταναγκάζεσθαι τοὺς ἡμετέρους ὑπηκόους διὰ τὰς τοιαύτας αἰτίας ἀποστῆναι τῆς ἰδίας πατρίδος.

γ'. Εἰ δέ τις οἰόμενος ἔχειν κατά τινος ἀγωγὴν οἱανδήποτε μὴ τῷ λαμπροτάτῳ τῆς ἐπαρχίας ἄρχοντι προσέλθοι μηδὲ τῷ ὁσιωτάτῳ τῆς πόλεως ἐπισκόπῳ ἐντύχῃ, καὶ οὕτως ἔλθῃ ἐνταῦθα χωρὶς γραμμάτων τοῦ ὁσιωτάτου ἐπισκόπου, ἴστω ὅτι τοιούτας καὶ αὐτὸς ὑποστήσεται τιμωρίας, οἵας ἔμελλεν ὑπομένειν ὁ ἄρχων, εἴ γε προσελευσθεὶς παρ' αὐτοῦ οὐκ ἐσπούδασεν αὐτῷ φυλάξαι τὸ δίκαιον. ταῦτα δὲ πάντα θεσπίσαι συνείδομεν δι' ὠφέλειαν τῶν οἰκούντων τὰς πόλεις καὶ τὰς κώμας, ἵνα μὴ ἀπολιμπανόμενοι τῶν ἰδίων πατρίδων καὶ αὐτοὶ ἐπὶ ξένης κακοπαθῶσι καὶ τὰ πράγματα αὐτῶν βλάπτηται. διὰ τοῦτο γὰρ καὶ τοὺς ἄρχοντας προῖκα ποιοῦμεν καὶ ὅρκον αὐτοὺς ὑποσχεῖν παρακελευόμεθα, ἵνα ἑκάστῳ προσιόντι αὐτοῖς τὰ δίκαια φυλάξωσι κατὰ τοὺς ἡμετέρους νόμους.

δ'. Εἰ μέντοι συμβῇ τινα τῶν ἡμετέρων ὑπηκόων παρ' αὐτοῦ τοῦ λαμπροτάτου τῆς χώρας ἄρχοντος ἀδικηθῆναι, κελεύομεν αὐτὸν προσελθεῖν τῷ ὁσιωτάτῳ τῆς πόλεως ἐκείνης ἐπισκόπῳ, καὶ αὐτὸν διακρῖναι μεταξὺ τοῦ λαμπροτάτου ἄρχοντος καὶ τοῦ οἰομένου ἀδικεῖσθαι παρ' αὐτοῦ. καὶ εἰ μὲν συμβῇ τὸν ἄρχοντα νομίμως ἢ δικαίως κατακριθῆναι παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου, τὸ ἱκανὸν αὐτὸν ποιεῖν παντὶ τρόπῳ τῷ ἐντυχόντι κατ' αὐτοῦ. εἰ δὲ παραιτήσεται ὁ ἄρχων τοῦτο ποιῆσαι καὶ ἔλθῃ εἰς ἡμᾶς ἡ αὐτὴ δίκη, εἰ μὲν εὕροιμεν ὅτι δικαίως καὶ κατὰ τοὺς νόμους

κατακριθεὶς παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου τὰ κριθέντα οὐκ ἐποίησε, ταῖς ἐσχάταις ὑποβληθῆναι τιμωρίαις τοῦτον κελεύομεν, ἐφ' οἷς ὀφείλων ἐκδικεῖν τοὺς ἀδικουμένους αὐτὸς ἀδικῶν εὑρίσκεται.

ε'. Καὶ τὴν πειθομένην δὲ αὐτῷ τάξιν κελεύομεν μετὰ πάσης σπουδῆς καὶ τοὺς ὑπηρετοῦντας τοῖς λαμπροτάτοις ἄρχουσι τοὺς προσιόντας ἀπαλλάττειν, μηδὲν κομιζομένους ἔξω τῶν ἐγκειμένων ταῖς ἡμετέραις διατάξεσιν. εἰ δὲ μὴ τοῦτο φυλάξουσιν, ταῖς ἐσχάταις αὐτοὺς ὑποβληθῆναι τιμωρίαις κελεύομεν.[4])

ϛ'. Εἰ μέντοι εὕροιμέν τινα τῶν ὁσιωτάτων ἐπισκόπων πρὸς χάριν τινὸς παριδόντα τὸ δίκαιον, κανονικὸν αὐτῷ σωφρονισμὸν ἐπαχθῆναι κελεύομεν, ἵνα σπουδάσωσι μετὰ τοῦ φόβου τοῦ θεοῦ τὰ δίκαια κρίνειν, ἵνα μὴ διὰ τὸ μὴ τυγχάνειν τῶν δικαίων ἀναγκάζωνται ἄνθρωποι καταλιμπάνειν τὰς ἰδίας πόλεις καὶ χώρας καὶ τόπους καὶ προστρέχειν ἐνταῦθα.

ζ'. Ἐν δὲ ταῖς πόλεσιν, ἐν αἷς οὐκ ἐνδημοῦσιν ἄρχοντες, κελεύομεν τοὺς ἔχοντας πράγματα προσιέναι τῷ ἐκδίκῳ καὶ αὐτὸν διακρίνειν τὰ μεταξὺ αὐτῶν. εἰ δὲ οἱ τὴν δίκην ἔχοντες μὴ βουληθῶσι τὸν ἔκδικον, ἀλλὰ τὸν ὁσιώτατον ἐπίσκοπον δικάσαι, καὶ τοῦτο κελεύομεν γίνεσθαι.

η'. Οὔτε δὲ μοναχὸν οὔτε κληρικὸν οὔτε ἐπίσκοπον[5]) *κελεύομεν ἔρχεσθαι ἐνταῦθα ἄνευ γραμμάτων τοῦ ὁσιωτάτου αὐτῶν πατριάρχου, ἢ εἰδέτωσαν ὡς ἀναξίους ἑαυτοὺς τοῦ σχήματος ποιήσουσιν.*

ϑ'. Εἰ δέ τις μαγιστριανὸς ἢ ἐπαρχικὸς οἱασδήποτε τύχης ὢν λάβῃ πλείονα σπόρτουλα τῶν ὡρισμένων ταῖς θείαις

4) Ven. addit *ἤτοι τῇ τοῦ τετραπλασίονος ἀποτίσει καὶ ποινῇ*. quae verba quum apud Hal. in Bas. et in Auth. desint, nec *ἐσχάτην τιμωρίαν* constituant, expungenda videbantur esse.
5) Vapulat Balsamon, qui ad Nomoc. 8, 2 *ἐν τῷ πλάτει* solius episcopi mentionem fieri dicit. neque enim Auth. solum, sed et Ath. et Theod. cum nostra lectione faciunt.

ἡμῶν διατάξεσι, κελεύομεν πᾶσι τρόποις τῷ ἄρχοντι τῆς ἐπαρχίας κινδύνῳ ἰδίῳ κατὰ τὸν ἡμέτερον νόμον τοῦτο ἐκδικεῖν καὶ σωφρονισμὸν ἐπάγειν τοῖς τὰ τοιαῦτα τολμῶσιν. εἰ δὲ μὴ ἐκδικήσει ταῦτα ὁ ἄρχων, ἄδειαν δίδομεν τῷ ὁσιωτάτῳ τῆς πόλεως ἐκείνης ἐπισκόπῳ μηνύσαι ἡμῖν τὰ περὶ τούτων καὶ οἵαν ἔχει στρατείαν ἢ ἀξίαν ὁ ταῦτα τολμήσας, ἵνα καὶ τῷ ἄρχοντι τὸν κίνδυνον ἐπάξωμεν τῷ συγχωρήσαντι καὶ παριδόντι τὴν ἡμετέραν κέλευσιν, καὶ αὐτὸν δὲ κελεύσωμεν τιμωρηθῆναι τὸν τὰ τοιαῦτα τολμήσαντα.[6] [Dat. XV. Kal. Mai. imp. DN. Iustiniani A. ann. XIII. Apione V. C. Cons.]

Nov. 83. **CIV.** Auth. 84.

Hal. rubricam tantum et inscriptionem habet. prooemium et c. 1 est in Coll. 87 capp. c. 12. — Summas praestant Iulian. c. 77, Ath. I, 4, Theod. Nov. 83, αἱ ῥοπαὶ 14, 20, Nom. XIV titt. 9, 1.

Περὶ τοῦ τοὺς κληρικοὺς τοῖς ἐπισκόποις ἀποκρίνεσθαι.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Πολλοὺς ἱεροὺς γεγραφότες νόμους[1]) περί τε τῶν θεοφιλεστάτων ἐπισκόπων τῆς τε[2]) ἐφεξῆς ἱερατείας ἁπάσης καὶ μὴν καὶ περὶ τῶν εὐλαβεστάτων μοναχῶν καὶ ἔναγχος τοῦτο πεπραχότες, ἐν οἷς ἠβουλήθημεν τοὺς εὐλαβεστάτους

6) Subscriptio in Ven. deest. Athanasius: ἐγράφη πρὸ ιε´ καλ. μαΐων βασιλείας ἰουστινιανοῦ ἔτους ιγ´ ὑπατείᾳ ἀπίωνος. Theod.: ἐξεφωνήθη ἔτει ιγ´ τῆς βασιλείας ὑπατείᾳ ἀπίονος. Auth. Dat. Apione cons.

1) Ven. notat: περὶ τῆς κθ´ διατ. τοῦ δ´ τί. τοῦ α´ βι. τοῦ κώδ. καὶ περὶ τῆς οθ´ νεαρᾶς φησιν. cf. const. XCVIII.
2) In Ven. τε deest.

μοναχοὺς παρὰ μόνοις τοῖς τῶν πόλεων ἐπισκόποις ὑφ' οὕς ἐστι τὰ μοναστήρια τὰς ἐναγωγὰς ὑπομένειν, ᾐτήθημεν παρὰ Μηνᾶ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς εὐδαίμονος ταύτης πόλεως καὶ οἰκουμενικοῦ πατριάρχου καὶ τοῖς εὐλαβεστάτοις κληρικοῖς ταύτην δοῦναι τὴν προνομίαν. ὥστε[3]) εἴ τις ἔχοι τινὰ πρὸς αὐτοὺς χρηματικὴν δίκην, πρότερον παρὰ τὸν θεοφιλέστατον ἐπίσκοπον ἰέναι τὸν ὑφ' ὃν τελεῖ, καὶ ἐντυγχάνειν αὐτῷ καὶ ἀγράφου κρίσεως ἀπολαύειν. καὶ εἴπερ τοῦτο γένοιτο, μήτε ἐνοχλεῖν αὐτῷ μήτε ἕλκειν εἰς δικαστήρια πολιτικὰ, μηδὲ τῆς ἱερᾶς αὐτὸν ἀπασχολεῖν λειτουργίας, ἀλλ' ἀγράφως κατεξετάζεσθαι τὴν ὑπόθεσιν ζημίας χωρὶς, καὶ λαμβάνειν τύπον ἴσως καὶ ἔγγραφον, εἰ τοῦτο τὰ μέρη βουληθείη τε καὶ αἰτήσειε, καὶ ἀπηλλάχθαι τῆς πρὸς ἀλλήλους ἔριδος. [§. 1.] εἰ δέ γε διὰ τὴν τοῦ πράγματος φύσιν ἢ διά τινα ἴσως δυσκολίαν οὐ γένοιτο δυνατὸν τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ τεμεῖν τὴν ὑπόθεσιν, τότε ἄδειαν εἶναι καὶ παρὰ τοὺς πολιτικοὺς ἄρχοντας ἰέναι, καὶ τῶν προνομίων ἁπάντων φυλαττομένων, ὁπόσα τοῖς εὐλαβεστάτοις κληρικοῖς αἱ θεῖαι διατάξεις διδόασι, καὶ ἀγωνίζεσθαι καὶ πέρας ἐπιτίθεσθαι τῇ δίκῃ. καὶ οὕτως ἐλεύθερον γίνεσθαι πραγμάτων· τῶν λαμπροτάτων ἀρχόντων κατὰ τοὺς ἡμετέρους νόμους σπευδόντων σὺν πάσῃ προθυμίᾳ καὶ τάχει τὰς δίκας τεμεῖν, ὥστε μὴ διὰ τὰς τοιαύτας αἰτίας τῶν ἱερῶν αὐτοὺς ἀπασχολεῖσθαι πράξεων, καὶ δέον τὸν θεὸν ἱκετεύειν καὶ τὰ ἱερεῦσι πρέποντα πράττειν δικαστηρίων ἀνέχεσθαι καὶ τῶν ἐκεῖσε θορύβων καὶ τῆς ἐγγινομένης ταραχῆς ταῖς τῶν δικαζομένων ψυχαῖς. [§. 2.] εἰ μέντοι περὶ ἐγκλημάτων ἐνάγοιντο, εἰ μὲν πολιτικῶν, ἐνταῦθα μὲν οἱ πρόσφοροι ἄρχοντες, ἐπὶ δὲ τῶν ἐπαρχιῶν οἱ τούτων ἡγούμενοι ἔστωσαν δικασταὶ, μὴ ὑπερβαινούσης τῆς δίκης μηνῶν δύο προθεσμίαν, ἀφ' οὗ προκάταρξις γένηται, ὥστε σύντομον

3) Me quidem iudice excidit aliquid, veluti θεσπίζομεν.

ἐπιτίθεσθαι τῷ πράγματι πέρας. ἐκείνου δήλου ὄντος, ὡς εἴ γε ὑπεύθυνον εἶναι τὸν ἐναγόμενον νομίσειεν ὁ τῆς ἐπαρχίας ἡγούμενος καὶ ποινῆς ἄξιον κρίνειε, πρότερον γυμνοῦσθαι τοῦτον παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς ἱερατικῆς ἀξίας, οὕτω τε ὑπὸ τὰς τῶν νόμων γίνεσθαι χεῖρας.

α'. Εἰ μέντοι ἐκκλησιαστικὸν εἴη τὸ ἁμάρτημα δεόμενον σωφρονισμοῦ καὶ ἐπιτιμίων ἐκκλησιαστικῶν, ὁ θεοφιλέστατος ἐπίσκοπος τοῦτο κρινέτω, μηδὲν ἐπικοινωνούντων τῶν λαμπροτάτων ἀρχόντων τῶν ἐπαρχιῶν. οὐδὲ γὰρ βουλόμεθα τοιαύτας ὑποθέσεις ὅλως οὐδὲ γινώσκεσθαι τοῖς πολιτικοῖς ἄρχουσι, δέον τὰ τοιαῦτα καὶ ἐκκλησιαστικὰ[4]) ἐξετάζεσθαι, καὶ ἐπικαρποῦσθαι[5]) ψυχὰς τῶν ἁμαρτανόντων διὰ τῶν ἐκκλησιαστικῶν ἐπιτιμίων κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας, οἷς καὶ οἱ ἡμέτεροι κατακολουθεῖν οὐκ ἀπαξιοῦσι νόμοι. εἰ δέ τινες ἤδη προκατήρχθησαν δίκαι, αὗται μενέτωσαν ἐπὶ ταὐτοῦ σχήματος σύντομον λαμβάνουσαι πέρας. πάντων τῶν ἤδη παρ' ἡμῶν νενομοθετημένων εἴτε ἐπὶ ταῖς ἁγιωτάταις ἐκκλησίαις εἴτε ἐπὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις εἴτε ἐπὶ κληρικοῖς εἴτε ἐπὶ μοναχοῖς τὴν ἰδίαν ἰσχὺν ἐχόντων.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου διὰ προγραμμάτων οἰκείων φανερὰ πᾶσι καταστησάτω καὶ εἰς τὸ διηνεκὲς παραφυλάττειν σπευσάτω. Dat. XV. Kal. Iun.[6]) CP. imp. DN. Iust. PP. A. ann. XIII. Apione V. C. Cons.

4) Legerim: ἐκκλησιαστικῶς. 5) Legendum videtur: ἐπικαθορθοῦσθαι τὰς ψυχάς. 6) Ven.: April. idem mox annum imperii omittit. Athanasius autem et Theodorus cum Auth. mensem Iunium habent et annum imperii XIII. in quem quum XV. Kal. April. non incidat, Codicis Veneti lectio reiicienda fuit.

Auth. 85. CV. Nov. 84.

Hal. praeter rubricam et inscriptionem nihil habet. — Summae: Iulian. c. 78, Ath. IX, 6, Theod. Nov. 84.

Περὶ τῶν ὁμοπατρίων καὶ ὁμομητρίων ἀδελφῶν.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Πολλοῖς πανταχόθεν ἡ φύσις καινουργήμασιν ἐν τοῖς πράγμασι χρωμένη (εἰρημένον ἤδη τοῦτο πολλάκις ἐν τοῖς νόμοις τὸ προοίμιον, εἰρήσεται δὲ καὶ αὖθις ἕως ἂν ἐκείνη τὰ ἑαυτῆς πράττῃ) πολλῶν ἡμᾶς εἰς χρείαν καθίστησι νόμων. τὰς γὰρ λεγιτίμας καὶ τὰς κογνατικὰς διαδοχὰς λέγουσι μὲν ἡμῖν καὶ οἱ πάλαι, καὶ οἱ ἐκ τῆς τῶν νόμων ἀρχαιότητος ταῦτα λαβόντες κατίασι μέχρι καὶ εἰς ἡμᾶς, οἳ πολλὰ καὶ τούτων ἐπηνωρθώσαμεν. ἦλθε δὲ εἰς ἡμᾶς τι τοιοῦτο. [§. 1.] ἠγάγετό τις γαμετὴν καὶ παῖδες αὐτῷ γεγόνασιν ἐξ αὐτῆς· εἶτα ἀπελθούσης ἐκείνης ἄγεται πάλιν ἑτέραν, ἐξ ἧς τίκτονται παῖδες αὐτῷ, τοῖς προτέροις ὁμοπάτριοι μόνον, οὐ μὴν ὁμομήτριοι· εἶτα καὶ τρίτον ἐπεισάγεται γάμον καὶ ποιεῖται παῖδας κἀντεῦθεν. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν ἐπὶ δεύτερον ἡ γυνὴ χωρεῖ συνοικέσιον, ἐξ οὗ ἑτέρους ἐποιήσατο παῖδας, τοῖς ἐκ τοῦ προτέρου ἀνδρὸς ὁμομητρίους μόνον, οὐ μὴν καὶ ὁμοπατρίους. τελευτησάσης τοίνυν τῆς μητρὸς συνέβη ἐπιτελευτῆσαι καὶ τὸν ἕνα τῶν ἀδελφῶν, παίδων τε καὶ διαθηκῶν χωρίς, πολλοὺς ἀδελφοὺς καταλελοιπότα, τοὺς μὲν ὁμομητρίους τοὺς δὲ ὁμοπατρίους, τοὺς δὲ ὁμομητρίους τε ἅμα καὶ ὁμοπατρίους. καὶ ὃ μὲν ἐξεύρηται τῇ φύσει καινούργημα, τοιοῦτό πως ἦν. ἔξεστι δὲ τοιαύτης ἀρχῆς δεδομένης ἡμῖν παρ' αὐτῆς καὶ ἕτερα προσεπινοῆσαι θέματα τοιοῦτό τι φέρειν δυνάμενα, εἴτε τελευτῇ τοῦ ἀνδρὸς εἴτε

τελευτῇ τῆς γυναικὸς εἴτε ἄλλων νομίμων[1]) γάμων διαφόρων τοῦτο ποιησάντων. τὸ ζητούμενον τοίνυν ἐκεῖνο ἦν, εἴπερ εἰς τὸν τοῦ τετελευτηκότος ἀδελφοῦ κλῆρον δεῖ πάντας καλεῖν, τούς τε ὁμομητρίους τούς τε ὁμοπατρίους τούς τε ὁμοπατρίους, τούς τε ἅμα μὲν ὁμομητρίους ἅμα δὲ ὁμοπατρίους.

α'. Ἐπειδὴ τοίνυν περισκοπήσαντες τοὺς νόμους ἅπαντας οὓς ἠθροίσαμεν, τούς τε παλαιοὺς τούς τε ἡμετέρους, τοιαύτην οὐχ εὕρομεν ἀναφυεῖσαν ζήτησιν, προσῆκόν ἐστιν αὐτὴν ὀψέ ποτε χαλινῶσαι νόμῳ, καὶ σκοπῆσαι, ὅτι τῶν ἀδελφῶν ἐστὶ πρὸς τὸν τελευτήσαντα τοῖς μὲν τὰ κογνατικὰ δίκαια, ἅπερ ἡμεῖς τοῖς λεγιτίμοις συνήψαμεν, τοῖς δὲ αὐτόθεν τὰ λεγίτιμα (ἐκοινώνουν γὰρ αὐτῷ[2]) περὶ τὴν πατρῴαν γονὴν, ὥσπερ ἐκεῖνοι περὶ τὴν μητρῴαν), οἱ δὲ αὐτόθεν καθαρὸν εἶχον καὶ τὸν νόμον καὶ τὴν φύσιν βοηθοῦσαν αὐτοῖς, διότι καὶ ἐκ τῶν αὐτῶν ἦσαν προελθόντες μητρῴων κόλπων καὶ ἦν αὐτοῖς ἡ ἐκ τοῦ πατρὸς σπορὰ μία, καὶ τὸ πανταχόθεν γνήσιον ὥσπερ τὶ σύμβολον αὐτοῖς ἐνέπρεπεν. εἰ μὲν οὖν ὁ τοιοῦτος ἀδελφὸς πραγμάτων ἀπαλλάξαι καὶ τὸν νόμον καὶ τοὺς ἀμφισβητοῦντας ἠβουλήθη, πρὸς διαθήκην ἦλθεν ἂν καὶ τὴν ἑαυτοῦ γνώμην ἐποίησε φανερὰν, καὶ οἱ τῇ γραφῇ τετιμημένοι πρὸς τὸν κλῆρον ἐκαλοῦντο. ἐπειδὴ δὲ τοῦτο πρᾶξαι οὐκ ἠβουλήθη ἢ οὐκ ἠδυνήθη (πολλὰ δὲ τὰ ἀνθρώπων[2a]) καὶ περιστάσεις μυρίαι καὶ αἰφνίδιοι θάνατοι), ὅδε ἡμῶν ὁ νόμος τῷ πράγματι διαιτήσει. [§. 1.] βούλεται δὲ οὗτος ὁ νόμος, ὥστε τοὺς ἑκατέρωθεν κεκοσμημένους καὶ ἅμα μὲν ὁμοπατρίους ἅμα δὲ ὁμομητρίους ἀδελφοὺς εἰς τὴν διαδοχὴν τοῦ τελευτήσαντος καλλίους εἶναι τῶν ἢ μόνον ὁμοπατρίων ἢ μόνον ὁμομητρίων. καὶ οὐ καταπλήξει γε ἡμᾶς ἡ φύσις ποικίλλουσα, ἀλλ' ἡμεῖς αὐτῆς

1) Si Auth. sequaris legendum erit εἴτε ἄλλῳ νομίμῳ χωρισμῷ. 2) αὐτοί? 2a) ἀνθρώπινα?

τὰς τοιαύτας ἐφευρέσεις ἀποδείξομεν νομίμους καὶ κρινοῦμεν τοῖς τελεωτέροις ἀποδιδόντες τὰ καλλίω καὶ τοὺς ἐλάττους ἐξισοῦν αὐτοῖς οὐκ ἀνεχόμενοι. [§. 2.] καὶ πολλά γε ἡμᾶς εἰς τοῦτο προέτρεψε. πρότερον μὲν γὰρ ἕτερος ἡμῶν νόμος[3]), εἰ παῖς τελευτήσειε παῖδας οὐκ ἔχων, ἢ εἰς τὰ ὄντα αὐτῷ μητρῷα τυχὸν ἢ καὶ ἀπὸ γαμικῆς ἢ καὶ ἐξ ἄλλης αἰτίας ἀπροσπόριστα πράγματα πρότερον τοὺς ἐκ τῶν αὐτῶν γάμων ἀδελφοὺς εἰς τὸν κλῆρον καλεῖ, εἶτα τοὺς ἐξ ἑτέρων καὶ μετ' ἐκείνους τὸν πατέρα, ὅπερ ἀπόδειξις ἦν τοῦ πάλαι ταῦτα τὴν ἡμετέραν νομοθεσίαν ὠδίνειν. εἰ γὰρ καὶ πατρὸς ὑπόντος[4]) αὐτοῦ τε τοῦ πατρὸς καὶ τῶν ἐξ ἑτέρου γάμου προτιμᾶθαι τοὺς ὁμομητρίους καὶ ὁμοπατρίους ἀδελφοὺς συμβαίνει, ἀκόλουθόν ἐστι, κἂν εἰ μὴ πατὴρ ὕπεστιν, ἀλλ' ἀδελφοὶ μόνον, προτιμᾶσθαι τῶν ἐξ ἑνὸς τῶν γονέων μόνον συναπτομένων τῷ τελευτήσαντι τοὺς ὁμοίως μὲν ὁμομητρίους ὁμοίως δὲ ὁμοπατρίους ὄντας. καὶ τούτοις συμβαῖνον ἂν εἴη τὸ πρῴην ἐπί τε τοῖς μητρῴοις καὶ τοῖς ἀπὸ γαμικῆς αἰτίας ἢ καὶ ἄλλοις ἀπροσπορίστοις νενομοθετημένον τοῦτο καὶ ἐπὶ τοῖς λοιποῖς τοῦ τελευτήσαντος πράγμασι κρατεῖν τε καὶ πολιτεύεσθαι. οὗτος τοίνυν ὁ νόμος ἐπὶ τούτου τοῦ δόντος αὐτῷ τὴν πρόφασιν ὡς εἴρηται κείσθω θέματος. καὶ ἐπείπερ ἐκ τριῶν συνοικεσίων αὕτη προῆλθεν ἡ καινοτομία τῆς φύσεως, οὐδὲν κωλύει, κἂν εἴ τις ὑπόθοιτο καὶ ἐκ δύο μόνων γάμων τοὺς μὲν εἶναι μόνον ὁμοπατρίους ἢ ὁμομητρίους, τοὺς δὲ ὁμοπατρίους τε ἅμα καὶ ὁμομητρίους, κἂν εἴ τις ἐκταθῆναι δοίη τὰ συνοικέσια, καὶ ἔτι μᾶλλον τοιοῦτό τι γενέσθαι, καὶ οὕτως εἰς τὰ τοιαῦτα τῶν θεμάτων, ἔνθα τοιαῦταί τινες εἰσάγονται τάξεις ἀδελφῶν, ὁ νόμος ἐχέτω τὴν οἰκείαν ἰσχὺν, καὶ ἀποκλειέτωσαν οἱ διπλοῖς χρώμενοι δικαίοις τοὺς ἑνὶ μόνῳ χρῆσθαι δυναμένους.

β'. Εἰ δὲ οὐ τοιοῦτόν ἐστι τὸ θέμα, ἀλλ' ἢ[5]) μόνον

3) νόμος ὃς? l. ult. C. 6, 59. 4) Ven. εἰπόντος. 5) εἰ?

καθεστᾶσιν ὁμοπάτριοι ἢ ὁμομήτριοι, καὶ τελευτήσειέ τις τῶν ἀδελφῶν, ταῦτα τοῖς προτέροις ἀνακείσθω νόμοις, οἵπερ αὐτῶν ἤδη τὰς διαδοχὰς διετύπωσαν. χώραν μέντοι οὗτος ὁ νόμος ἐχέτω μὴ μόνον ἐπὶ τοῦ τὴν ζήτησιν κινήσαντος θέματος, ἀλλὰ καὶ ἐπὶ τοῖς μετὰ ταῦτα ἐσομένοις ἢ ἔτι καὶ νῦν ἠρτημένοις, ὥστε τὰ πρότερα, εἴπερ ἢ δικαστοῦ ψήφῳ ἢ συμβατηρίοις ἀπήλλακται τύποις, ἐχέτω τὴν οἰκείαν τομὴν, τῆς ἐκ τοῦδε τοῦ νόμου μὴ δεόμενα κρίσεως.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου διὰ προγραμμάτων οἰκείων φανερὰ πᾶσι καταστησάτω καὶ εἰς τὸ διηνεκὲς παραφυλάττειν σπευσάτω. Dat. XV. Kal. Iun. CP. imp. DN. Iustiniani PP. A. ann. XIII. Apione V. C. Cons.[6])

CVI.

Nov. 87. — Auth. 87.

Prooemii pars reperitur in schol. c. Basil. XLVII, 3, 49. — Summae: Iulian c. 80, Athan. VIII, 4, Theod. Nov. 87.

Περὶ μόρτις καύσα δωρεᾶς ἐκ βουλευτῶν γινομένης.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Τὰς τῶν βουλευτῶν[1]) *κακουργίας μηδὲν δύνασθαι φέρειν βλάβος τῷ δημοσίῳ, ἀλλ' ἀντιπράττειν τὸν νόμον ταῖς τοιαύταις βουλαῖς κατὰ πάντα βουλόμεθα τρόπον. ἐγνω-*

6) Ven.: Dat. XV Iun. CP. imp. DN. Athanasius: *ἐγράφη βασιλείας ἰουστινιανοῦ τὸ ιβ'* (lege *ιγ'* vel. *ἰνδ. β'*) *πρὸ ιε' καλ. ἰουνίων ὑπατείας ἀπίωνος.* Theodorus: *ἐξεφωνήθη μηνὶ ἰουλίῳ* (l. *ἰουνίῳ*) *βασιλείας ἔτει ιγ' ὑπατείᾳ ἀπίονος.* Auth. ut a nobis editum est.

1) Ven. *τελευτῶν.* an *τελευτώντων βουλευτῶν?*

μεν γὰρ, ὡς ἐπειδήπερ ἀπείπομεν τοῖς βουλευταῖς τὸν τῶν δωρεῶν τρόπον, οὐ συγχωροῦντες αὐτοῖς κτῆσιν ἀκίνητον δωρεῖσθαι οὐδὲ ἐν διαθήκῃ καταλιμπάνειν περαιτέρω τῶν τριῶν οὐγκιῶν, ἀλλὰ τὸ ἐνναούγκιον πάντως τῇ βουλῇ φυλάττειν, ἐκεῖνοι σοφιζόμενοι τὸν νόμον ἐξεῦρον τοιαύτας τινὰς κακουργίας κατὰ τοῦ νόμου. εἰδότες γὰρ, ὡς ἡμεῖς εὑρόντες τοὺς παλαιοὺς νομοθέτας ἀμφισβητοῦντας περὶ τῆς μόρτις καύσα δωρεᾶς, πότερον δωρεὰ ἢ ληγάτον ἐστὶ, καὶ τοὺς μὲν ἀριθμοῦντας αὐτὴν εἰς δωρεὰν[2]) τινὰς δὲ εἰς πρεσβεῖον, τὰ παρὰ τῶν πλειόνων τε καὶ ἀρίστων νομοθετῶν ἐκλέξαντες λήγατον αὐτὴν εἶναι παντελῶς ἀπεφηνάμεθα[3]) καὶ μὴ πράξεως ὑπομνημάτων δεῖσθαι, ἀλλ' ἄδειαν ἔχειν ποιεῖσθαι αὐτὴν καὶ ἐντεθῆναι αὐτῇ καί τινας ὅρους οὓς ἂν ὁ δωρησάμενος βουληθῇ, καὶ εἰ τοῦτο πράξαιεν, ἄδειαν ἔχειν ἀποτάττεσθαι καὶ αὐτῷ[4]) τὸ δύνασθαι τὸν μετάμελον τὸν ἐπὶ ταῖς τοιαύταις δωρεαῖς ἀνακαλεῖσθαι, καὶ οὓς ἂν βουληθεῖεν ὅρους ἐντάττειν ταῖς μόρτις καύσα δωρεαῖς, καθάπερ Ἰουλιανὸς ὁ σοφώτατος ἐνομοθέτησε, τοῦτο ὅπερ ἡμεῖς ἐν τῷ λθ' βιβλίῳ τῶν ἡμετέρων διγέστων[5]) ἐγράψαμεν (ἅπαντα γὰρ συνελάβομεν ἐν βραχεῖ, τά τε τοῖς παλαιοῖς τά τε ἡμῖν διηγορευμένα)· τοῦτο τοίνυν εἰδότες ᾠήθησαν[6]) χρῆναι κατὰ τοῦτον τὸν τρόπον ποιεῖσθαί τινας μόρτις καύσα δωρεὰς, καὶ ἐντιθέναι σύμφωνον κατὰ τὸν νόμον τὸ ἀναιροῦν[7]) ἑαυτοῖς τὸ δύνασθαι τὸν ἐπὶ τῇ δωρεᾷ μετάμελον ἀνακαλεῖσθαι, ἄλλον δὲ ὅρον αὐτοῖς δοκοῦντα προστιθέναι ταύταις ταῖς δωρεαῖς, ἵνα αὐτόθεν αὐτοῖς δῆθεν ἐξῇ ποιεῖσθαι δωρεὰς τῆς ἀνακλήσεως ἐλευθέρας καὶ οὕτω τὰς ἑαυτῶν ἐλαττοῦν περιουσίας.

2) Verba **πότερον — δωρεὰν** in Ven. desunt. 3) l. 4 C. 8, 57. 4) Auth. *αὐτὸ* legit. sane sive *αὐτὸ τὸ* sive *αὐτῷ τῷ* legas necesse est. 5) Cf. l. 16—18 D. de m. c. donationib. 6) Flor. et Bas. (cum Auth.) *ᾠήθημεν*. male. 7) Ven. **ἀναιρεῖν**.

α΄. Καίτοιγε ἐξ ὧν ἤδη νενομοθετήκαμεν πάσης αἰτίας ἀνῃρημένης αὐτοῖς τοῦ πλέον τὶ δύνασθαι τοῦ τριουγκίου ἢ ἐν διαθήκῃ καταλιμπάνειν ἢ κατὰ δωρεᾶς τρόπον ἐκποιῆσαι, ὅμως ἵνα ἔτι καὶ μᾶλλον αὐτῶν τὴν κακουργίαν παύσωμεν, διὰ τοῦτο καὶ νῦν θεσπίζομεν, μηδενὶ βουλευτῇ μηδὲ κατὰ μόρτις καύσα δωρεὰν ἐξεῖναι δωρεῖσθαί τι, πλὴν ἢ μόνον κατὰ προγαμιαίας δωρεᾶς τρόπον ὑπὲρ σφῶν αὐτῶν ἢ τῶν οἰκείων παίδων γινομένης[8]), ἢ κατὰ προικὸς πρόφασιν καθ' ὅσον ἡ ἡμετέρα λέγει διάταξις[9]) καὶ θυγατράσιν ἐπιδιδόναι γαμουμέναις. ἐπείτοιγε ἄλλως αὐτοὺς μὴ δύνασθαι δωρεῖσθαι πράγματα ἀκίνητα, ἀλλὰ ταῦτα μένειν ἀεὶ παρ' αὐτοῖς ταῖς βουλευτικαῖς ὑποκείμενα λειτουργίαις, μόνης αὐτοῖς τῆς πράσεως συγκεχωρημένης καὶ ταύτης κατὰ τὴν τῆς νεαρᾶς ἡμῶν διατάξεως παρατήρησιν. τῶν μόρτις καύσα δωρεῶν ἐχουσῶν τὴν ἰδίαν ἰσχὺν, καὶ δυναμένων τῶν ἄλλων τῶν παρὰ τοὺς βουλευτὰς ποιεῖσθαι τὰς εἰρημένας μόρτις καύσα δωρεὰς εἰς ἅπερ ἂν βουληθεῖεν πρόσωπα, καὶ ὅρους αὐταῖς ἐντιθέναι, καὶ ἀποτάττεσθαι εἴ γε τοῦτο βουληθεῖεν τῷ μεταμέλῳ τῷ περὶ τοῦ συμφώνου τῆς ἀνακλήσεως, μένειν μέντοι τὸ πρᾶγμα καὶ οὕτως ἐν τοῖς τῆς μόρτις καύσα δωρεᾶς ὅροις (τοῦτο γὰρ προσνομοθετοῦμεν), καὶ τὰς τοιαύτας δωρεὰς ἰσχυράς τε εἶναι καὶ βεβαίας. ὅπερ οὐ νῦν πρῶτον νομοθετοῦμεν, ἀλλὰ τὸ νομοθετηθὲν ἤδη καὶ νῦν δι' ἡμετέρας ἑρμηνεύομέν τε καὶ βεβαιοῦμεν φωνῆς ἐπὶ πάντων τῶν ἄλλων προσώπων, δίχα μέντοι μόνων ὡς εἴρηται βουλευτῶν, καὶ τοῦτο διὰ τὴν περὶ τὸ δημόσιον σπουδήν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ τῷδε τῷ νόμῳ δηλούμενα ἡ σὴ ἐνδοξότης φυλάξαι σπευσάτω, μάλιστα πάντων τῆς ὠφελείας τοῦ δημοσίου πρόνοιαν τιθεμένη. Dat. XV.

8) Ven. *γινομένας*. 9) Significantur l. 4 et 5 C. 10, 34 deperditae. videsis Athanasium.

Kal. Iun. imp. DN. Iustiniano A. ann. XIII. Apione V. C. Cons.[10])

CVII. Nov. 162.

Basil. XLVII, 1, 76. XLVIII, 26, 3. — Summae apud Athan. XVIII, 4, Theod. Nov. 162, et in Epitome incerta in Ἀνέκδ. meis p. 223 sq. — Apud Ath. audit θεῖος πραγματικὸς τύπος καταπεμφθεὶς Δομνίκῳ ἐπάρχῳ τοῦ Ἰλλυρικοῦ.

Θεῖος τύπος καταπεμφθεὶς Δομνίκῳ[1]) τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ περὶ διαφόρων κεφαλαίων.

Ἐπύθετο ἡμῶν ἡ σὴ ἐνδοξότης περί τινων ἀμφισβητουμένων παρὰ τῶν ἐλλογιμωτάτων τῆς παρὰ Ἰλλυριοῖς ἀγορᾶς τῆς δίκης ἀγωνιστῶν, ἅπερ ἔφησας ἡμετέρας διακρίσεως δεῖσθαι, ὥστε μὴ διηνεκῶς στασιάζεσθαι.

α΄. Τὸ τοίνυν πρῶτον κεφάλαιον τοιοῦτον ἦν· γυνή τις ἐπὶ τοῖς παρὰ τοῦ συνοικήσαντος δωρηθεῖσιν αὐτῇ πράγμασιν, οὐ μὴν παραδεδομένοις, ἠβούλετο τελευτήσαντος τοῦ ἀνδρὸς καὶ ἡσυχίαν ἀγαγόντος ἐπὶ τῇ δωρεᾷ τὰ πράγματα ἐκδικεῖν[2]), ὡς κυρία τούτων τῇ τε δωρεᾷ τῇ τε σιωπῇ τοῦ ἀνδρὸς γενομένη. ἀντετίθετο παρὰ τῶν κατεχόντων, παραγραφὴν[3]) αὐτὴν μόνην ἔχειν ἐναγομένην εἰ κατέχοι, οὐ μὴν καὶ παρ᾽ ἑτέρου δύνασθαι ταῦτα ἐκδικεῖν. τὸ μὲν οὖν ἀμφισβητηθὲν τοιοῦτον ἦν. ἡμεῖς δὲ ἀνεμνήσθημεν διατάξεως[4]) ἡμετέρας λεγούσης, τὸν δωρησάμενον, εἰ καὶ μὴ ἐπερωτηθῇ τὴν παράδοσιν, ἀνάγκην ἔχειν παραδιδόναι τὸ

10) Ven. nil nisi Dat. habet. sequor Auth. cum quo faciunt Ath. et Theod. nisi quod ille πρὸ ιβ΄ καλανδῶν . . . ., hic vero ut assolet μηνὶ ἰουνίῳ habeat. diem autem XV ante Kal. Iunias praestare crediderim, ut eadem die qua etiam c. CIV et CV haec nostra data sit.

1) Hal. Δομινικῷ. sane idem Praef. Illyrici esse videtur, qui alias Dominicus appellatur. 2) Ven. διοικεῖν. 3) Ven. παραγραφή. 4) l. 35 C. 8, 54.

δωρηθέν· οὐ γὰρ ἐπ᾽ ἐξαπάτῃ, οὐδὲ ἵνα γράμματα εἴη γυμνὰ τὸ γινόμενον, προσήκει πράττεσθαι συμβόλαιον· προσενενοήσαμεν δὲ καὶ τὴν τοῦ Σεντίου[5]) νόμου τοῦ παλαιοῦ νομοθεσίαν, ὃν εἶ ποιοῦσα τῆς οἰκείας νομοθεσίας ἀπεπέμψατο πρῴην ἡ πολιτεία, τοιαῦτα νομοθετοῦντα ὁποῖα κατὰ τὸ παρὸν ἠμφισβήτηται. [§. α΄.] καὶ θεσπίζομεν, εἰ κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον τελείως ἅπαντα σχοίη τὰ τῆς τοιαύτης δωρεᾶς κατά τε τὸ μέτρον κατά τε τὴν ἐμφάνειαν, ἐῤῥῶσθαι ταύτην ἐκ τρόπου παντὸς τῇ τοῦ ἀνδρὸς σιωπῇ εὐθὺς ἐξ ἀρχῆς κατὰ τὴν ἡμετέραν διάταξιν ἐξ οὗ γέγονεν, ὥστε κἂν εἰ μετὰ ταῦτα ὁ ἀνὴρ εἰς ὑποθήκην δοίη τὸ πρᾶγμα ἢ εἰς ἐνέχυρον παράσχοι, ἀλλὰ προεκπεποιηκέναι δοκεῖν τόν γε μέχρι περιῆν ἡσυχάσαντα, καὶ τὴν παράδοσιν εἴτε γέγονεν διδόναι αὐτῇ παραγραφὴν, εἴτε οὐ γέγονε παρέχειν καὶ ἀπαίτησιν, εἰ μὲν ἐπερώτησις γένοιτο διὰ τῆς ἐξ στιπουλάτο, εἰ δὲ μὴ τοῦτο διὰ τοῦ ex lege condictitiou, ὥστε παραλαβεῖν τὸ δεδωρημένον. [§. β΄.] κἀκεῖνο δὲ διατάξαι δίκαιον ἡγησάμεθα, τὸ εἰ μὲν ἐμφανεῖς γένοιντο τὴν ἀρχὴν αἱ δωρεαὶ ἐν ὑπομνήμασι, πᾶσι τρόποις αὐτὰς τῇ σιωπῇ βεβαιοῦσθαι, εἰ δὲ ἀνεμφάνιστοι μείνοιεν, ὑπερβαίνοιεν δὲ τὸ μέτρον τὸ δεόμενον ἐμφανίσεως, μέχρι τοσούτου μόνον αὐτὰς ἐῤῥῶσθαι, μέχρις οὗ καὶ ἀνεμφανίστους τὰς δωρεὰς ἰσχυρὰς εἶναι παρ᾽ ἡμῶν νενομοθέτηται. τοῦτο γὰρ ἐν ὑστέρῳ νομοθετήσαντες κρατεῖν αὐτὸ βουλόμεθα[6]), καὶ μὴ διὰ τὴν προσθήκην τῆς ποσότητος διαπίπτειν καὶ τὸ ὀρθῶς ἔχειν δυνάμενον, ὅπερ καὶ ἐπὶ τῶν καθόλου δωρεῶν ἤδη νόμος ἡμέτερος λέγει. τούτων κρατούντων οὐ μόνον ἐπὶ γυναικὸς καὶ ἀνδρὸς, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων προσώπων, ἐφ᾽ ὧν αἱ ἐν γάμοις δωρεαὶ κεκώλυνται.

5) Imo Cinciae legis. Cuiac. Obss. VI, 18 *Κεντίου* legi vult. forte *Κιντίου*. 6) Suspecta mihi videtur haec periodus. imperator l. 36 C. eod. vel l. 25 C. 5, 16 innuere videtur.

β'. *Δεύτερον δὲ ἔτι κεφάλαιον παρὰ τῆς σῆς ὑπεροχῆς ἠρωτήθημεν*[7], *εἰ μετὰ τὴν διάταξιν*[8] *τὴν ἡμετέραν τὴν βουλομένην ἐξ ἐλευθέρας καὶ ἐναπογράφου τικτομένους τινὰς εἶτα ἐλευθέρους διὰ τὴν τῆς μητρὸς αἵρεσιν ὄντας*[9], *δεῖν νομίζειν ὡς εἰ καὶ μὴ γεγόνασιν ἐναπόγραφοι κατὰ τὸ παλαιόν, ἀλλ' οὖν ὅλως κολωνοὶ*[10] *γίνονται διὰ τὸ τὴν ἄλλην ἡμῶν διάταξιν*[11] *καὶ τοὺς τῶν κολωνῶν παῖδας οὐ συγχωρεῖν ἀπολιμπάνειν τὴν γῆν, ἀλλὰ μένειν κολωνούς, καὶ πολλῷ μᾶλλον τοῦτο δεῖν εἶναι, ἐπείπερ ἐστὶν ἐν τούτοις τοῖς προσώποις ὅλως ἐναπογράφων σπορά. ταῦτα μὲν οὖν ἐπὶ τῆς ἐρωτήσεως ἦν τῆς σῆς κατὰ τὸ ῥηθὲν κεφάλαιον. χρὴ δὲ τὸν ἡμέτερον ἀνασκοποῦντας νοῦν*[12] *γινώσκειν, ὡς οὐδεπώποτε ἡμεῖς ἐλευθέραν γαστέρα τίκτειν ἐναπόγραφον συγχωροῦμεν, ἀλλὰ τὸ σύμβολον δὴ τοῦτο καὶ σημεῖον ἐπικεῖσθαι δεῖ τῷ γεγενημένῳ μετὰ τὸν τηνικαῦτα τεθέντα νόμον, τὸ πάντως τὴν ἐλευθερίαν ἐμπρέπειν τοῖς ἐξ ἐλευθέρας γινομένοις μητρός. εἰ τοίνυν ἐξ ἐλευθέρας τὶς καὶ ἐναπογράφου τεχθείη, μένει μὲν ἐλεύθερος καὶ τὴν μητρικὴν οὐκ ἀποβάλλει κατ' οὐδένα τρόπον εὐγένειαν, δείκνυσι δὲ ἡ παρ' ἡμῶν τεθεῖσα διάταξις, ὡς βούλεται τοὺς τοιούτους οἰκήτορας τῶν χωρίων διαμένειν καὶ τῶν ἀγρῶν ἐργάτας, οἷα ἐκεῖσε γεννηθέντας· τοῦτο γὰρ δὴ τὸ τοῦ κολωνοῦ βούλεται πρόσρημα. οὐ παρέχομεν οὖν αὐτοῖς ἄδειν ἀπολιμπάνειν μὲν τὸ χωρίον, εἰς ἕτερα*[13] *δὲ τρέπεσθαι· ἀλλ' εἴπερ ὅλως τεχθεῖέν τινες ἔν τινι χωρίῳ, εἰ μὲν ἐξ ἐναπογράφου μητρὸς πρόδηλον ὡς ἔσονται πάντως ἐναπόγραφοι, εἰ δὲ ἐξ ἐλευθέρας, μενοῦσι μὲν ἐλεύθεροι καὶ τὰ*

7) Ven. *ἐρωτ.* 8) l. 21. 24 C. de agricolis. 9) Lege *εἶναι*, nisi altius corruptela lateat. mox Hal. *δεῖ* pro *δεῖν*, quo fit ut oratio melius procedat. nolui tamen lectionem Codicis Veneti, qui hic et infra *δεὶν* habet, mutare. 10) Hal. hic et inferius *μισθωτοὶ* pro *κολωνοὶ* habet. 11) l. 23 §. 1 C. eod. 12) Hal. *νόμον*, quod forte praestat. 13) Hal. *ἕτερον*.

παρ' αὐτῶν κτηθέντα ὑπ' αὐτοῖς ἔσται καὶ οὐ πεκούλιον γενήσεται τῶν δεσποτῶν, οὐκ ἐξελεύσονται δὲ τοῦ χωρίου ἀλλὰ τοῦτο γεωργήσουσιν, οὐδὲ ἔσται αὐτοῖς ἄδεια τοῦτο μὲν ἀπολιμπάνειν ἕτερα δὲ περινοστεῖν ἀλλότρια, πλὴν εἰ μὴ κύριοι γένοιντο κτήσεώς τινος ἰδίας, ἱκανῆς οὔσης ἀσχολεῖν αὐτοὺς περὶ αὐτὴν καὶ μὴ συγχωρούσης καὶ ἕτερα γεωργεῖν, εἰς ἐκείνην τε μετασταῖεν· ἐπείτοιγε πᾶσι τρόποις αὐτοὺς μένειν θεσπίζομεν ἐπὶ τοῦ χωρίου, ἐλευθέρους μὲν καθεστῶτας, ἀπὸ δὲ τῆς οἰκήσεως κατεχομένους. καὶ τοῦτο μὲν τῇδε διατετάχθω.

γ΄. Οὐκ ἄπο δὲ τρόπου ἔδοξεν ἡμῖν κἀκεῖνο ζητηθὲν ἡμετέρας διακρίσεως ἀξιῶσαι. εἰ γὰρ ἐναπόγραφος γυνὴ πρὸς ἐναπογράφου τινὸς ἑτέρῳ προσήκοντος ἔλθοι συζυγίαν, ἐζητήθη περὶ τῆς γονῆς, εἰ παῖδες ἐξ αὐτῶν γένοιντο, πότερον προσῆκόν ἐστι τῷ δεσπότῃ τοῦ ἀνδρὸς ἢ τῷ δεσπότῃ τῆς γυναικὸς διαφέρειν τὴν γονήν. θεσπίζομεν τοίνυν, εἴ τι τοιοῦτο γένοιτο καὶ συνέλθοιεν πρὸς ἀλλήλους διαφόρων δεσποτῶν ἐναπόγραφοι, ἐπειδήπερ τὰ τῆς[14]) τύχης οὔκ ἐστιν ἀμφισβητήσιμα τῆς γαστρὸς οὐκ ἐλευθέρας καθεστώσης, ἔστωσαν μὲν οἱ τεχθέντες ἐναπόγραφοι, οὐ μὴν τὸ πᾶν δώσομεν τῇ μητρὶ οὐδὲ τῷ αὐτῆς δεσπότῃ· ἀλλ' εἰ μὲν εἷς γένοιτο παῖς, ἡ γαστὴρ τῆς σπορᾶς προκρινέσθω καὶ ἔστω τοῦ δεσπότου τῆς μητρὸς τὸ τεχθέν, εἰ δὲ δύο τυχὸν οἱ παῖδες, μεριζέσθωσαν ἄμφω κλήρῳ τῆς ἐπιλογῆς γινομένης, εἰ δὲ ἄνισός ἐστι τῶν παίδων ὁ ἀριθμός, τὸ πλεῖον ὁ τῆς μητρὸς κατεχέτω κόλπος, ὥστε τριῶν ὄντων τοὺς δύο μὲν εἶναι τῆς μητρὸς τὸν ἕνα δὲ τοῦ πατρός, καὶ αὖθις ἐὰν πέντε, τοὺς μὲν τρεῖς τῶν τεχθέντων τοῦ δεσπότου τῆς μητρὸς καὶ τοὺς δύο τοῦ πατρός. καὶ κατὰ ταύτην τὴν παραύξησιν[15]) ὁ ἀριθμὸς χωρείτω, τὸ μὲν εἰς ἰσότητα διαι-

14) Articulum τῆς suppleo ex Hal. et Bas. 15) Hal. προσαύξ.

ρεῖσθαι δυνάμενον προσνέμων ἐξίσης, τὸ δὲ περιττὸν, ὅπερ καὶ χαριέστερον, τοῦτο προσνέμων[16]) τῇ μητρί· δεῖ γὰρ ταύτην ἀξιῶσαι πλείονος σπουδῆς, τήν τε ὠδίνασαν καὶ τεκοῦσαν καὶ θρέψασαν, παρὰ τὸν τῆς ἡδονῆς πάρεργον τὴν τοῦ παιδὸς ποιησάμενον γένεσιν.

Τὰ τοίνυν τῷδε τῷ θείῳ πραγματικῷ τύπῳ περιεχόμενα ἡ σὴ ἐνδοξότης ἐπὶ τῶν ὁμοίων θεμάτων παραφυλάττειν σπευσάτω. καὶ γὰρ δὴ καὶ κοινὸν περὶ τούτου γράψομεν νόμον, αὐτά τε καὶ ἕτερά τινα προσδιατυποῦντες, ἅπερ ἀναγκαίας νομοθεσίας εἶναι πιστεύομεν. Dat. XV. K. Iun.[17]) CP. imp. DN. Iustin. PP. Aug. ann. XIII. Apione V. C. Cons.

Auth. 86. CVIII. Nov. 85.

Pars c. 1 est in Bas. XLVII, 9, 1. — Summas praestant Iulian. c. 79, Athan. XX, 4, Theod. Nov. 85.

Περὶ τῶν ὅπλων.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Βασιλείδῃ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.

Τὸν μέγαν θεὸν καὶ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὴν αὐτοῦ βοήθειαν διὰ παντὸς ἐπικαλούμενοι σπεύδομεν πάντας τοὺς ἡμετέρους ὑπηκόους, ὧν τὴν διοίκησιν ὁ θεὸς ἡμῖν ἐπίστευσεν, ἀβλαβεῖς καὶ ἀνεπηρεάστους φυλάττειν, καὶ κωλύειν τοὺς πολέμους, οὓς ἐκ τῆς ἑαυτῶν ἀβου-

16) Ven. *προσνέμον.* Hal. *προσνέμειν.* 17) Ven. V Id. Sept. sed Athan. *πρὸ ιε΄ καλ.* (vel *ε΄ ἰδῶν*) *ἰουνίων.* Iunius omnino praeferendus: etenim verisimile non est, Iustinianum Kal. Sept. (cf. c. CX. CXI) et post paucos dies V Id. Sept. constitutionibus sanciendis vacasse. — Mox Ven. annum XIII omittit, et Theod. *μετὰ τὴν ὑπατείαν ἀπίονος.*

λίας αἱρούμενοι τοὺς κατ' ἀλλήλων ἐργάζονται φόνους, διπλῆν ἐκ τούτου καθ' ἑαυτῶν τὴν τιμωρίαν ἐπάγοντες, τοῦτο μὲν ἣν ἑαυτοῖς ἐπιφέρουσι, τοῦτο δὲ ἣν ἐκ τῶν νόμων τῶν τὴν μανίαν αὐτῶν κολαζόντων ὑφίστανται.

α'. Βουλόμενοι τοίνυν τῶν τοιούτων θανάτων τοὺς ἀνθρώπους ἐλευθερῶσαι συνείδομεν τὸ τῆς ὁπλοποιΐας ἔργον μηδένα μὲν ἰδιώτην ἐργάζεσθαι, μόνους δὲ ἐκείνους τὰ ὅπλα κατασκευάζειν, τοὺς ἐν ταῖς δημοσίαις καταλεγομένους ὁπλοποιΐαις ἢ ταῖς λεγομέναις φάβριξι, τοὺς δὲ ἐργαζομένους τὰ ὅπλα μηδενὶ πιπράσκειν ἰδιώτῃ. ἀλλ' οὐδὲ τοὺς ἐν τοῖς ἀριθμοῖς συγκαταλεγομένους ὁπλοποιοὺς[1]) οὓς καὶ δεπουτάτους καλοῦσι, τοὺς παρὰ τοῦ δημοσίου κομιζομένους σιτήσεις, συγχωροῦμεν ἐργάζεσθαι ἤ τινι πιπράσκειν ὅπλα, ἀλλὰ μόνον ἐπιμέλεσθαι τῶν ὅπλων τῶν στρατιωτῶν τῶν ἐν τοῖς ἀριθμοῖς καταλεγομένων ἐν οἷς στρατεύονται. εἰ δέ τι νέον κατασκευάσουσι, τοῦτο ἀφαιρεῖσθαι παρ' αὐτῶν, καὶ ἐν τῷ θείῳ ἡμῶν εἰσφέρεσθαι ἀρμαμέντῳ προστεθησόμενον τοῖς ἐκεῖσε ἀποκειμένοις δημοσίοις ὅπλοις.

β'. Αὐτὸ δὲ τοῦτο φυλάττειν βουλόμεθα καὶ τοὺς ἐν τοῖς τάγμασι τῶν βαλλιστραρίων, οὓς κατὰ διαφόρους συνεστησάμεθα πόλεις τάξαντες ἐν αὐτοῖς καὶ τοὺς ὅπλα κατασκευάζειν εἰδότας, ὥστε καὶ αὐτοὺς μόνα τὰ δημόσια ὅπλα τὰ ἐν ταῖς δημοσίαις ὁπλοθήκαις ἑκάστης πόλεως ἀποκείμενα ἐπανορθοῦν τε καὶ ἀνανεοῦν. εἰ δὲ καί τι νέον ὅπλον κατασκευάσουσι, τοῦτο ὁμοίως καὶ αὐτοὶ εἰς τὴν τῶν δημοσίων ὅπλων παρεχέτωσαν φυλακὴν, καὶ μηδενὶ ἑτέρῳ παντελῶς πιπρασκέτωσαν.

γ'. Τοῦτο δὲ παραφυλάξουσιν οἱ ἐν τοῖς βαλλιστραρίοις καταλεγόμενοι κινδύνῳ τῶν πατέρων τῶν πόλεων, ὑφ' οὓς αὐτούς τε τοὺς βαλλιστραρίους ἐτάξαμεν καὶ τὴν τῶν δημοσίων ὁπλοθηκῶν ἐπιμέλειάν τε καὶ παραφυλακὴν κατε-

1) Verba ὁπλοποιΐαις — ὁπλοποιοὺς desunt in Ven.

στήσαμεν. ὥστε εἴ τινες φανεῖεν ἢ δεπουτάτοι ἢ φαβρικίσιοι διαπιπράσκοντες ὅπλα, προνοήσουσιν οἱ κατὰ τόπον ἄρχοντες τιμωρίαις τοὺς τοιούτους ὑποβάλλειν, πρὸς τῷ καὶ τὰ ὅπλα παρὰ τῶν ταῦτα ὠνουμένων τιμημάτων χωρὶς ἀφαιρεῖσθαι καὶ ἐκδικεῖσθαι τῷ δημοσίῳ. ταύτην τοίνυν παρὰ τοῦ διακυβερνῶντος ἡμᾶς θεοῦ λαβόντες τὴν ἔννοιαν διὰ τοῦ παρόντος θεσπίζομεν νόμου, κατὰ μηδεμίαν πόλιν ἢ χώραν τῆς ἡμετέρας πολιτείας ἔχειν ἄδειαν τοὺς ἰδιώτας ἢ ἕτερόν τινα ὅπλα ποιεῖν ἢ πιπράσκειν ἢ καθ' οἱονοῦν ἐμπορεύεσθαι τρόπον, ἀλλὰ μόνους τοὺς ἐν ταῖς φάβριξιν ἀναφερομένους ταῦτα κατασκευάζειν καὶ εἰσκομίζειν εἰς τὸ θεῖον ἡμῶν ἀρμαμέντον. καὶ τοῦτο παρὰ τῆς σῆς ὑπεροχῆς καὶ τῶν μετά σε παραληψομένων τὴν ἀρχὴν φυλάττεσθαι θεσπίζομεν, ἀφοριζόντων[2]) τινὰς τῶν ὑπὸ τὴν σὴν ὑπεροχὴν χαρτουλαρίων ἐν τῷ σκρινίῳ τεταγμένους τῶν φαβρίκων κινδύνῳ τῶν πέντε τῶν ἐν αὐτοῖς πρωτευόντων, εὖ ὑπολήψεως ἔχοντας καὶ ἐπιτηδείους, οἳ τούς τε κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν τούς τε ἐν ἄλλαις πόλεσι τῆς ἡμετέρας πολιτείας ὁπλοποιοὺς ἀνερευνώμενοι διακωλύσουσιν ἰδιώτας καὶ ἑτέρους τινὰς πλὴν τῶν καταλεγομένων ἐν ταῖς ἱεραῖς φάβριξι τὸ τῆς ὁπλοποιΐας μεταχειρίζεσθαι πρᾶγμα, καὶ ἐν οἷς ἂν εὕρωσι τόποις τινὰς ἰδιώτας τοῦτο τολμῶντας, ταῦτα ἀφαιρεῖσθαι καὶ τῷ δημοσίῳ προσκυροῦν ἀρμαμέντῳ. εἰ δὲ ἐν τοῖς ἐργαζομένοις ἰδιώταις τεχνίτας ἐπιτηδείους εὑρεῖν δυνηθεῖεν, τούτους εἴπερ βουληθεῖεν στρατείαις ἐγκαταλεγῆναι, ἐν ἀπογραφῇ τὰς ὀνομασίας αὐτῶν ποιεῖν καὶ ἐκπέμπειν ἡμῖν τὴν ἀπογραφὴν τῶν τεχνιτῶν, ὥστε διὰ θείας ἡμῶν ἀντιγραφῆς ἐν ἐκείνοις αὐτοὺς κατατάττεσθαι τοῖς τόποις, ἐν οἷς εἰσὶ δημοσίαι φάβρικες, ἐφ' ᾧ δημόσια αὐτοὺς ἐργαζομένους ὅπλα καὶ τὰς ἐκ τοῦ δημοσίου σιτήσεις κομίζεσθαι. τούτου γὰρ γινομένου καὶ ἀκριβῶς φυλαττο-

2) Auth. *deputantibus nobis*. Hal. ἀφορίζειν. equidem malim legere ἀφορίζοντος scil. σοῦ.

μένου παρὰ τῶν ἔμπροσθεν εἰρημένων προσώπων ἄδεια παντελῶς οὐδενὶ δοθήσεται, οὔτε τοῖς τὰς πόλεις οἰκοῦσιν ἰδιώταις οὔτε τοῖς τὰ χωρία γεωργοῦσιν ἀγρόταις, ὅπλοις κεχρῆσθαι κατ' ἀλλήλων καὶ φόνους τολμᾶν, καὶ ἐντεῦθεν πολλοὺς ἀνθρώπους φονεύεσθαι, τοὺς δὲ δημοσίους ὑστερεῖσθαι φόρους τῶν τὴν γῆν γεωργούντων τὸ ζῆν ἀπολιμπανόντων ἢ δρασμῷ διὰ τὸν φόβον χρωμένων. [§. 1.] *δεῖ δὲ τοὺς πεμπομένους παρὰ τῆς σῆς ὑπεροχῆς ἐκ τοῦ εἰρημένου τῶν φαβρίκων σκρινίου μετὰ τὸ κωλῦσαι τοὺς ἰδιώτας τῆς ὁπλοποιΐας κατάθεσιν λαβεῖν τῶν τε κατὰ τόπον ἀρχόντων καὶ τῶν πειθομένων αὐτοῖς τάξεων καὶ τῶν τὰς πόλεις ἐκδικούντων καὶ πατέρων, ὡς οὐδενὶ συγχωρήσουσι τοῦ λοιποῦ τῶν παρ' ἡμῶν τι κεκωλυμένων πρᾶξαι, ἀλλὰ τὰ διὰ τοῦ παρόντος θεσπισθέντα νόμου φυλάξουσι, ποινὴν τήν τε ἐν χρήμασι τήν τε εἰς αὐτὴν ὑφορώμενοι τὴν κεφαλήν. θεσπίζομεν γὰρ, τὸν μὲν τῆς μεγάλης τῶν Ἀλεξανδρέων πόλεως ἄρχοντα παρορῶντα τὰ παρ' ἡμῶν νενομοθετημένα εἴκοσι χρυσίου λιτρῶν κατατιθέναι ποινὴν καὶ τῆς ἀρχῆς ἐκπίπτειν, καὶ τὴν τούτου τάξιν ὁμοίως εἴκοσι χρυσίου λιτρῶν διδόναι ποινὴν καὶ κεφαλικὴν ὑπέχειν τιμωρίαν, τοὺς δὲ τῶν ἄλλων ἐπαρχιῶν ἄρχοντας ζημίαν μὲν δέκα λιτρῶν χρυσίου ὑφίστασθαι, ὁμοίως δὲ καὶ αὐτοὺς ἐκπτώσει τῆς ἀρχῆς ὑποκεῖσθαι καὶ τὰς τούτων τάξεις, τοὺς δὲ ἐκδίκους καὶ πατέρας τῶν πόλεων τριῶν τε χρυσίου λιτρῶν ζημιοῦσθαι πρόστιμον καὶ τὸν εἰς κεφαλὴν ὑπομένειν κίνδυνον, εἴ τι τοιοῦτο γινόμενον εὑρόντες μὴ τιμωρήσονται ἢ τοῖς τοῦτο πρᾶξαι δυναμένοις μὴ μηνύσουσιν, ἀλλὰ λαθεῖν συγχωρήσουσιν.*

δ'. Ὅπως δὲ δῆλα κατασταῖεν τὰ παρ' ἡμῶν κεκωλυμένα παρὰ ἰδιωτῶν ἢ καὶ ἑτέρων τινῶν (πλὴν τῶν ἐν ταῖς ἱεραῖς ἡμῶν φάβριξιν ἀναφερομένων) γίνεσθαι ἢ ἰδιώταις πιπράσκεσθαι ὅπλα, καὶ τοῦτο διὰ τοῦ παρόντος νόμου σημῆναι συνείδομεν. κωλύομεν γὰρ τοὺς ἰδιώτας ἐργάζεσθαι καὶ ὠνεῖσθαι τόξα καὶ βέλη, σπάθας τε καὶ ξίφη (ἅπερ

καλεῖν εἰώθασι παραμήρια), καὶ τὰς λεγομένας ζάβας ἤτοι λωρίκια, καὶ κοντοὺς καὶ τὰς καθ' οἱονδήποτε τρόπον ἢ σχῆμα γινομένας λόγχας, καὶ τὰ παρὰ Ἰσαύροις ὀνομαζόμενα μονοκόντια, καὶ τούς τε καλουμένους ζιβιννοὺς ἤτοι μισιβίλια· πρὸς τούτοις δὲ καὶ ἀσπίδας ἤτοι σκουτάρια, καὶ ἐπικεφαλαίας ἤτοι κασσίδας· οὐδὲ ταῦτα γὰρ ἑτέρῳ τινὶ κατασκευάζειν ἐφίεμεν πλὴν τῶν καταλεγομένων ἐν ταῖς ἱεραῖς ἡμῶν φάβριξι. μόνας δὲ γίνεσθαι παρὰ ἰδιωτῶν καὶ ἰδιώταις πιπράσκεσθαι συγχωροῦμεν μαχαίρας μικράς, αἷς οὐκ ἄν τις εἰς πολέμου χρήσαιτο χρείαν. τὸν παρόντα τοίνυν γενικὸν ἡμῶν νόμον ἡ σὴ ὑπεροχὴ κατὰ ταύτην προθήσει τὴν βασιλίδα πόλιν καὶ μὴν καὶ κατὰ τὰς ἄλλας πόλεις τῆς ἡμετέρας πολιτείας, ὥστε πάντας γινώσκοντας τὰ παραστάντα ἡμῖν ταῦτα φυλάττειν.

ε'. Παρεγγυήσεις δὲ τοῖς μέλλουσιν ἐφεστάναι τῇ τοιαύτῃ παραφυλακῇ χαρτουλαρίοις ἐκ τοῦ εἰρημένου τῶν φαβρίκων σκρινίου, ὡς ἐξ ἀμελείας οὐ μόνον χρηματικὰς ὑποστήσονται ποινάς, ἀλλὰ καὶ τὰς εἰς σῶμα τιμωρίας ὑφέξουσι καὶ τῆς στρατείας ἐκπεσοῦνται, πρὸς τῷ μηδὲ αὐτὸ τὸ σκρινίον ἔτι συγχωρεῖσθαι παρ' ἡμῶν πρὸς τὸ τοιοῦτο παρεῖναι φρόντισμα, ἀλλ' ἑτέροις ἐπιτραπῆναι τὴν τῶν φαβρίκων ἐπιμέλειαν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ νόμου δηλούμενα ἡ σὴ ὑπεροχὴ καὶ οἱ μετά σε τὴν ἀρχὴν ἕξοντες ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτωσαν, ἀγανάκτησιν ἡμετέραν καὶ αὐτοὶ δεδιότες, εἰ μὴ πρᾶγμα οὕτω λυσιτελὲς τῇ πολιτείᾳ φυλάξαιεν.[3]) Dat. VII. Kal. Iul. Chalcedone, imp. DN. Iustiniani PP. A. ann. XIII. Apione V. C. Cons.

3) Subscriptio deest in Ven. Athanasius: *ἐγράφη πρὸ ϛ' καλ. ἰουν. βασιλείας ἰουστινιανοῦ τὸ ιγ' ὑπατείᾳ ἀπίωνος ἰνδ. δ'* (lege β'). Theodorus: *ἐξεφωνήθη μηνὶ ἰουνίῳ τῆς βασιλείας ἔτει ιγ' ὑπατείᾳ ἀπίονος.* sequor Auth. ubi sic est: Dat. VII Kal. Iul. Chalcedone imp. Iustiniano PP. Aug. anno XIII.

Nov. 101. **CIX.** Auth. 101.

Summas praestant Iulian. c. 94, Athan. VIII, 5, Theod. Nov. 101, *αἱ ῥοπαὶ* XIX not. 31.

Περὶ βουλευτῶν.

Ἐγράφη[1]) *Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων*[1a]) *καὶ πατρικίῳ.*

Καλῆς ἡμῖν νομοθεσίας ἀφορμὴν προσέλευσίς τινων δέδωκε βουλευτῶν, καὶ τόνδε ποιούμεθα τὸν νόμον οὐκ ἐπί τινων βουλευτῶν ἀλλ' ἐπὶ τῇ ὑπηκόῳ πάσῃ, λέγομεν δὲ ὅσον τε πρὸς ἑῴαν ἐστὶν καὶ ὅσον δυόμενος ἥλιος ἐφορᾷ καὶ ὅσον ἐκ τῶν πλαγίων ἑκατέρωθεν ἐστίν.[2]) *ἐπειδὴ γὰρ ἐσπούδασται τοῖς πρὸ ἡμῶν τὰ περὶ τῶν βουλευτῶν καὶ τῶν ἐπιδόσεων τῶν εἰς τὰς βουλὰς, καὶ τίνες μὲν ἕλκονται πρὸς τύχην βουλευτικὴν τίνες δὲ ἐλευθεροῦνται, ἐκεῖνο θεσπίζομεν, τὸ ἄδειαν εἶναι τοῖς βουλευταῖς οὐ μόνον τῆς αὐτῆς πόλεως βουλευτὰς ἐνίστασθαι κληρονόμους (τοῦτο δὴ τὸ καὶ μέχρι νῦν ἐφιέμενον), ἀλλὰ καὶ εἴ τινας βουλῆς ἐλευθέρους ἐνστήσασθαι βούλονται κληρονόμους τοῦτο πράττειν, ἐπὶ τούτῳ μέντοι τῷ ὅρῳ ἐφ' ᾧτε προσαγαγεῖν πάντως ἑαυτὸν τὸν κληρονόμον ἢ τοὺς κληρονόμους τῇ βουλευτικῇ τύχῃ τοῦ διατιθεμένου τουτέστιν ἐξ ἧς ἐκεῖνος ὥρμηται*[3]), *καὶ τὰ βουλευτικὰ μετιέναι λειτουργήματα καὶ τὸν κλῆρον λαμβάνειν ἐμποδίζοντος οὐδενός. ἐπιστάμενοι*[4]) *γὰρ, ὡς τοῦ πράγματος ἔσται*[5]) *τοῦ παρόντος ἐπανόρθωσις, ὅτι νῦν μὲν προστίθεται τῇ βουλῇ ἐκ τῶν τοιούτων τρόπων ἡ ἐν χρήμασιν ὠφέλεια,*

1) Hal. *ὁ αὐτὸς βασιλεύς*. 1a) Adde *ὀρδιναρίῳ*. 2) Verba *καὶ ὅσον — ἐστὶν* in Ven. desunt. Hal. *ἔνεστιν*. 3) Hal. *ὥρμητο*. videtur deesse *τῆς πόλεως*. 4) Hal. *ἐπιστάμενος*. legerim *ἐπιστάμεθα*. 5) Hal. omittit et post *ἐπανόρθ*. lacunam esse suspicatur. Auth. *τὸ πρᾶγμα* legit. non male.

ἐκ δὲ τῆς ἑπομένης[6]) νομοθεσίας καὶ ὁ βουλευτὴς καὶ ἡ οὐσία περιγενήσεται, καὶ ἀνθήσει τὰ βουλευτήρια σώμασί τε πλείοσι καὶ τὰς περιουσίας ἔχοντα τὰς αὐτῶν·

α΄. διὰ τοῦτο θεσπίζομεν ἄδειαν εἶναι τοῖς ἐκ τῶν βουλευτηρίων διατιθεμένοις χρῆσθαι κληρονόμοις εἴτε βουλευταῖς τῆς αὐτῆς[7]) πόλεως βούλονται (τοῦτο δὴ τὸ τοῦ νόμου), εἴτε τισὶ τῶν ἐκ γένους εἴτε τῶν ἔξωθεν, εἴτε βουλευταὶ εἶεν εἴτε καὶ μή, εἴτε εἰς μέρος οὐκ ἔλαττον τῶν ἐννέα οὐγκιῶν εἴτε εἰς ὁλόκληρον, ἐπιδεδομένοις μέντοι τῇ βουλῇ καὶ ἑνουμένοις τῷ ταύτης σώματι καὶ πληροῦσιν ἀμέμπτως τὰ λειτουργήματα· τούτου κρατοῦντος ἐπ' αὐτῶν τε καὶ παίδων καὶ ἐγγόνων καὶ εἰς τοὺς ἐφεξῆς διαδόχους, οὐ μὴν κατὰ τὸ σχῆμα, καθ' ὅπερ ἡ μικρῷ πρόσθεν τεθεῖσα διάταξις[8]) ἐπὶ τῶν ἑαυτοὺς ἐπιδιδόντων τοῖς βουλευτηρίοις παρακελεύεται τὴν γονὴν τῶν ἐπιδιδομένων οὐχ ὑπάγουσα τύχῃ, ἀλλ' ὥσπερ εἰ τὴν ἀρχὴν ἐτύγχανον ὄντες βουλευταὶ οὕτω καὶ αὐτοὶ σὺν τῇ οἰκείᾳ γονῇ τῷ τῆς βουλῆς ἑνούμενοι λευκώματί τε καὶ σώματι· οὐ γὰρ ἄν τι διαφέροι ἢ τὸν ὄντα βουλευτὴν τῆς αὐτῆς πόλεως γράψαι κληρονόμον ἢ τὸν αὐτίκα ἐσόμενον.

β΄. Εἰ δὲ καί τις συγγενὴς βουλευτὴς ὢν ἢ καὶ ἄλλως τῆς τοιαύτης τύχης ἐλεύθερος ἐπὶ τὸν κλῆρον καλοῖτο τοῦ τελευτήσαντος βουλευτοῦ οἷα διαθήκας οὐ γράψαντος, βούλοιτο δὲ κἀκεῖνος ἑαυτὸν ἐπιδοῦναι τῇ βουλῇ, ἐξεῖναι αὐτῷ τοῦτο πράττειν καὶ τὴν ἑαυτοῦ γνώμην ἐν ὑπομνήμασι δηλοῦν εἴσω μηνῶν ἕξ, καὶ ἅμα μὲν βουλεύειν σὺν τῇ οἰκείᾳ διαδοχῇ καὶ περιουσίᾳ ἅμα δὲ γενέσθαι κληρονόμον. οὐδὲν παντελῶς τῆς περιουσίας ἀπαιτουμένης[8a]) προφάσει τεταρτημορίου ἢ ἐνναουγκίου, ἅπαξ τοῦ διαδεξαμένου τὸν κλῆρον ἢ βουλευτοῦ καθεστῶτος ἤδη ἢ αὐτίκα γενησομένου καὶ τοῦ

6) Hal. et Auth. ἐσομ. 7) Ven. ἄλλης. 8) c. XLI.
8a) Hal. ἀπαιτουμένου.

πράγματος αὖθις εἰς τὴν βουλὴν ἀφικνουμένου. εἰ δὲ καί τις δωρήσεται πράγματα τῆς αὑτοῦ περιουσίας, ἢ τὰ πλεῖστα ἢ πάντως οὐκ ἐλάττονα τῶν ἐννέα οὐγκιῶν, ἢ τῷ τῶν πολιτευομένων τῆς αὐτῆς πόλεως ὄντι, ἢ καὶ ἑτέρῳ τινὶ, προσάγοντι μέντοι ἑαυτόν τε καὶ τὴν οὐσίαν καὶ τὴν γονὴν τὴν εἴτε οὖσαν εἴτε ἐσομένην καὶ τὴν ἐφεξῆς διαδοχὴν τῇ βουλῇ ἧς ἐστὶν ὁ τὴν δωρεὰν ποιούμενος, θεσπίζομεν τὴν ἐπὶ ταύτῃ τῇ αἱρέσει γινομένην ἐῤῥῶσθαι δωρεάν. παντὸς γὰρ ἡμῖν σπουδάσματος ἄξιον εἶναι δοκεῖ τὸ τὰς οὐσίας τῶν βουλευτῶν κατ' οὐδένα τρόπον ἀλλοτριοῦσθαι τῆς βουλῆς τῆς πόλεως ἐκείνης, ἧς εἰσὶ βουλευταί.

γ'. Ὅπως δὲ ἂν μὴ ἐπ'[9]) *ἐξαπάτῃ ταῦτα δόξειε γίνεσθαι, καί τινες κύριοι γενόμενοι τῶν βουλευτικῶν κλήρων ἢ κατὰ δωρεᾶς τρόπον ἢ κατὰ διαθήκης (καθάπερ εἰπόντες ἔφθημεν) ἢ καὶ ἐξ ἀδιαθέτου διαναβάλλοιντο καὶ παρέλκοιεν τὴν ἐπίδοσιν, καὶ τῶν μὲν πραγμάτων ἐθέλοιεν ἀπολαύειν τὴν δὲ ἐπίδοσιν ἑαυτῶν μὴ ποιοῖντο, θεσπίζομεν, εἰ μὲν κατὰ δωρεὰν (τοῦτο δὴ τὸ πρόσθεν εἰρημένον) ἐπιδίδοιτο, μὴ πρότερον τὴν παράδοσιν γίνεσθαι τῶν πραγμάτων, ἀλλ' ἔτι μένειν παρὰ τῷ δωρησαμένῳ, ἕως ἂν ὁ τὴν δωρεὰν λαμβάνων ἐπὶ πράξεως ὑπομνημάτων, πραττομένης παρὰ τῷ τῆς ἐπαρχίας ἡγουμένῳ προῖκα καὶ χωρὶς πάσης δόσεως, κατὰ τὸν εἰρημένον τρόπον ἐπιδοθείη τῇ βουλῇ καὶ ἐγγραφείη τῷ λευκώματι· τηνικαῦτα γὰρ αὐτῷ καὶ τὰ πράγματα δίδοσθαι βουλόμεθα. εἰ δὲ ὁ δωρησάμενος παραδοίη τὰ πράγματα καὶ μήπω τῆς καταθέσεως γενομένης τῆς τὸν λαβόντα ὑπαγούσης τῇ βουλῇ, καὶ οὕτως ἐκδικεῖσθαι τὰ δωρηθέντα ὑπὸ τοῦ βουλευτηρίου μέχρι τῶν ἐννέα οὐγκιῶν, ἐφ' αἷς πάντως τὸ βουλευτήριον καλεῖσθαι βουλόμεθα.* [§. 1.] *εἰ δὲ ἐκ διαθήκης ἢ κλήσεως νόμου ἐπὶ τὸν κλῆρον ἀφίκοιτο τοῦ βουλευτοῦ ὁ μὴ βουλευτὴς ὢν, τηνικαῦτα εὐθὺς*

9) In Ven. *ἐπ'* deest.

ἅμα τῇ τελευτῇ τοῦ βουλευτοῦ συνιέναι τὸ βουλευτήριον, καὶ ἅμα τῷ τῆς πόλεως ἐκδίκῳ πάσης χωρὶς ἐπιβουλῆς κατὰ τῶν τοῦ τελευτήσαντος πραγμάτων ἐσομένης καὶ ἀπογραφὴν ποιεῖσθαι τῶν πραγμάτων παρόντος καὶ αὐτοῦ τοῦ πρὸς τοῦτο καλουμένου, καὶ τὰ πράγματα παραδίδοσθαι τῇ βουλῇ ὑπὸ σήμαντρα γινόμενα τοῦ τε ἐκδίκου τοῦ τε θεοφιλεστάτου τῶν τόπων ἐπισκόπου. καὶ ἐπειδὰν ἡ πρόσθεν εἰρημένη πρᾶξις τῶν ὑπομνημάτων γένοιτο παρὰ τῷ τῆς ἐπαρχίας ἡγουμένῳ καὶ ἐπιδοθείη τῷ βουλευτηρίῳ (τοῦτο δὴ τὸ πολλάκις ῥηθὲν) σὺν περιουσίᾳ καὶ γονῇ οὔσῃ τε καὶ ἐσομένῃ, τηνικαῦτα αὐτὸν καὶ τὰ πράγματα παραλαμβάνειν, καὶ εἶναι αὐτὸν[10]) κύριον, καθάπερ ὁ πρότερος βουλευτὴς ἦν, οὐδὲν ἐκείνου διαλλάττειν δοκοῦντα· τῆς τοιαύτης πράξεως δηλαδὴ παρὰ τῷ τῆς ἐπαρχίας ἡγουμένῳ κέρδους παντὸς καὶ ζημίας ἁπάσης χωρὶς γινομένης. οὐδὲ γὰρ ἐπ' ἐξαπάτῃ οὐδὲ ἐπὶ ζημίᾳ τῆς βουλῆς, ἀλλ' ἐπ' ὠφελείᾳ τοῦτον τίθεμεν τὸν νόμον, ὥστε διηνεκῶς αὐτὸν κρατεῖν αὔξοντα[11]) καὶ χρήμασι καὶ σώμασι τὰς τῶν βουλευτῶν περιουσίας τε καὶ συστάσεις. εἰ μέντοιγε ὁ ἐξ ἀδιαθέτου καλούμενος τοῦ βουλευτοῦ κληρονόμος οὐκ ὢν μέντοι καὶ αὐτὸς βουλευτὴς μὴ βουληθείη προσελθεῖν καὶ ἑαυτὸν ἐπιδοῦναι τῇ βουλῇ, ἡ μὲν βουλὴ κατεχέτω τὸ ἐνναούγκιον, μόνου δὲ αὐτὸς κύριος γενήσεται τοῦ τριουγκίου, ὅπερ αὐτῷ δίδωσι καὶ πρότερος[12]) νόμος, εἰ καὶ μὴ τύχοι βουλεύων. εἰ μέντοι πλείονες εἶεν τοῦ αὐτοῦ βαθμοῦ καλούμενοι πρὸς τὸν τοῦ βουλευτοῦ κλῆρον, καὶ οἱ μὲν ἐπιδιδοῖεν ἑαυτοὺς οἱ δὲ παραιτοῖντο, τὸ μὲν ἐνναούγκιον λαμβάνειν τὸν ἐπιδιδόντα ἢ τοὺς ἐπιδιδόντας ἑαυτοὺς τῇ βουλῇ, το δὲ τριούγκιον τοὺς λοιποὺς τοὺς ἐκ τοῦ νόμου καλουμένους κληρονόμους. σπουδὴ γὰρ καθέστηκεν ἡμῖν πάντως τὸ ἐνναούγκιον εἰς βουλευτὴν τῆς αὐτῆς παριέναι[13]) πόλεως.

10) Legerim *αὐτῶν*. 11) Ven. *αὔξονται*. Hal. *αὔξαντα*.
12) Malim *ὁ πρότερος*. 13) Ven. *περιέναι*. Hal. *ἰέναι*.

δ'. Εἰ μέντοι τελευτήσειέ τις ἐπὶ θυγατρὶ, εἰ μὲν γαμηθείη βουλευτῇ τῆς αὐτῆς πόλεως, πρόδηλον ὡς ἀσυκοφαντήτως ἕξει τὰ πατρῷα πράγματα ἢ εἰς ὁλόκληρον ἢ πάντως τὰ τοῦ ἐνναουγκίου, εἴ γε τυχὸν τὸ τριούγκιον εἰς ἕτερον ὁ πατὴρ ἐλθεῖν βουληθείη. εἰ δὲ καὶ μὴ βουλευτῇ μὲν ἐξ ἀρχῆς καθεστῶτι γαμηθείη, προσέλθοι δέ τις τὸν γάμον αὐτῆς βουλόμενος ἐπὶ τούτῳ λαβεῖν ἐφ' ᾧ βουλεύειν καὶ ἑαυτὸν ἐπιδοῦναι τῇ βουλῇ, καὶ αἱρετὸς αὐτῇ ὁ γάμος φανείη, καὶ οὕτως ἔχειν αὐτὴν καὶ τὸ ἐνναούγκιον ἀσυκοφάντητον προφάσει τῆς περὶ τὴν βουλὴν εὐνοίας καὶ ὅτι βουλευτὴς ἐπιδίδοται τοῖς πράγμασι καὶ διοικήσει ταῦτα, δι' ὅπερ καὶ πάντως τῇ γυναικὶ ταῦτα δίδοσθαι βουλόμεθα. εἰ δὲ πλείονες εἶεν θυγατέρες καί τινες αὐτῶν γαμηθεῖεν βουλευταῖς ἢ οὖσιν ἢ διὰ τῆς ἐπιδόσεως γινομένοις, τὸ μὲν ἐνναούγκιον εἰς αὐτὰς διαιρεθήσεται, εἰς δὲ τὰς λειπομένας τὸ τριούγκιον ἥξει. οἱ δὲ γήμαντες χρήσονται τοῖς πράγμασιν εἰς τὰς βουλευτικὰς αἰτίας, εἰ καὶ τῆς δεσποτείας ὦσι τῶν γυναικῶν· διὰ τοῦτο γὰρ αὐταῖς δεδώκαμεν τὰ πράγματα τοῦ πατρὸς, ἵνα ἐντεῦθεν οἱ συνοικοῦντες αὐταῖς τὰ βουλευτικὰ πληροῖεν λειτουργήματα. εἰ δὲ συμβαίη τελευτῆσαι τὴν γεγαμημένην τῷ ἑαυτὸν ἐπιδεδωκότι βουλευτῇ, εἰ μὲν παῖδας ἄῤῥενας ἐξ αὐτοῦ[14]) σχοίη, παρὰ τοῖς παισὶν ἔσται τὰ πράγματα, καὶ βουλεύσουσιν ἐκεῖνοι, καὶ οὐδεμιᾶς πολυπραγμοσύνης τῷ πράγματι[15]) δεήσειεν. [§. 1.] εἰ δὲ θήλειαι καθεστήκοιεν αἱ τεχθεῖσαι, εἰ μὲν καὶ αὐταί τισι γαμηθεῖεν ἢ βουλευταῖς τῆς αὐτῆς πόλεως ἢ οἵπερ[16]) σφᾶς αὐτοὺς ἐπιδιδόασιν ταῖς βουλαῖς[16a]) τῆς αὐτῆςπόλεως, ὁμοίως καὶ αὐταὶ ταῦτα ἕξουσιν ἀπραγμόνως ὑποκείμενα ταῖς βουλευτικαῖς λειτουργίαις διὰ τῶν οἰκείων ἀνδρῶν. εἰ δέ τινες γαμηθεῖεν[17]) βουλευταῖς τῆς αὐτῆς πόλεως, τινὲς δὲ μὴ

14) Ven. αὐτῶν. 15) Malim cum Auth. legere τὸ πρᾶγμα. 16) Ven. ὑπέρ. 16a) τῇ βουλῇ? 17) Ven. corrupte: εἰ δὲ ἢ μὴ γαμ. — ἤ τινες γαμηθεῖεν.

γαμηθεῖεν βουλευταῖς ἢ οὖσιν ἢ γινομένοις, τηνικαῦτα κατὰ τὴν ῥηθεῖσαν ἤδη διαίρεσιν αἳ μὲν γαμηθεῖσαι βουλευταῖς τὸ ἐνναούγκιον ἕξουσι διὰ τὰς βουλευτικὰς λειτουργίας, αἱ λοιπαὶ δὲ ἀρκεσθήσονται τῷ τριουγκίῳ. εἰ δὲ μήτε ἄῤῥενες μήτε θήλειαι αὐταῖς γένοιντο, ἕως μὲν ὁ ἀνὴρ περίεστιν, ἐχέτω τούτων τὴν χρῆσιν τὰ βουλευτικὰ ἐν αὐτοῖς πληρῶν λειτουργήματα. καὶ εἰ μὲν εἰς δευτέρους ἀφίκοιτο γάμους καὶ παίδων γένοιτο πατὴρ ἀῤῥένων ἢ θηλειῶν καὶ ταύτας ἁρμόσειε βουλευταῖς, πάλιν ὁμοίως τῷ βουλευτικῷ σώματι φυλαχθήσονται τὰ πράγματα. εἰ δὲ τελευτήσειεν ἢ ἐπὶ δευτέρους οὐκ ἐλθὼν γάμους ἢ παιδοποιησάμενος θυγατέρας, καὶ ταύτας οὐχ ἁρμόσειε βουλευταῖς ἢ οὖσιν ἢ γενησομένοις, τηνικαῦτα ἐξ ὀρθοῦ ἡ βουλὴ ταῦτα τὰ πράγματα λήψεται. οὐδὲ γὰρ ξενωθῆναί ποτε τοῦτο τὸ μέρος τῶν βουλευτικῶν εὐποριῶν τε καὶ λειτουργημάτων συγχωροῦμεν, κἂν εἰς πολλὰς περισταίη τὸ γένος διαδοχὰς, ὥστε διὰ πάντων τῆς τοιαύτης σειρᾶς κατιούσης ἀεὶ τῇ βουλῇ εἴτε δι' ἀῤῥένων παίδων βουλευτῶν εἴτε διὰ γαμβρῶν ἐπιδιδόντων ἑαυτοὺς ταῖς βουλαῖς τὸ ἐνναούγκιον σώζεσθαι. ὃν δὴ νόμον κρατεῖν βουλόμεθα εἴς τε τὸν ἐφεξῆς ἅπαντα χρόνον, καὶ ἐπὶ τῶν ἔτι καὶ νῦν ἠρτημένων καὶ μὴ τυχόντων δικαστικῆς κρίσεως ἢ φιλίας τινὸς ἀπαλλαγῆς.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ φυλάξαι σπευσάτω, μάλιστα πάντων τῆς ὠφελείας τοῦ δημοσίου πᾶσαν πρόνοιαν τιθεμένη. Dat. K. Aug.[18]) CP. DN. Iust. PP. Aug. ann. XIII.[19]) Apione V. C. Cons.

18) Ven.: A. quod Aug. legendum esse Auth. Ath. et Theod. demonstrant. 19) Annum imperii, quem Ven. omittit, addo ex Ath. (Theod. annum XII habet: male.) nonnulli Codices Auth. annum imperii XIIII aut XII et consulatum Iustini vel adeo Belisarii habent. quod Procopius hist. arc. c. 14 narrat, Iustinianum ipsum aliquando leges composuisse, id forte in hanc const. cadit.

Nov. 88. **CX.** Auth. 88.

Basil. XIII, 2, 46. — Summae: Iulian. c. 81, Ath. VI, 3, Theod. Nov. 88, Epitome XVIII, 14.

Περὶ παρακαταθήκης καὶ διαμαρτυρίας ἐνοίκων, καὶ περὶ ἀναρτήσεως χορηγίας ἄρτων.[1])

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Δίκης ἔναγχος ἀκροωμένων ἡμῶν (τοῦτο ὅπερ ἐπὶ τῶν βασιλείων δημοσίᾳ καθήμενοι πολλάκις πράττομεν) ἀνεφύη τὶς ζήτησις, ἣν διελύσαμεν αὐτίκα. τοιαῦτα δὲ μαθόντες ἐπισυμβαίνειν πολλὰ, κοινῷ καὶ γενικῷ νόμῳ διορίσαι ταῦτα δίκαιον ὑπελάβομεν.

α΄. Εἰ γάρ τις παρά τινος λάβοι χρυσίον ἢ πράγματά τινα ἕτερα παρακαταθήκης λόγῳ ἐπί τισιν ὅροις, εἶτα οὗτοι πραχθεῖεν, ἀνάγκην ἐχέτω πᾶσαν ἀποκαταστῆσαι τὸ χρυσίον ἢ τὰ πράγματα, τῶν ὅρων ἅπαξ πληρωθέντων οὐδεμιᾶς παντελῶς ἀδείας οὔσης τισὶν ἔξωθεν[2]) *παραγγελίαις χρῆσθαι καὶ ἐπέχειν τὴν τῆς παρακαταθήκης ἀποκατάστασιν, ἥπερ καὶ ἄλλα πολλὰ προνόμια παρά τε τῶν πρὸ ἡμῶν νομοθετῶν παρά τε ἡμῶν αὐτῶν δέδοται. ἄδεια γάρ ἐστι τῷ κωλύοντι τὴν ἀπόδοσιν τῷ μὲν πιστευθέντι τὴν παρακαταθήκην μὴ διενοχλεῖν, αὐτῷ δὲ περὶ τῶν πρὸς αὐτὸν ἀμφιβόλων τῷ τὸ χρυσίον ἢ τὰ πράγματα λαμβάνειν μέλλοντι τὴν δίκην λαγχάνειν καὶ τοῦ δικαίου καὶ τοῦ νόμου τυγχάνειν, ἀλλὰ μὴ διὰ ταύτην τὴν αἰτίαν ζημίαις μεγάλαις ὑπάγειν τὸν τὴν διαμαρτυρίαν δεξάμενον, καὶ ἀναγκάζεσθαι ἢ* defensionας *ἀπαιτεῖν ἢ πράγματα ἔχειν*[3]) *καὶ μηδὲ ἑκόντα*

1) Athan. *πολιτικῶν ἄρτων.* 2) Quid si legamus *τῶν ἔξωθεν?* 3) Bene scholiasta Basil. interpretatur: *καὶ ἀναγ-*

δύνασθαι πρὸς τὸν παρακαταθέμενον εὐγνωμονεῖν. εἰ δέ τι τοιοῦτο πράξειειν ὅλως (δεῖ γὰρ μὴ μόνῃ τῇ τῶν ἁμαρτημάτων ἀρκεσθῆναι κωλύσει, ἀλλὰ καὶ δέος ἐπισεῖσαι δίκαιον τοῖς παραβαίνουσιν), εἴτε ἀπώλειαν συμβαίη τῶν πραγμάτων ἢ τῶν χρημάτων γενέσθαι καὶ τοῦτο δειχθείη εἴτε ἄλλην οἱανοῦν τυχηρὰν περίστασιν, αὐτὸν ὁρᾶν τὸν τὴν διαμαρτυρίαν στείλαντα, καὶ πρός γε καὶ ἀφ' οὗ γέγονεν ἡ τοιαύτη διαμαρτυρία τόκον τῶν χρημάτων τὸν ἀπὸ τρίτης ἑκατοστῆς ἐπιγινώσκειν τῷ λαβεῖν τὰ οἰκεῖα κωλυθέντι, οὐ μόνον εἰ χρυσίον εἴη τὸ παρατεθειμένον μὲν ἀποδοθῆναι δὲ κεκωλυμένον, ἀλλὰ κἂν εἰ ἕτερα πράγματα, ἵνα τούτῳ τῷ δέει τῶν ματαίων τε ἅμα καὶ βασκάνων τῆς εὐγνωμοσύνης ἐποχῶν ἄνθρωποι παύσωνται.

β'. Ἀλλὰ καὶ ὅλον δὴ τοῦτο τὸ περὶ τῶν παραγγελιῶν καὶ θεωρῆσαι καὶ τάξαι κατὰ νόμον συνείδομεν. ὁρῶμεν γὰρ σφόδρα συχνάζον τοῦτο ἐπὶ τῆς βασιλίδος ταύτης μάλιστα πόλεως, καί τινας παραγγέλλοντας τοῖς χορηγοῦσι το δημόσιον σιτηρέσιον ἢ καὶ ψήφους ποριζομένους παρὰ τοῦ τῶν ἀννόνων ὑπάρχου, βουλομένους ἀναρτηθῆναι τὴν χορηγίαν καὶ τὸν ἐντεῦθεν μόνον ὡς εἰκὸς τρεφόμενον ἀποστερῆσαι τῆς χορηγίας, δι' ἧς αὐτῷ πᾶσα πορίζεται τοῦ βίου πρόφασις. τὸ δὲ ἔτι τούτου χαλεπώτερον καὶ δυσκολώτερον ἐκεῖνό ἐστι. πολλοὶ γὰρ τοῖς[4]) οἰκίας κεκτημένοις κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν βασκαίνοντες, ἡνίκα μέλλοιεν τὰ στεγονόμια παρὰ τῶν οἰκούντων λαμβάνειν, ἐπηρεάζουσιν ἐκμαρτυρίας τοῖς ἐνοικοῦσι στέλλοντες, ὥστε μὴ καταβάλλειν ἐπ' αὐτούς· οἱ δὲ ἄσμενοι ταύτας δεξάμενοι, οἱ μὲν δι' ἀπορίαν ἴσως κατεσθίουσιν αὐτὰ, οἱ δὲ καὶ ἔκδημοι τῆς μεγάλης ταύτης γίνονται πόλεως, καὶ διαπίπτει παντελῶς ἡ τῶν στεγονομίων χορηγία τοῖς ἐντεῦθεν ὡς εἰκὸς καὶ μόνον

κάζεσθαι τὸν τὴν παραθήκην δεξάμενον διεκδικήσεις ἀπαιτεῖν τὸν παραθέμενον καὶ ὀχλήσεις τινὰς καὶ ζημίας ὑφίστασθαι.
4) Ven. τῆς.

ἀποτρεφομένοις, καθάπερ φθάσαντες ἐπὶ τῶν πολιτικῶν σιτηρεσίων εἰρήκαμεν. [§. 1.] οὐδενὶ τοίνυν τούτου δίδομεν ἄδειαν, ἀλλ' ἕκαστος εἴ τινα ἔχοι λόγον πρὸς τὸν ὑπεύθυνον τὸν αὐτοῦ, μὴ τούτῳ μὲν ἐπικαθευδέτω, τὰς δὲ ἀνελευθέρους καὶ βασκανίας ἁπάσης μεστὰς ἐπινοείτω διαμαρτυρίας, ἢ γινωσκέτω ὡς εἴ τι τοιοῦτο πράξειε καὶ παρὰ τὴν αἰτίαν τὴν αὐτοῦ διαπέσοι ἢ τὰ τῆς χορηγίας τῶν ἄρτων ἢ τὰ τῆς τῶν ἐνοικίων δόσεως, τὸν ἐντεῦθεν αὐτὸς ὑποστήσεται κίνδυνον, ἡνίκα διαμαρτυρίαν τοῖς ἐνοικοῦσιν ἢ τοῖς χορηγοῦσι τὸν ἄρτον στείλειεν ἢ ἀναρτήσειε τὸ σιτηρέσιον. οὐδὲν γὰρ τούτων πράττεσθαι[5]) βουλόμεθα, ἀλλ' ἐξ οὗ τὰ τῆς διαμαρτυρίας πράξειε, θεσπίζομεν αὐτὸν πᾶσαν ζημίαν θεραπεύειν τῷ κυρίῳ τῶν πραγμάτων, καὶ πρός γε καὶ τόκον τὸν ἀπὸ τρίτης ἑκατοστῆς ἐπιγινώσκειν τῶν χρημάτων ἢ πραγμάτων, ἅπερ ἂν μὴ λαβεῖν δι' αὐτὸν ὁ κατὰ τοῦτον τὸν τρόπον ἠδικημένος ἰσχύσειε. καὶ μή τις ἀντιτιθέτω τὰς defensionας, ὅτι πάρεστιν αὐτῷ τῷ τῆς ἀπαιτήσεως κυρίῳ δόντι defensionα ἢ ἐπὶ τῆς παρακαταθήκης ἢ ἐπὶ τῶν ἄλλων ἀναλαβεῖν τὰ οἰκεῖα. οὐ γὰρ ἅπασίν ἐστι ῥᾴδιον ἐγγυητὴν ἐπὶ τῇ defensionι παρέχειν, τῶν ἡμετέρων νόμων μηδεμίαν defensionα παντελῶς ἀξιόλογον εἶναι τιθέντων εἰ μὴ μετ' ἐγγυητοῦ γένοιτο, ἐγγυητοῦ δὲ πάντως εὐπορεῖν οὐ τῶν ῥᾳδίων οὐδὲ τῶν δυνατῶν εὐκόλως ἐστί. διὰ τοῦτο τοίνυν ἐπ' ἀσφαλείᾳ τῶν ἡμετέρων ὑπηκόων βουλόμεθα ταῦτα παραφυλάττεσθαι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, ὥστε ἀθάνατον εἶναι ταύτης ἡμῶν τῆς νομοθεσίας τὴν ὠφέλειαν τῷ πολιτεύματι, δικάζουσι μὲν ἡμῖν ἐν νῷ γενομένης, τὸν δὲ παρόντα νόμον κοινὴν ὠφέλειαν τῷ ἡμετέρῳ τεκούσης ὑπηκόῳ.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἔργῳ καὶ πέρατι παρα-

5) Hal. cum Auth. et Bas. addit παντελῶς. forsan rectius.

δοῦναι καὶ εἰς τὸ διηνεκὲς παραφυλάττειν σπευσάτω.[6]) Dat. Kal. Sept. CP. imp. DN. Iustiniano PP. Aug. anno XIII Apione v. c. cons.

Auth. 89. CXI. Nov. 89.

Pro parte recepta est in Basil. XXVIII, 4, 48 et XXXII, 2. — Summae: Iul. c. 82, Ath. XI, 4, Theod. Nov. 89, et cap. 12 in App. Ecl. IV.

Περὶ τῶν νόθων.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Τὸ τῶν νόθων ὄνομα τῇ Ῥωμαίων νομοθεσίᾳ πρῴην οὐ διεσπούδαστο οὐδέ τις ἦν περὶ αὐτὸ φιλανθρωπία, ἀλλ' ὥς ἔκφυλόν τι καὶ παντελῶς ἀλλότριον τοῦ πολιτεύματος ἐνομίζετο, ἐκ δὲ τῶν Κωνσταντίνου τοῦ τῆς εὐσεβοῦς λήξεως χρόνων ἐν τοῖς τῶν διατάξεων ἐνεγράφη βιβλίοις. εἶτα κατὰ μικρὸν εἰς μετριότητα καὶ φιλάνθρωπον γνώμην οἱ αὐτοκράτορες μετελθόντες νόμους ἔθεντο, οἱ μὲν καὶ δίδοσθαι καὶ καταλιμπάνεσθαί τι τούτοις παρὰ τῶν πατέρων ἀξιοῦντες, οἱ δὲ καὶ ἐπινοοῦντες τρόπον δι' οὗ τῆς νοθείας ἀπαλλαγέντες τῆς ἔμπροσθεν γένοιντο γνήσιοι καὶ τῆς πατρῴας περιουσίας διάδοχοι· καὶ κατὰ μικρὸν καὶ εἰς ἐκγόνους προῆλθον αἱ νομοθεσίαι· καὶ ἐπειδὴ καὶ εἰς τοὺς ἡμετέρους τε καὶ εἰς τοὺς μικρῷ πρὸ ἡμῶν ἀφίκοντο χρόνους, πολλὴν τὸ πρᾶγμα τὴν ποικιλίαν ἐδέξατο. καὶ ἡμεῖς γὰρ διπλοῦν

6) Subscriptio in Ven. deest. Athan.: *ἐγράφη καλ. σεπτ. βασιλείας ἰουστινιανοῦ τὸ ιγ' ὑπατείᾳ ἀπίωνος.* Theod. *ἐξεφωνήθη μηνὶ σεπτεμβρ. ἔτει τῆς βασιλείας ιγ' ὑπατείᾳ ἀπίονος.* subscriptionem, quae in unico Codice Authentici servata est „Dat. Kal. Dec. CP. imp. DN. Iustiniano PP. Aug. anno XII Appione v. c. cons." quod ad mensem attinet et annum imperii emendandam fuisse liquet.

ἔσχομεν σπούδασμα, πολλούς τε εἰς ἐλευθερίαν ἀγαγεῖν ἀνθρώπους ἐκ τῆς ἔμπροσθεν δουλείας, ἔκ τε νόθων εἰς γνησίους ἀναφέρειν. οὐ γὰρ τῷ τιμωρεῖσθαί τε καὶ ἀπαγορεύειν προσεκτέον, ἀλλὰ τὸ[1]) *κάμνον ἰᾶσθαι, καὶ φεύγειν μὲν τὸ κακὸν, εὑρίσκειν δὲ πανταχόθεν τὸ ἄμεινον. ἐπειδὴ τοίνυν τινὰ μὲν ἐν τῷ τῶν διατάξεων βιβλίῳ (ὅπερ ἐξ ἁπάσης τῆς ἔμπροσθεν τῶν βασιλευόντων νομοθεσίας ἠθροίσαμεν) περὶ τῶν νόθων γέγραπται παίδων, τινὰ δὲ καὶ ἐν τῷ τῶν ἐπιτρόπων*[2]) *γενόμενοι λόγῳ περὶ τούτων τὰ μὲν ἐνομοθετήσαμεν τὰ δὲ εὕρομεν ἤδη κατειργασμένα, καὶ ἡμεῖς δὲ αὐτοὶ πολλὰς ἐποιησάμεθα περὶ τούτων διατάξεις, τὰς μὲν ἐν τῷ τῶν εἰρημένων ἀθροίσματι διατάξεων τὰς δὲ καὶ μετ' αὐτὸ*[3]), *ἵνα μὴ τὸ πρᾶγμα διεσπαρμένον ᾖ, καλῶς ἔχειν ᾠήθημεν ἐν μιᾷ διατάξει τὸ πᾶν συναγαγεῖν, ἥτις ἀντὶ πάντων ἀρκέσει τὰ περὶ τῶν νόθων διορθῶσαί τε καὶ νομοθετῆσαι.*

α'. Πρόδηλον γάρ ἐστιν, ὡς τῶν ἀνθρώπων οἱ μὲν ἐλεύθεροί τε ἅμα καθεστᾶσι καὶ ἐν γνησίοις εἰσὶν, οἱ δὲ τοῦτο πρότερον οὐκ ἔχοντες ὕστερον γίνονται ἔκ τε δουλευόντων εἰς ἐλευθέρους ἀνιόντες καὶ ἐκ νόθων εἰς γνησίους· οἱ δὲ νόθοι τε εἰσὶν αὐτόθεν καί τινες εἰσὶν αὐτοῖς διαδοχαί· τοῖς δὲ οὐδὲ τὸ γοῦν νόθον ἐμπρέπει, ἀλλὰ καὶ τούτου πεφήνασιν ἀνάξιοι. δεῖ τοίνυν ἡμᾶς οὕτω ποιήσασθαι τὴν διάταξιν, ὥστε μηδὲν ἀγνοῆσαι[4]) *τῶν προσηκόντων ἐπὶ τῶν νόθων κρατεῖν. ἐροῦμεν δὲ ἀρχόμενοι τοῦ νόμου, τίνες μὲν καθεστᾶσι νόθοι, τίσι δὲ τρόποις προΐασιν*

1) *τῷ τό?* 2) Ven. *ἐν αὐτῶν ἐπιτρόπων.* Flor. *ἐν τῷ κατερσασμένα* (pro *κατειργασμένα*) omissis intermediis. Auth.: in libro Institutorum. equidem lectionem quam sequutus sum sanam esse crediderim. relegat imperator primo ad titulum Codicis de naturalibns liberis (5, 27), deinde profitetur se progressum ad tractatum de tutoribus (5, 28 sqq.) nonnullas ipsum leges de naturalibus tulisse (veluti l. 4 C. 5, 29), alias autem latas invenisse (veluti l. 11 C. 5, 31). 3) Const. XLII. XLIII. XCIV. 4) *ἀγνοεῖσθαι?*

εἰς γνησιότητα (ὧν τοὺς πολλοὺς ἐξεύρομεν ἡμεῖς), τίνες δέ εἰσιν αἱ τούτων διαδοχαὶ, καὶ ὅπως μὲν ἡ παλαιότης ἐχρήσατο τούτοις πικρῶς, ὅπως δὲ ἡμεῖς φιλανθρώπως· παραλειφθήσεται δὲ οὐδὲ ἐκεῖνο τό τινας οὐδὲ τῆς τῶν νόθων ἀξιοῦσθαι παρὰ τῶν νόμοων καθάπερ εἴρηται προσηγορίας. ἡ μὲν οὖν φύσις ἐξ ἀρχῆς, ἡνίκα τὰ περὶ τῆς τεκνογονίας ἐνομοθέτει τῶν γραπτῶν οὔπω κειμένων νόμων, ἅπαντας ὁμοίως μὲν ἐλευθέρους ὁμοίως δὲ εὐγενεῖς προήγαγε. τοῖς γὰρ δὴ πρώτοις γονεῦσιν οἱ πρῶτοι παῖδες ὁμοίως μὲν ἐλεύθεροι ὁμοίως δὲ γνήσιοι παρὰ τῆς δημιουργίας ἐγίνοντο. πόλεμοι δὲ καὶ μάχαι καὶ ἡδοναὶ καὶ ἐπιθυμίαι τὸ πρᾶγμα κατήγαγον εἰς ἀλλοιότερον σχῆμα· δουλείαν μὲν γὰρ ἐξεῦρε πόλεμος, νοθείαν δὲ σωφροσύνης ἔκπτωσις. ὁ νόμος τε αὖθις τὰ τοιαῦτα τῶν ἁμαρτημάτων ἰώμενος ἐλευθερίαν τε τοῖς δουλεύουσιν ἐμηχανήσατο, καὶ πολλά γε περὶ τούτων ἐπραγματεύσατο τρόπους εἰσηγούμενος[5]) μυρίους· αἱ δὲ βασιλικαὶ διατάξεις ἀνέῳξαν τοῖς οὐκ ὀρθῶς γενομένοις[6]) τὰς ἐπὶ τὸ γνήσιον ὁδούς. ὅπερ οὐ παρέργως οὐδὲ ἡμεῖς νομοθετοῦμεν, οὐδὲ τοὺς ὑπηκόους τοῦδε τοῦ νόμου παρημελημένως κατακούειν βουλόμεθα. [§. 1.] γνήσιοι μὲν οὖν προΐασι διάδοχοι ἀνθρώποις ἐξ ὧν συναλλάττουσι γάμων, ἢ μετὰ προικῴων συμβολαίων ἢ καὶ τούτων χωρὶς, οὕτω πρὸς τὰς θηλείας τῶν ἀῤῥένων συνιόντων, ὥστε ἐξ ἀρχῆς ἔχειν πρὸς αὐτὰς γάμων γνησίων διάθεσιν. καὶ τοῦτο γὰρ συκοφαντούμενον ἡμεῖς ὁρῶντες νόμῳ διεκρίναμεν, τί μὲν ἐπὶ τῶν ὑπὸ τῆς τύχης εἰς ἀξίας ἠρμένων, τί δὲ ἐπὶ[7]) τῆς μέσης δὴ ταύτης τῶν ἀνθρώπων καταστάσεως πράττεσθαι δεῖ πρὸς ἀπόδειξιν γάμων γνησίων, τί δὲ τῷ λοιπῷ συγκεχώρηται πλήθει. ὥστε τῶν γάμων[8]) τούτων προϊόντων αὐτόθεν εἰσὶν

5) Ven. εἰσηγόμενος. forte εἰσαγόμενος. 6) Ven. γινομ. 7) Ven. et Hal. ὑπό. 8) Legendum videtur **ἐκ γάμων τούτων** vel **τοιούτων**. quamquam Auth. cum Ven. et Hal. facit.

αἱ διαδοχαὶ πρόδηλοι, καὶ εἴ γε ἐν τοῖς γνησίοις ἀριθμηθεῖεν, εὐθὺς ὁ νόμος ὑφηγεῖται τοὺς τῶν διαδοχῶν τρόπους πολλὰ περὶ τούτων πραγματευσάμενος. τὸ μὲν οὖν γνήσιον οὕτω πὼς ἔχει, τὸ δὲ μὴ τοιοῦτον, ἀλλ' ἐλεύθερον μὲν οὐκ ἐκ νομίμων δὲ προελθὸν γάμων, ἢ καὶ ἐν δουλείᾳ τεχθὲν[9]) *ἐλευθερίας μὲν ἀξιωθείη μείνοι δὲ νόθον, τοῦτο τρόποι ποικίλοι πρὸς γνησιότητα φέρουσιν, οὓς διαριθμησάμενοι οὕτω καὶ τὰ λοιπὰ νομοθετήσομεν.*

β'. Πρῶτος μὲν οὖν τρόπος αὐτοῖς γνησιότητος ὑπῆρχεν ὁ[10]) *καὶ τὰς πόλεις εὐθὺς ὠφελῶν, ὃν Θεοδόσιος ὁ τῆς εὐσεβοῦς τε καὶ νέας εἰσηγήσατο μνήμης· νενομοθέτηται γὰρ ὑπ' αὐτοῦ τὸ δύνασθαι τοὺς νόθους παῖδας ἢ πάντας ἤ τινας ἐπιδιδόναι τοῖς βουλευτηρίοις ἢ τὰς θυγατέρας ἁρμόζειν βουλευταῖς. καὶ ἐπείπερ ὁ τρόπος οὗτος οὐχ ἁπλῆν εἶχε τὴν νομοθεσίαν, ἀλλὰ ποικίλως τά τε περὶ τῶν ἐπιδόσεων εἴρηται τά τε περὶ τῶν διαδοχῶν, πῶς τε αὐτοὶ καὶ τίνων κληρονομοῦσι καὶ παρὰ τίνων αὖθις κληρονομοῦνται, δίκαιον ᾠήθημεν τοῦτο δὴ πρῶτον τὸ τῆς νομοθεσίας διαθέντες κεφάλαιον οὕτως ἐπὶ τοὺς λοιποὺς τρόπους τοὺς εἰς γνησιότητα φέροντας ἐλθεῖν· τὰ γὰρ ἐκεῖθεν εὔκολα παντοίως ἐστίν.* [§. 1.] *εἴ τις τοίνυν εἴη νόθων παίδων πατὴρ, εἴτε βουλευτὴς ὢν εἴτε ἐλεύθερος βουλῆς, ἄδειαν ἕξει τούτους ἤ τινας ἐξ αὐτῶν, εἴτε γνησίων παίδων εἴη πατὴρ εἴτε καὶ μὴ μόνων δὲ νόθων, ἐπιδιδόναι τῷ βουλευτηρίῳ, κἂν εἰ τυχὸν ἰλλουστρίας ἀξίας εἶεν οἱ παῖδες ἐπειλημμένοι, πλὴν εἰ μὴ τηλικαύτης, ἥπερ ἀνθρώπους κἂν εἰ βουλευταὶ καθειστήκεσαν ταύτης ἐλευθέρους ἐποίει τῆς τύχης. ὁ δὲ τῆς ἐπιδόσεως τρόπος, εἴτε γένοιτο παρὰ τοῦ πατρὸς ἔτι περιόντος, ἡνίκα τὶς ἐν κοινῷ τὸν υἱὸν ἐπιδοίη (τοῦτο γὰρ ἐπὶ Φιλοκάλῳ πέπρακται νόθῳ παιδὶ, βουλευτῇ παρὰ τοῦ πατρὸς ἐν τῇ Βοστρίνων γενομένῳ, καὶ τοῦτο αὐτὸ ἀνειπόντος*[11]) *κατὰ*

9) Deest in Ven. 10) Ven. *γνήσιος ὑπήρχθη.* 11) Ven. et Hal. *ἀνειπόντι* et *ἐπιδεδωκότι.* emendavit Hombergk. Auth.

τὴν ἐκεῖσε θέαν, καὶ οὕτως αὐτὸν ἐπιδεδωκότος, καθάπερ ἡ Λέοντος[12]) τοῦ τῆς εὐσεβοῦς λήξεως γεγραμμένη φησὶ διάταξις, εἴτε οὖν κατὰ τοῦτον τὸν τρόπον γένοιτό τις ὑπὸ τοῦ πατρὸς ἀναῤῥηθεὶς βουλευτὴς, εἴτε αὐτὸν ὁ πατὴρ ἐπὶ πράξεως ὑπομνημάτων ἐπιδοίη, εἴτε τελευτῶν ἐν διαθήκῃ γράψειε δεῖν γίνεσθαι βουλευτὴν, εἶτα ἐκεῖνος ἕληται τὴν γραφὴν, γνήσιος εὐθὺς γίνεται τῆς νοθείας καθάπαξ ἀπηλλαγμένος. εἰ δὲ καὶ τελευτήσαντος τοῦ πατρὸς ἑαυτὸν ὁ παῖς ἢ οἱ παῖδες ἐπιδοῖεν, οὐκ οὔσης μέντοι γνησίας γονῆς, καὶ οὕτως ἔσονται γνήσιοί τε καὶ βουλευταί. ὥστε πατὴρ μὲν καὶ ὑπόντων γνησίων ἐπιδώσει τῇ βουλῇ τοὺς οὐχὶ γνησίους παῖδας, ὁ δὲ αὐτομάτως εἰς τοῦτο ἰὼν τηνικαῦτα μόνον ἀκουσθήσεται, ἡνίκα ἂν οὐδεὶς τῶν γνησίων παίδων ὑπείη. οὕτω μὲν οὖν τὰ τῶν ἐπιδόσεων ἔστω, τὸ διαφόρως νομοθετηθὲν ἡμῶν εἰς[13]) τὸν παρόντα νόμον ἀποθεμένων. οὐχ ἁπλῶς δὲ οὐδὲ ὡς ἔτυχε τὸ τῆς ἐπιδόσεως ἔσται· δεῖ γὰρ καὶ τοὺς τρόπους ποιῆσαι φανεροὺς, καθ' οὓς ἐπιδοθήσονται. [§. 2.] εἰ μὲν οὖν τις ἔκ τινος ὁρμῷτο πόλεως, εἴτε βουλευτὴς εἴτε ἐλεύθερος τῆς τοιαύτης εἴη τύχης, ἔξεστι τὸν ἑαυτοῦ νόθον ἐπιδοῦναι τῷ βουλευτηρίῳ τῆς πόλεως ἐκείνης ὅθεν ὥρμηται. [εἰ δὲ οὐ πολίτης οὐδὲ αὐτὸς καθεστήκοι, ἐκ χωρίου δέ τινος ἐλευθέρου ἢ κώμης ὥρμηται,][14]) ἐκείνῃ παρὰ τοῦ πατρὸς ἐπιδιδόσθω τῇ πόλει ἢ ἑαυτὸν ἐπιδιδότω[15]), ὑφ' ἣν τὸ χωρίον ἢ τὰ τῆς κώμης τελοίη. πρόδηλον δὲ, ὡς εἰ μὲν ὁ πατὴρ αὐτὸν ἢ πάππος ἐπιδοίη ἢ καί τις τῶν ἀνωτέρω προγόνων, καὶ γνησίους ἔχων παῖδας τοῦτο πράττειν ἰσχύει· εἰ δὲ αὐτός τις ἑαυτὸν ἐπιδοίη, τοῦτο ἐφίεμεν ἡνίκα μὴ ἕτεροι γνήσιοι καθεστᾶσιν ἀδελφοί.

legisse videtur *ἀνεῖπεν* et *ἐπιδέδωκεν*. 12) l. 4 C. 5, 27. 13) Ven. *ὡς*. 14) Uncis inclusa in Ven. omissa sunt. supplevi ex Hal. et Auth. quamquam plura adhuc desiderari videntur, veluti *ἔξεστι τῷ πατρὶ τὸν αὐτοῦ νόθον ἢ τῷ νόθῳ ἑαυτὸν ἐπιδοῦναι — εἰ δὲ οὐ πολίτης οὐδὲ ὁ πατὴρ οὐδὲ αὐτός κτλ.* 15) Ven. *ἐπιδότω*.

[§. 3.] *εἰ μέντοι τὶς τῶν ἐπιδοῦναι δυναμένων τοὺς ἑαυτοῦ νόθους τοῖς βουλευτηρίοις ἢ ἐκ τῆσδε τῆς μεγάλης ὥρμητο πόλεως ἢ ἐκ τῆς ἔτι πρεσβυτέρας Ῥώμης, τούτῳ δίδομεν ἄδειαν εἰς ἣν ἂν βούληται μητρόπολιν τὴν ἐπίδοσιν ποιήσασθαι. καὶ τοῦτον εἶναι τὸν κανόνα καὶ ἐπὶ θυγατέρων, ὥστε ἁρμόζειν αὐτὰς βουλευταῖς ἢ ἐκ τῆς πόλεως αὐτῆς ἐξ ἧς ὥρμηται ἢ ὑφ' ἣν τὸ χωρίον ἢ ἡ κώμη τελοίη, ἢ εἴ τις ἐλεύθερος ἅμα καὶ Ῥωμαῖος ἢ Βυζάντιος εἴη, τινὶ τῶν βουλευτηρίων ἑτέρας οἱασδήποτε, μητροπόλεως μέντοι. καὶ οὕτως ἡμῖν τῶν βουλευτηρίων μέλει καὶ οὕτως ὁ τρόπος ἀρέσκει τῆς γνησιότητος, ὅτι δίδομεν τῷ βουλευτῇ νόθων ὄντι μόνων παίδων πατρὶ, κἂν ἐκ δούλης αὐτοὺς σχοίη, καὶ ἐλευθεροῦν καὶ ἐπιδιδόναι τῇ βουλῇ κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον. καὶ ἔτι μειζόνως τὸ πρᾶγμα νομοθετοῦμεν, ὥστε κἂν εἰ μὴ ὁ πατὴρ ἐπιδοίη, ἐλεύθερος δὲ ἅπαξ ὁ παῖς γένηται, δύνασθαι καὶ ἑαυτὸν ἐπιδιδόναι τῷ βουλευτηρίῳ, δηλαδὴ κἀνταῦθα γνησίας οὐχ ὑπούσης γονῆς.*

γ'. Καὶ ἐπειδήπερ ποικίλως καὶ τὰ ἐπὶ τῆς τῶν τοιούτων προσώπων διαδοχῆς νενομοθέτηται, οὐκ ἄπο τρόπου δοκοῦν ἐστιν ἡμῖν καὶ τὰ περὶ τῆς διαδοχῆς καθὰ προειπόντες ἔφθημεν διορίσασθαι. εἰ τοίνυν τὶς νόθος κατὰ τοῦτο τὸ σχῆμα (τὸ ἐκ τῆς ἐπιδόσεώς φαμεν) γένοιτο βουλευτὴς, ἔσται τῷ πατρὶ καὶ ἐξ ἀδιαθέτου διάδοχος καὶ ἐκ βουλήσεως, οὐδὲν ἀπεοικὼς τῶν γνησίων, καὶ ἐκ δωρεᾶς λαμβάνειν δυνάσθω τοῦ πατρὸς, οὕτω μέντοι, ὥστε μὴ πλέον ἔχειν τῶν ἐξ ἀρχῆς γνησίων ἑνὸς τοῦ τὸ πάντων ἐλάχιστον ἔχοντος. ἅπαξ δὲ καταδεξαμένους ἐκείνους τὴν ἐπίδοσιν καὶ διὰ τοῦτο εἰς γνησίους ἀναβάντας οὐκ ἐφίεμεν abstinα*τεύειν ἑαυτοὺς τῆς τῶν πατέρων κληρονομίας, ἢ δοκεῖν δῆθεν τὴν δωρεὰν τὴν εἰς αὐτοὺς γενομένην καὶ στερχθεῖσαν ὑπ' αὐτῶν ἀφιέναι, καὶ τῆς τύχης ἀναχωρεῖν· μένοντες μὲν γὰρ βουλευταὶ τὸ καταλελειμμένον ἢ δεδωρημένον κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον ἕξουσι μέτρον.*

[§. 1.] εἰ μέντοι γε ἐξ ἀρχῆς παραιτοῖντο τὴν δόσιν, τὸ μένειν ἐλεύθεροι κἂν ἐν νοθείᾳ τοῦ γενέσθαι πλουσιώτεροι καὶ βουλευταὶ προκρίνοντες, εἶτα φανεῖεν ὕστερον ἢ εἰς ὁλόκληρον ἢ ἐκ μέρους νεμόμενοι τὰ δωρηθέντα ἢ καταλειφθέντα αὐτοῖς πράγματα ἢ καὶ ἐκποιήσαντες, ἐνέξονται πάντως τῇ βουλευτικῇ τύχῃ καὶ ἄκοντες, ἵνα μὴ νοθεύοντες ἡμῖν φανεῖεν τὴν νομοθεσίαν, καὶ τὰ μὲν κέρδη θηρώμενοι τὰ προφάσει τῆς ἐπιδόσεως, ἀποσειόμενοι δὲ τὴν τύχην δι' ἣν τῶν κερδῶν ἠξιώθησαν. καὶ ταῦτα ὁμοίως νομοθετοῦμεν ἐπί τε ἀῤῥένων ἐπιδεδομένων τῇ βουλῇ, ἐπί τε τῶν γαμουμένων βουλευταῖς θυγατέρων· οὐδεμιᾶς οὔσης διαφορᾶς, εἴτε δι' ἀῤῥένων τὶς βουλεύοι παίδων, εἴτε διὰ τῶν ἐπὶ ταῖς θυγατράσι γαμβρῶν τὸ βουλευτήριον αὔξειν βούλοιτο, καὶ τό γε ἐπ' αὐτῷ διὰ τῶν ἐκείνων παίδων καινοὺς προστιθέναι τοῖς προτέροις βουλευτὰς[16]) τοὺς ἐκείνων υἱούς.

δ'. Τὸν δὲ κατὰ τοιαύτην αἰτίαν εἰσποιούμενον τῇ γνησιότητι παῖδα αὐτῷ μόνῳ τῷ φύσαντι νόμιμον ἀποτελοῦμεν, οὐ μὴν καὶ τῇ τρίτῃ[16a]) ταύτῃ συγγενείᾳ τοῦ πατρὸς (φαμὲν δὲ τῶν τε ἐξ ὧν ἐκεῖνος γέγονε τῶν τε ἑκατέρωθεν τῶν τε ἐξ αὐτοῦ προελθόντων) ποιοῦμεν αὐτὸν ὥς ἔκ τινος μηχανήματος συγγενῆ. θεσπίζομεν γὰρ ὥστε τὸν ἐπιδεδομένον τῷ βουλευτηρίῳ φυσικὸν υἱὸν μόνῳ τῷ πατρὶ γνήσιον γίνεσθαι διάδοχον, μηδεμίαν μέντοι μετουσίαν ἔχειν εἰς τοὺς ἀνιόντας ἢ κατιόντας ἢ ἐκ πλαγίου συγγενεῖς agnatous ἢ cognatous τοῦ πατρὸς, ἤ τινα ἔχειν μετουσίαν εἰς τὴν ἐκείνων διαδοχὴν, τὴν ἴσην καὶ αὐτῷ διδόντες προνομίαν, ὥστε καθάπερ αὐτὸς ἐκείνοις οὐ γίνεται διάδοχος, οὕτω μηδὲ ἐκείνους εἰς τὴν αὐτοῦ καλεῖσθαι διαδοχὴν, πλὴν εἰ μὴ γράψειεν ἢ αὐτὸς ἐκείνους ἢ παρ' ἐκείνων γραφείη. μόνῳ γὰρ τῷ πατρὶ γίνονται γνήσιοι καὶ συγγενεῖς εἶναι πιστεύονται.

ε'. Νομοθετητέον δὲ τίνες τοῖς οὕτω γενομένοις γνη-

16) Auth. βουλευταῖς. 16a) Auth. vertit „extraneae". forte τριπλῇ.

σίοις ἀποτελοῦνται διάδοχοι. εἰ μὲν γὰρ σχοίη παῖδας ὁ τοιοῦτος ἢ ἐγγόνους ἀπὸ γνησίων αὐτῷ γενομένους γαμετῶν, καὶ εἰκότως καὶ βουλευτὰς καθεστῶτας, πάντως αὐτὸν διαδεχέσθωσαν· τί γὰρ νομιμώτερον γνησίου παιδὸς πρὸς πατρῴαν διαδοχήν; εἰ δέ γε παῖδας ἔχοι μὴ βουλευτὰς ὁτεδήποτε γενομένους αὐτῷ, τηνικαῦτα τὸ νόμιμον μέτρον εἰς τὴν βουλήν τε καὶ τὸ δημόσιον ἀφικνείσθω, τὸ λοιπὸν δὲ ὅσον ἂν εἴη εἰς ἐκείνους τοὺς παῖδας τοὺς μὴ βουλεύοντας ἡκέτω. εἰ δὲ καθόλου μηδεμία τὶς αὐτῷ καθεστήκοι γονὴ, τελευτήσειε δὲ ἀδιάθετος, τὸ μὲν ἐνναούγκιον ἡ βουλὴ καὶ τὸ δημόσιον ἐχέτωσαν κατὰ τὸ πρώην δὴ τοῦτο παρ' ἡμῶν νενομοθετημένον, εἰς δὲ τὸ λειπόμενον τριούγκιον οἱ ἐκ τοῦ νόμου καλούμενοι πάντες ἥξουσιν, ἢ εἴπερ διάθοιτο ἐπὶ τοὺς γραπτοὺς ἐλεύσεται κληρονόμους. ἅπαξ γὰρ αὐτὸν γενόμενον βουλευτὴν ὁ νόμος λαβὼν καὶ ἐγγράψας τῷ βουλευτηρίῳ καὶ τὰς διαδοχὰς αὐτοῦ καὶ τὴν ἄλλην ἅπασαν τεταγμένην ἔδωκε τοῦ βίου διαδοχήν τε καὶ πορείαν. εἰ δέ τις ἢ τῶν ἐκ τοῦ γένους ἢ καὶ ἔξωθεν, ἢ καὶ γεγραμμένος τυχὸν ἢ καὶ μὴ γεγραμμένος, βουληθείη προσελθεῖν τῇ βασιλείᾳ καὶ ἑαυτὸν ἐπιδοῦναι τῇ βουλῇ, ἄδειαν ἐχέτω τοῦτο πράττειν, καὶ τὸ ἀφωρισμένον τῷ βουλευτηρίῳ μέρος λαμβάνων γενέσθαι βουλευτὴς καὶ τῆς τε τύχης τῶν τε λειτουργημάτων διάδοχος, εἰ τοῦτο ἡ βασιλεία ἐπινεύσειεν.

ϛ'. Εἰ δέ τις γνησίους μὲν παῖδας οὐκ ἔχοι, νόθοι δὲ αὐτῷ καὶ μόνοι καθεστᾶσιν, ἐξέστω μετὰ τοῦ τῆς βουλῆς ἄχθους αὐτῷ γράφειν τούτους κληρονόμους, καὶ ἡ γραφή γε ἀντὶ πάσης ἐπιδόσεως ἔστω, καὶ μὴ δείσθω (τοῦτο τῶν παλαιῶν νόμων) ἑτέρας προσθήκη ςμηδὲ τῆς ἐν ᾧ περιῆσαν ἐπιδόσεως, ἀλλ' αὐτόθεν γραφέντες, εἴ γε ἐλεύθεροι καθεστᾶσι, βουλευταὶ ἅμα καὶ κληρονόμοι γινέσθωσαν, καὶ ἐχέτωσαν καὶ αὐτοὶ τὸ τῆς περιουσίας ἐνναούγκιον καθάπερ ἂν ὁ πατὴρ αὐτοῖς διανείμῃ. εἰ δὲ καὶ τὸ πᾶν βουληθείη καταλιπεῖν, ἔτι πράξειε κάλλιον· πλὴν ἀλλὰ μέχρι τοῦ ἐνναουγκίου

πάντως αὐτοῖς καταλιμπανέτω, γινώσκων ὡς κἂν αὐτοῖς καταλίποι ἔλαττον, ἀλλ' ἐκ τοῦ νόμου πάντως ἡ ἀναπλήρωσις τῆς οὐσίας ἔσται. οἱ δὲ εἴπερ ἕλοιντο βουλευταὶ γινέσθωσαν· εἰ δέ τινες μὲν ἕλοιντο τινὲς δὲ παραιτήσοιντο, ἐπὶ τοὺς αἱρουμένους τὰ τῶν παραιτουμένων ἀφικέσθω μέρη· εἰ δὲ ἅπαντες ἀπείποιεν, τηνικαῦτα ὡς ἀπαιδίας οὔσης οὕτως ἐπὶ τὴν βουλὴν ἐρχέσθω τὸ ἐνναούγκιον ἅπαν. εἰ δὲ ὁ μὲν σιγήσειε, παίδων δὲ αὐτῷ γνησίων οὐκ εἴη σπορά, τηνικαῦτα τὸ μὲν νόμιμον μέρος ἐπὶ τοὺς ἐξ ἀδιαθέτου κληρονόμους ἐρχέσθω, οἱ παῖδες δὲ οἱ νόθοι, εἰ βούλονται ἑαυτοὺς ἐπιδοῦναι[17]) τῷ βουλευτηρίῳ, τοῦτο ποιείτωσαν καθάπερ ἂν ἐθελήσειαν, εἴτε πάντες εἴτε τινὲς ἐξ αὐτῶν, καὶ πάντως τὸ ἐνναούγκιον τῆς περιουσίας εἰς τοὺς βουλεύοντας ἢ τὸν βουλεύοντα περιστήσεται. εἰ δὲ καὶ ἐκ δούλης αὐτῷ τεχθέντες εἶεν, εἴ γε αὐτοὺς ἐλευθερώσειεν ἢ περιὼν ἢ ἐν τῇ διαθήκῃ καὶ ἐπιδοίη τούτους, καὶ οὕτω προσδεχέσθωσαν, καὶ ἔστωσαν βουλευταὶ καθάπερ ὁ διαθέμενος ἠβουλήθη ἢ καθάπερ ἡ αὐτῶν ἐπιθυμία πεποίηκεν· ἐπιδόντες γὰρ ἑαυτοὺς τῇ βουλῇ λήψονται καθάπερ εἴρηται τὸ ἐνναούγκιον. πανταχοῦ γὰρ βουλόμεθα κἂν εἰ διάθοιτο κἂν εἰ μὴ βουλευσάμενος ἀπέλθοι τοὺς εἰς τὴν βουλὴν ἐρχομένους τὸ ἐνναούγκιον λαμβάνειν. εἰ δὲ ἐλευθερώσει μὲν μόνον οὐ μὴν ἐπιδοίη, οἱ δὲ καὶ οὕτω βούλοιντο ἤ τις ἤ τινες ἐξ αὐτῶν πρὸς τὸ βουλευτήριον ἰδεῖν, κἀκεῖσε τὸ ἐνναούγκιον τῷ βουλεύοντι ἢ τοῖς βουλεύουσι κατὰ τὴν ἀναλογίαν διδόσθω. εἰ δὲ μηδεὶς τῶν νόθων ἢ[18]) βουληθείη ἢ ἐπιδοθείη, τηνικαῦτα τὸ ἐνναούγκιον ἡ βουλὴ λαμβανέτω. δῆλον δέ[19]) ὅτι συμπαρακολουθήσει πανταχοῦ τὸ δημόσιον κατὰ τὴν περὶ τούτου τεθειμένην παρ' ἡμῶν διάταξιν. τὸ μὲν οὖν περὶ νόθων τῶν διὰ τῆς εἰς τὴν βουλὴν παρόδου γινομένων

17) Ven. ἐκδοῦναι. 18) In Ven. deest. supplevi ex Hal. et Auth. 19) Ven. δὲ non habet.

γνησίων καὶ τοῦ τρόπου καθ' ὃν ἐπιδίδονται καὶ τῶν διαδοχῶν ταύτῃ καθαρῶς ἡμῖν νενομοθετήσθω.

ζ'. Τριῶν δὲ ἑτέρων διατάξεων γραφεισῶν[20] *Ζήνων μὲν ὁ τῆς εὐσεβοῦς λήξεως οὐ περὶ τῶν μελλόντων τὶ σχεδὸν νομοθετεῖ, ἀλλὰ περὶ τῶν ἤδη παρῳχηκότων· ἣν γεγράφθαι διὰ τοῦτο μόνον συνεχωρήσαμεν, ἵνα τοὺς ἐξ ἐκείνης ἴσως ὠφελουμένους τῆς διατάξεως διὰ τὸ κατιέναι αὐτοῖς ἐκεῖθεν τὰς γονὰς μὴ τῆς ἐντεῦθεν ὠφελείας ἀποστερήσωμεν· ὥσπερ καὶ τὴν Ἀναστασίου τοῦ τῆς εὐσεβοῦς λήξεως τὴν τοὺς νόθους υἱοποιεῖσθαι διδοῦσαν οὐκ ἐνοχλεῖν τοῦ λοιποῦ τοῖς ἡμετέροις ὑπηκόοις συγχωροῦμεν, πλὴν ἐπὶ τούτῳ κεῖσθαι καὶ μόνον ἀφίεμεν*[20a]*, ὥστε εἴ τις ὠφέλειά τισιν ἐκεῖθεν ἀπόκειται, ταύτην μὴ δόξαι διὰ τῶν ἡμετέρων ἀναιρεῖν νόμων· δεῖ γὰρ ἀεί τινος ἐξάρχειν ἀγαθοῦ, οὐ μὴν τά τισι προϋπηργμένα διαλύειν. τὴν γὰρ τοῦ ἡμετέρου πατρὸς ἀποδεχόμεθα διάταξιν, σωφρόνως μὲν εἰσηγηθεῖσαν κοσμίως δὲ τεθειμένην, ἥτις τὰς υἱοποιΐας τὰς τῶν νόθων ἐκώλυσε, πολὺ τὸ ἄτοπον ἐχούσας καὶ ἀδιακρίτως ὥσπερ ἐπήλυδάς τινας τῇ γνησιότητι τοὺς νόθους ἐπαγούσας.*

η'. Ὑπόλοιποι τοίνυν εἰσὶν οἱ παρ' ἡμῶν ἐξευρεθέντες τρόποι (οὓς διελευσόμεθα) τὸ γνήσιον παρέχοντες τοῖς ἔμπροσθεν νόθοις. ὧν οὐδὲ περὶ τὴν διαδοχὴν πονήσομεν· ἅπαξ γὰρ αὐτοὺς ἀποτελέσαντες γνησίους δίδομεν ἔχειν καὶ τὰς διαδοχὰς ἐκείνας, ἃς οἱ ἐξ ἀρχῆς ἐν γνησίοις τελέσαντες ἔχουσι. εἴ τις τοίνυν προικῷα γράψειε πρὸς ἐλευθέραν τὴν ἀρχὴν ἢ καὶ ἀπελευθέραν γυναῖκα, ᾗπερ ὅλως ἔξεστι συνοικεῖν, ἐν παλλακῆς σχήματι συνοῦσαν αὐτῷ, ἢ νομίμων παίδων ἤδη πατὴρ καθεστὼς ἢ καὶ παίδων οὐ γενόμενος τοιούτων πατὴρ, γνήσιον εἶναι τὸν γάμον καὶ τοὺς παῖδας τούς τε προειληφότας τούς τε κυοφορουμένους γνησίους αὐτῷ καθεστάναι θεσπίζομεν. καὶ κἂν εἰ μὴ γένοιντο μετὰ ταῦτα

20) l. 5. 6. 7 C. de nat. lib. 5, 27. 20a) *ἐφίεμεν?*

παῖδες αὐτῷ ἢ καὶ γενόμενοι τελευτήσαιεν, οὐδὲν ἧττον ἡ προτέρα γονὴ γνησία καθέστηκεν. ἡ γὰρ περὶ τοὺς οὕτω γενομένους παῖδας αὐτῷ διάθεσις, ἥτις αὐτὸν καὶ πρὸς τὸ προικῷον συμβόλαιον ἀνηρέθισεν, αὕτη δέδωκε καὶ τοῖς δευτέροις παισὶν ἀφορμὴν τῆς ὕστερον γνησιότητος· ὥστε ἄτοπον ἦν, τὴν ἀγαθὴν πρόφασιν, ἣν οἱ μετὰ ταῦτα παῖδες ἐξεῦρον ἐκ τῶν προτέρων λαβόντες, ταύτην μὴ καὶ τοῖς ἔμπροσθεν τὸ γνήσιόν τε ἅμα καὶ ἀσυκοφάντητον περὶ τὰς τῶν πατέρων δοῦναι διαδοχάς· πρόδηλον ὄν, ὡς οἱ μὲν νεώτεροι παῖδες ἐκ τοῦ νόμου γεγόνασι γνήσιοι τοῦ τὸ προικῷον αἰσχυνομένου, τὸ δὲ δὴ προικῷον αὐτὸ τὴν ἀρχὴν καὶ τὴν πρόφασιν ἐκ τῆς ἔμπροσθεν ἔσχεν οἰκειότητος. ὥστε μίαν ἀμφοτέρων ἐποιησάμεθα τάξιν, καὶ τὰς ἐφεξῆς συκοφαντίας διὰ πλειόνων ἀνείλομεν διατάξεων[20b]), ἐκεῖνο φήσαντες, ὡς κἂν[21]) εἰ μὴ παιδοποιήσειεν ὕστερον ὁ πατὴρ, προικῷα δὲ ὅμως θοῖτο συμβόλαια, καὶ οὕτως οὐδὲν ἧττον γνησίους ἕξει τοὺς παῖδας. τοῦ γενέσθαι μὲν γὰρ αὐτῷ παῖδας ἑτέρους τύχη τὶς ἴσως τὴν ἐξουσίαν τε καὶ τὴν ἄδειαν εἶχεν, ὥσπερ καὶ γενομένους ἀφελέσθαι, τὴν δὲ τῆς διαθέσεως ἀπόδειξιν τὴν τοῖς ἔμπροσθεν γενομένοις (φαμὲν δὲ πρὸ τῶν προικῴων συμβολαίων) παρασχοῦσαν τὴν εὐγένειαν οὐδὲν ἦν τοιοῦτον, ὅπερ ἂν ἀφελέσθαι παντελῶς ἠδύνατο. [§. 1.] καὶ ἔτι μᾶλλον ἐξ εὐλόγων τοῦτο προστέθειται λογισμῶν, ὡς εἰ πρὸ τῶν προικῴων ἐκυοφορεῖτο μὲν ὁ παῖς, ἐτέχθη δὲ μετὰ τὸ προικῷον, βοηθὸς ἑαυτῷ γίνεται ὅ γε καὶ τοῖς πρὸ αὐτοῦ τοῦτο ποιεῖν δυνάμενος. καί τις ἡμῖν καὶ κανονικὸς ἐξεύρηται λόγος, ἄριστα ὑφηγούμενος τὰ περὶ τῆς τῶν τικτομένων καταστάσεως. στασιαζομένου γὰρ, πότερον δεῖ τῷ τῆς συλλήψεως ἢ τῷ τῆς γεννήσεως προσέχειν καιρῷ, διενομοθετήσαμεν[22]), ὥστε μὴ τὸν καιρὸν τῆς συλλήψεως, ἀλλὰ τὸν τοῦ τοκετοῦ σκοπεῖσθαι διὰ τὸ τῶν παί-

20b) c. XXII. XLIII. XCIV. 21) Ven. οὐκ ἄν. 22) διεθεσμοθετήσαμεν?

δων συμφέρον, ὡς εἴ γε συμβαίη τοιαύτας τινὰς ἐπινοηθῆναι περιπετείας θεμάτων, ἐν οἷς λυσιτελέστερός ἐστιν ὁ τῆς συλλήψεως καιρὸς παρὰ τὸν τοῦ τοκετοῦ χρόνον, ἐκεῖνον κρατεῖν μᾶλλον παρεκελευσάμεθα, ὃς συμφορώτερος[22a]) τῷ τεχθέντι γενήσεται.

θ'. Κἀκεῖνο μέντοι παρ' ἡμῶν νενομοθέτηται, ἵνα εἴ τις βούλοιτο γνησίαν τὴν ἑαυτοῦ καταστῆσαι γονὴν, οὐκ εὐποροίη δὲ γαμετῆς τῆς τῶν τοιούτων παίδων μητρὸς, ἢ τοὺς μὲν παῖδας ὑπεραγαπῶν τὰ δὲ τῆς γυναικὸς οὐκ ἀναμάρτητα πρὸς αὐτὸν εἴη οὐδὲ ἀξίαν αὐτὴν ἡγοῖτο νομίμου τινὸς ὀνόματος, καὶ διὰ τοῦτο τελευτησάσης τῆς γυναικὸς ἤγουν τῆς γαμετῆς ἢ γνησιότητος οὐκ ἀξίας περὶ τὸ συνοικεῖν νομιζομένης, ἢ καὶ τοῦ πράγματος ὑπὸ τῶν παίδων κακουργουμένου καὶ ἐξεπίτηδες τῆς γυναικὸς ἀποκρυπτομένης, ἢ παρὰ τῶν παίδων ἢ ἄλλως ἴσως εὐπορίας αὐτῇ συμβάσης τινὸς, ἵνα μὴ τῇ γνησιότητι τὴν χρῆσιν ὁ πατὴρ καὶ ἐπικαρπίαν προτελευτησάσης τῆς μητρὸς ὡς παρὰ ὑπεξουσίων τῶν παίδων ἔχοι· εἴ τις οὖν παῖδας γνησίους οὐκ ἔχων, νόθους δὲ μόνον, αὐτοὺς μὲν γνησίους ποιήσασθαι βουληθείη, τὴν γυναῖκα δὲ οὐκ ἔχοι παντελῶς, ἢ ἔχοι μὲν οὐ μὴν ἀναμάρτητον ἢ οὐ φαινομένην, ἢ ἄλλως προικῴων συμβολαίων ποιήσεως εὐπορίαν οὐκ ἔχοι (τί γάρ; ὅτι πρὸς ἱερωσύνην ἅτερος αὐτῶν ἀνῆλθεν), δίδομεν αὐτῷ παῤῥησίαν (τοῦτο ὅπερ καὶ[23]) ἔμπροσθεν ἐπράξαμεν) πρὸς γνησιότητα τοὺς παῖδας ἀγαγεῖν τοὺς νόθους, γνησίων καθάπερ ἔφθημεν εἰπόντες οὐκ ὄντων, διά τινος τοιαύτης ὁδοῦ· ὥσπερ γάρ εἰσι τρόποι τοὺς οἰκέτας εἰς ἐλευθερίαν τε ἅμα καὶ εὐγένειαν ἄγοντες καὶ ἀποδιδόντες τῇ φύσει, οὕτως εἴπερ ὁ πατὴρ οὐκ εὐποροίη γνησίας γονῆς, βούλοιτο δὲ αὐτοὺς ἀποκαταστῆναι[24]) τῇ φύσει καὶ τῇ ἄνωθεν εὐγε-

22a) Ven. συμφερ. 23) Ven. verba ὅπερ καὶ non habet. 24) Ven. in contextu ἀποκαταστῆσαι, sed in margine correctum in ἀποκαταστῆναι.

νείᾳ εἴ γε ἐξ ἐλευθέρας αὐτῷ γένοιντο, καὶ γνησίους τὸ λοιπὸν καὶ ὑπεξουσίους ἔχειν, τοῦτο πραττέτω δι' ἡμετέρας ἀντιγραφῆς. οὐδὲ γὰρ δὴ τὴν ἀρχὴν, ὅτε ἡ φύσις τοῖς ἀνθρώποις διεθεσμοθέτει μόνη πρὶν τοὺς γραπτοὺς εἰσφοιτῆσαι νόμους, ἦν τις διαφορὰ νόθου τε καὶ γνησίου, ἀλλὰ τοῖς πρώτοις γονεῦσιν οἱ πρῶτοι παῖδες καθάπερ[25]) ἀρχόμενοι τοῦ παρόντος ἔφαμεν νόμου ἅμα τῇ προόδῳ γεγόνασι γνήσιοι. καὶ ὥσπερ ἐπὶ τῶν ἐλευθέρων ἡ μὲν φύσις πεποίηκεν ἐλευθέρους ἅπαντας, οἱ πόλεμοι δὲ τὴν δουλείαν ἐξεῦρον, οὕτω κἀνταῦθα ἡ μὲν φύσις γνησίας προήγαγε τὰς γονὰς, ἡ δὲ εἰς ἐπιθυμίαν ἐκτροπὴ τὸ νόθον αὐταῖς προσανεμάξατο. ὥστε ὁμοίων τῶν παθῶν γενομένων δεῖ καὶ τὴν θεραπείαν ἐκ τῶν ἴσων ἐξευρεθῆναι, τὴν μὲν παρὰ τῶν πρὸ ἡμῶν τὴν δὲ ὑφ' ἡμῶν. [§. 1.] ἔστω τοίνυν ἄδεια τῷ πατρὶ ἐπὶ τῶν εἰρημένων θεμάτων τὴν μητέρα ἐπὶ τοῦ προτέρου σχήματος καταλιμπάνοντι δέησιν ἐπιδοῦναι τῇ βασιλείᾳ τοῦτο λέγουσαν, ὡς βούλεται τοὺς νόθους αὐτοῦ παῖδας ἀποκατασтῆναι τῇ φύσει καὶ τῇ ἄνωθεν εὐγενείᾳ τε καὶ γνησιότητι, ὥστε ὑπεξουσίους αὐτῷ καθεστάναι μηδὲν τῶν νομίμων παίδων διαλλάττοντας, καὶ τούτου γινομένου τὸ ἐντεῦθεν τοὺς παῖδας ἀπολαύειν τῆς τοιαύτης βοηθείας. ἑνὶ γὰρ δὴ τούτῳ τῷ τρόπῳ πάσας τὰς τοιαύτας τῆς φύσεως ἐκβάσεις τε καὶ ἐπινοίας ἐπὶ τῶν νομίμους οὐκ ἐχόντων παῖδας θεραπεύσομεν, οὕτω συντόμῳ συμμαχίᾳ τοσαύτην ὁρμὴν ἐπανορθούμενοι φύσεως.

ι'. Εἰ μέντοιγε ὁ μόνων φυσικῶν παίδων πατὴρ διά τινας τυχηρὰς περιστάσεις οὐκ ἰσχύσειε τοῦτο πρᾶξαι, τελευτῶν δὲ ἐπί τινος τῶν ἔμπροσθεν εἰρημένων θεμάτων γράψειε διαθήκην, βουλόμενος οὕτως γνησίους εἶναι τοὺς παῖδας διαδόχους, καὶ τούτου δίδομεν αὐτῷ παῤῥησίαν· δεομένων μέντοι καὶ οὕτω τῶν παίδων μετὰ τελευτὴν τοῦ πατρὸς καὶ

25) Deest in Ven.

τοῦτο διδασκόντων, καὶ δεικνυόντων τὰς τοῦ πατρὸς διαθήκας, καὶ κληρονομούντων κατὰ τὸν νόμον· καὶ τοῦτο δῶρον ἐχέτωσαν πατρός τε καὶ βασιλείας, ταὐτὸν δέ ἐστιν εἰπεῖν φύσεώς τε καὶ νόμου.

ια΄. Καθόλου δὲ ἐφ᾽ ἁπάντων τῶν διὰ τῶν ἔμπροσθεν εἰρημένων τρόπων ἀγομένων εἰς γνησιότητα τότε ταῦτα κρατεῖν βουλόμεθα, ἡνίκα καὶ οἱ παῖδες τούτοις στέργοιεν. εἰ γὰρ λύειν τὰς ὑπεξουσιότητας ἀκόντων τῶν παίδων οὐκ ἐφειμένον ἐστὶ τοῖς πατράσι, πολλῷ μᾶλλον τὸ εἰς ὑπεξουσιότητα φέρειν ἄκοντα τὸν παῖδα καὶ μὴ βουλόμενον, εἴτε διὰ τῆς εἰς βουλὴν ἐπιδόσεως εἴτε διὰ τῆς τῶν προικῴων συμβολαίων ποιήσεως εἴτε δι᾽ ἑτέρας οἱασδήποτε μηχανῆς, ἴσως καὶ τύχην δεδιότα πατρῴαν, οὐ δίκαιον οὐδὲ βασιλείας τε καὶ νομοθεσίας τίθεμεν ἴδιον. [§. 1.] εἰ δὲ πλειόνων ὄντων τῶν παίδων οἱ μὲν ἕλοιντο οἱ δὲ παραιτήσοιντο, τοὺς ἑλομένους γίνεσθαι γνησίους τῶν ἄλλων ἐν τῇ νοθείᾳ μενόντων. καὶ ταῦτά φαμεν οὐδένα τῶν ἔμπροσθεν νομίμων ἀναιροῦντες τρόπων, ἀλλὰ καὶ τοῦτον προστιθέντες τοῖς ἄλλοις ἐφ᾽ ὧν ἐκείνους λαβεῖν οὐκ ἔστιν. ὅλως γὰρ γνησίων ὑπόντων, εἶτα νόθων ἐπιγενομένων ἢ προγενομένων, οὐκ ἂν ἡ γνησιότης αὐτοῖς προστεθείη, πλὴν εἰ[26]) μὴ πάντως ἢ διὰ τῆς βουλῆς ἢ διὰ τῶν ἡμετέρων διατάξεων, αἵπερ τὸν τῶν προικῴων συμβολαίων εἰσηγήσαντο τρόπον. [§. 2.] τὸν δὲ τῆς υἱοθεσίας τρόπον, ὃν ἦν πάλαι τισὶ τῶν πρὸ ἡμῶν αὐτοκρατόρων ἐπὶ τῶν νόθων νομισθεὶς οὐκ ἀδόκιμος, ἄτοπον εὑρόντες κατὰ τὴν τῆς πατρῴας διατάξεως δύναμιν καὶ ἡμεῖς καθὰ εἴρηται ἐκβάλλομεν, ἐπειδὴ σωφροσύνης ἀκριβῶς[27]) ἐστόχασται, καὶ οὐκ ἂν εἴη πρέπον τὰ καλῶς ἐκβεβλημένα πάλιν εἰς πολιτείαν κατάγειν. ὥστε τούτων ἡμῖν νομοθετηθέντων καὶ φανερῶν γενομένων ὃν

26) Ven. πλὴν εἰ omittit, sed addit Hal. 27) Hal. οὐκ ἀκριβῶς. sed cf. c. XCIV cap. 3.

προσήκει τρόπον εἰς πολιτείαν[27a]) τε καὶ γνησιότητα μεταχωρεῖν, οὐδὲν εὕρομεν περὶ τῆς διαδοχῆς τῆς ἐπὶ τῶν τοιούτων λεκτέον· ὡς γὰρ ἐπὶ τῶν λοιπῶν τῶν ἄνωθεν γνησίων δεῖ καὶ τὰς ἐπ' αὐτοῖς γίνεσθαι διαδοχάς.

ιβ'. Διακεκριμένων τοίνυν τῶν τε γενομένων γνησίων τῶν τε μεινάντων νόθων, τακτέον ἤδη καὶ τὰ περὶ τῶν κατ' αὐτοὺς διαδοχῶν. Βάλεντι μὲν οὖν καὶ Βαλεντινιανῷ καὶ Γρατιανῷ[28]) τοῖς τῆς θείας λήξεως πρώτοις ἐπῆλθε φιλανθρωπεύσασθαί τι πρὸς τοὺς νόθους· καὶ εἰ μὲν εἴη τῷ τῶν νόθων πατρὶ γνησία γονὴ, μόνης οὐγκίας αὐτοὺς ἠξίωσαν, καὶ ταύτης μετὰ τῆς ἑαυτῶν μητρὸς, οὐδὲ δωρεῖσθαι οὐδὲ ἐκ τελευταίας διδόναι βουλήσεως περαιτέρω τὶ συγχωροῦντες· εἰ μέντοι παῖδες μὲν οὐκ εἶεν νόθοι, παλλακὴ δὲ καὶ μόνη (δηλαδὴ τοῖς οὐκ ἔχουσι γνησίαν γαμετὴν, τούτοις γὰρ δὴ καὶ μόνοις παλλακὴν ἔχειν ἐπιτέτραπται), τὸ ἡμιούγκιον μόνον χαριζόμενοι· εἰ μέντοι παίδων γνησίων οὐκ εἶεν γονεῖς, ἀλλ' οὐδὲ πατέρα ἢ μητέρα ἔχοιεν, μέχρι τριουγκίου καταλιμπάνειν αὐτοῖς ἢ δωρεῖσθαι συνεχωρήθη[29]), καὶ τούτοις[30]) μετὰ τῆς μητρὸς, καὶ εἰ καθ' οἱονδήποτε τρόπον λάβοιέν τι, εἰς τοῦτο συναιρεῖσθαι, καὶ μόνον τοῦ πλείονος ἐπὶ τοὺς ἐκ τοῦ νόμου καλουμένους ἰόντος, τοῦτο ὅπερ καὶ οἱ Θεοδοσίου τοῦ πρεσβυτέρου παῖδες εἰ καὶ οὐ τελείως ἐνομοθέτησαν. [§. 1.] ἡμεῖς τοίνυν εἰ καὶ πρῴην φιλανθρώπῳ χρησάμενοι νόμῳ[31]) ἀντὶ τοῦ τριουγκίου τὸ ἑξαούγκιον αὐτοῖς παίδων γνησίων οὐχ ὑπόντων κατὰ τὴν τῶν πατέρων φιλοτιμίαν δεδώκαμεν, ἀλλα νῦν ἐκ τῶν ἐφεξῆς συμβεβηκότων τὰ πράγματα τελειότερόν τε ἅμα καὶ φιλανθρωπότερον σκεπτόμενοι τὸν παρόντα τίθεμεν νόμον. πολλὰ γοῦν τοιαῦτα καὶ πρότερον ἁμαρτηθέντα καὶ ἐπὶ τῶν ἡμετέ-

27a) Auth.: civitatem Romanam. 28) Ven. Τραϊανῷ. sed cf. l. 4 C. Theod. de nat. fil. 4, 6. 29) Hal. (cum Auth.) συνεχωρήθησαν. quod forsan praestat. 30) Hal. τοῦτο. forte τούτου, ut supra καὶ ταύτης μετὰ τῆς μητρός. 31) l. 8 C. de nat. lib. 5, 27.

ρων καιρῶν πλημμελούμενα διορθώσεως ἀξιοῦμεν, καὶ ἀσεβείας ἀνθρώπους ἀπαλλάττομεν. τινὲς γὰρ οὐκ ἔχοντες ἄδειαν ὅσον βούλονται τοῖς ἑαυτῶν φυσικοῖς καταλιμπάνειν παισὶν, ἐπιλέγονται δῆθεν ἄνδρας καὶ γράφουσι κληρονόμους, ἐφ' ᾧ τε[32]) *ἀποκαταστῆσαι τοῖς παισὶν, οἱ δὲ ἢ*[33]) *αὐτόθεν ἀσεβοῦσι καὶ παραβαίνουσι τὰ βεβουλευμένα τοῖς γράψασιν, ἢ τὸ γοῦν πάντων ἐλαφρότατον ἐπιορκοῦσι· καὶ σιγῶμεν τὰ παραδεδομένα παρὰ τῆς μνήμης ἡμῖν*[34]) *ἐπὶ προσώπων ἐνδόξων ἁμαρτόντων ἐν τοῖς ἔμπροσθεν χρόνοις τοιαῦτα.* [§. 2.] *ἵνα μὴ τοίνυν μέχρι παντὸς τοιοῦτο γενέσθαι πλημμέλημα συγχωροῦμεν, μηδὲ ὃ πράττειν ἔξεστιν ἐπὶ ξένοις καὶ μηδαμόθεν γνωρίμοις τοῦτο ἐπὶ τῶν ἑαυτῶν φυσικῶν παίδων τοὺς ἀνθρώπους πράττειν κωλύομεν, διὰ τοῦτο θεσπίζομεν τῷ παρόντι νόμῳ, ὥστε εἰ μέν τις ἔχοι παῖδας νομίμους, μὴ δύνασθαι τοῖς παισὶ καὶ τῇ τούτων μητρὶ*[35]) *περαιτέρω μιᾶς καταλιμπάνειν οὐγκίας ἢ δωρεῖσθαι τοῖς φυσικοῖς παισὶν ἢ τῇ παλλακῇ· τοῦτο γὰρ κύριον τῆς ἔμπροσθεν ἡγούμεθα διατάξεως· ἀλλὰ καὶ εἴ τι πλέον ἐπιχειρήσειε δοῦναι καθ' οἱονδήποτε τρόπον, τοῦτο τῶν παίδων γίνεσθαι τῶν γνησίων· κἂν εἰ*[36]) *παῖδες δὲ οὐκ εἶεν, παλλακὴ δὲ μόνη, ταύτῃ τὸ ἡμιούγκιον καταλιμπάνεσθαι ἢ δωρεῖσθαι συγχωροῦμεν.* [§. 3.] *εἰ μέντοι παῖδας οὐκ ἔχοι γνησίους ἤ τινα τῶν ἀνιόντων, οἷς ἀνάγκη νόμου καταλιμπάνειν μέρος τῆς οἰκείας περιουσίας προσήκει τοὺς διατιθεμένους, ἄδεια ἔστω καὶ εἰς τὰς δώδεκα οὐγκίας γράφειν τοὺς φυσικοὺς παῖδας κληρονόμους, καὶ διαιρεῖν εἰς αὐτοὺς καθ' ὃν ἂν βούλωνται τρόπον τὰ πράγματα, καὶ ἢ κατὰ*

32) Hoc *τε*, quum non sequatur *καὶ* quod ei respondeat, suspicionem lacunae movet. nisi forte *τοῦτο* (scil. *ὅσον βούλονται*) pro *τε* legendum sit. 33) Ven. *οἱ δὲ οἱ.* Hal. *ἢ* omittit. 34) Hal. *ἡμῖν* non habet. Hombergk suspicatur legendum *τὰ παραδεδομένα παρὰ τῆς . . . . τῆς ἐνδόξου* (vel simile quid) *μνήμης.* 35) Haec verba *τοῖς παισὶ καὶ τῇ τούτων μητρὶ* vix recte habent. 36) Ven. *οἱ.*

δωρεὰς ἁπλὰς ἢ προγαμιαίας ἢ κατὰ προῖκας ἢ καθ᾽ ἕτερον οἱονδήποτε τρόπον νόμιμον τὰς ἑαυτῶν εἰς ἐκείνους μετάγειν οὐσίας. οὕτω γὰρ οὐκέτι δεήσονταί τινων πρὸς ἀσέβειαν ἢ πρὸς ἐπιορκίαν ἑτοίμων, ἀλλ᾽ αὐτόθεν τὴν ἑαυτῶν καθαρῶς διαθήσουσι γνώμην. εἰ δὲ ἔχοιέν τινας τῶν ἀνιόντων, τὴν νόμιμον καταλιμπανέτωσαν αὐτοῖς μοῖραν, ἣν ὁ νόμος καὶ ἡμεῖς ἐτάξαμεν, τὸ δὲ λοιπὸν ἅπαν εἰς τοὺς φυσικοὺς παῖδας ἄδειαν ἐχέτωσαν παραπέμπειν. καὶ ταῦτά φαμεν ἐπὶ τῶν ἐγγράφοις ἢ νομίμοις βουλήσεσιν ἀποτιθεμένων τὴν ἑαυτῶν γνώμην. [§. 4.][37]) εἰ μέντοι τελευτήσειέ τις γνησίας αὐτῷ παντελῶς γονῆς οὐχ ὑπούσης (παίδων φαμὲν ἢ ἐγγόνων ἢ τῆς ἐφεξῆς διαδοχῆς) οὐδὲ νομίμου γαμετῆς, εἶτα τελευτήσοι μὴ διαθέμενος τὴν οὐσίαν, καὶ ἀφίκοιτο συγγένεια τυχὸν ἢ καὶ ἐλευθερωτὴς ἴσως τὴν διακατοχὴν κατασείων τε καὶ ἐπανατεινόμενος, ἢ καὶ τὸ ἡμέτερον ταμιεῖον (οὐδὲ γὰρ ἐκείνου τό γε ἐπὶ τούτῳ φειδόμεθα), εἴη δὲ αὐτῷ κατὰ τὸν οἶκον ἕως περιῆν ἐλευθέρα τε γυνὴ ἐν παλλακῆς σχήματι συνοῦσα καὶ παῖδες ἐξ αὐτῆς (τοῖς γὰρ τοιούτοις μόνοις ταῦτα νομοθετοῦμεν, ἔνθα παντελῶς ἀναμφισβήτητός ἐστιν ἥ τε τῆς παλλακῆς κατὰ τὸν οἶκον σχέσις ἥ τε τῶν παίδων ἐκεῖσε γονὴ καὶ τροφή), δίδομεν αὐτοῖς καὶ ἀδιαθέτων τῶν γονέων τελευτώντων δύο τῆς πατρῴας οὐσίας ἔχειν οὐγκίας ἅμα τῇ μητρὶ μεριζομένας, ὅσοιπερ ἂν εἶεν οἱ παῖδες, ὥστε ἑνὸς παιδὸς ἀναλογίαν καὶ τὴν μητέρα λαμβάνειν. καὶ ταῦτά φαμεν, εἰ μιᾷ παλλακῇ συνοικοίη καὶ παῖδας ἐξ ἐκείνης ἔχοι, ἢ καὶ προαπελθούσης τῆς παλλακῆς θανάτῳ τυχὸν ἢ χωρισμῷ οἱ παῖδες αὐτῷ κατὰ τὴν οἰκίαν εἶεν. τότε γὰρ δίδομεν αὐτοῖς τὴν ἐξ ἀδιαθέτου πρὸς τὸ διούγκιον κλῆσιν. [§. 5.] εἰ δὲ ἐκκεχυμένα τὰ τῆς ἐπιθυμίας αὐτῷ γένοιτο καὶ ἄλλας ἐπ᾽ ἄλλαις ἐπει-

37) Haec § et pars sequentis repetita est ex const. XLII c. 5.

σαγάγοι τῇ προτέρᾳ παλλακὰς καὶ πλῆθος ἔχοι γυναικῶν πορνευομένων (οὕτω γὰρ εἰπεῖν κάλλιον), καὶ ἐξ αὐτῶν παιδοποιούμενος τελευτήσειε πολλὰς ὁμοῦ καταλιπὼν παλλακάς, μισητὸς μὲν ὁ τοιοῦτος, πόῤῥω δὲ τοῦ νόμου καθάπαξ μετὰ τῶν τοιούτων παίδων καὶ παλλακῶν ἀπελαυνέσθω. ὥσπερ γὰρ εἴ τις νομίμῳ συνοικοίη γυναικὶ, ἄλλας ἐπεισάγειν οὐκ ἂν δύναιτο τοῦ συνοικεσίου συνεστῶτος καὶ ἐξ αὐτῶν νομίμως παιδοποιεῖσθαι, οὕτως οὐδὲ μετὰ τὴν γνωριζομένην καθ' ὃν εἰρήκαμεν τρόπον παλλακὴν καὶ τοὺς ἐξ ἐκείνης παῖδας δώσομεν εἰ καί τι πάρεργον ἡδονῆς ἄλλο ποιήσαιτο, καὶ τοῦτο εἰς τὴν διαδοχὴν εἰσάγεσθαι τὴν αὐτοῦ, εἴ γε τελευτήσειεν ἀδιάθετος. εἰ γὰρ μὴ τοῦτο νομοθετήσαιμεν, ἀδιάκριτα μὲν ἔσται τὰ τῶν γυναικῶν, τίνος μᾶλλον ἢ τίνος[38]) ἔλαττον ἐρᾷ, ἀδιάκριτα δὲ τὰ τῶν παίδων· καὶ ἡμεῖς οὐ δίδομεν τοῖς ἀσελγαίνουσιν, ἀλλὰ τοῖς σωφρονοῦσι τὸν νόμον. οὐ διαφερόμεθα δὲ περὶ τῶν παίδων· εἴτε ἄῤῥενες εἴτε θήλειαι καθεστήκοιεν. ὥσπερ γὰρ ἡ φύσις οὐδὲν[39]) περὶ τὰ τοιαῦτα τεχνολογεῖ, οὕτως οὐδὲ ἡμεῖς ἄλλον ἐπ' ἀῤῥένων καὶ ἄλλον ἐπὶ θηλειῶν κατὰ τοῦτο τίθεμεν νόμον. [§. 6.] εἰ μέντοι (δεῖ γὰρ διὰ πάσης ὁδοῦ ἀκριβείας τε ὁμοῦ καὶ εὐσεβείας ἐλθεῖν) ἔχων τὶς παῖδας γνησίους καταλίποι καὶ νόθους, ἐξ ἀδιαθέτου μὲν οὐδὲν αὐτοῖς ὑπάρχειν παντελῶς βουλόμεθα, ἀποτρέφεσθαι δὲ τοὺς νόθους παρὰ τῶν γνησίων θεσπίζομεν κατὰ τὸ πρέπον τε καὶ πρὸς τὸ τῆς οὐσίας μέτρον παρὰ ἀνδρὸς ἀγαθοῦ δοκιμαζόμενον, τοῦτο δὴ τὸ παρὰ τοῖς ἡμετέροις νόμοις boni viri arbitratu λεγόμενον. ταὐτοῦ τούτου φυλαττομένου, κἂν εἰ γαμετὴν μὲν ἔχοι, παῖδας δὲ νόθους ἐκ τῆς προτελευτησάσης παλλακῆς αὐτῷ γενομένους, ὥστε κἀκείνους ἀποτρέφεσθαι παρὰ τῶν αὐτοῦ διαδόχων. περὶ γὰρ ἐκγόνων

38) Ita Hal. Ven. prius *τίνος* omittit et scribit *μᾶλλον ἥστινος ἔλ.* forte *ἢ μᾶλλον ἥστινος*, licet Auth. cum Hal. faciat.
39) Ven. *οὐδὲν* omittit. supplevi ex Hal. et Auth.

νόθων τὰ ἤδη παρ' ἡμῶν ῥητῶς περὶ αὐτῶν διατεταγμένα κρατείτω.

ιγ'. Ἐφ' ὧν δὲ θεμάτων τοὺς νόθους παῖδας ἐκαλέσαμεν εἰς τὴν διαδοχὴν, ἐπὶ τούτων καὶ αὐτοὶ τὴν πρέπουσαν τοῖς φυσικοῖς πατράσιν εὐγνωμοσύνην τηρείτωσαν· καὶ αὐτῷ τῷ μέτρῳ, ᾧπερ οἱ γονεῖς προνοοῦσι τῶν φυσικῶν παίδων κατὰ τὸν ἡμέτερον νόμον, καὶ αὐτοὶ τοὺς γονεῖς ἀμειβέσθωσαν εἴτε εἰς τὰς διαδοχὰς εἴτε εἰς τὰς ἀποτροφας, καθάπερ ἐπὶ αὐτῶν νενομοθετήκαμεν.

ιδ'. Ἐπειδὴ δὲ καὶ ἔμπροσθεν ἔν τισι τῶν διατάξεων[40]) εἴρηται δεῖν εἰς ἅπερ οἱ πατέρες δωροῦνται τοῖς παισὶν ἢ καταλιμπάνουσιν, εἰς ταῦτα καὶ κηδεμόνας αὐτοῖς παρέχειν confirmatευομένους μέντοι, τοῦτο κύριον εἶναι καὶ νῦν τίθεμεν, διδόντες καὶ τῇ μητρὶ κατὰ τὸ ἤδη περὶ τούτων διατεταγμένον[41]) καὶ τῶν φυσικῶν ἐπιτροπεύειν παίδων, πάντα πραττούσῃ ὅσα ἐπὶ γνησίων ὥρισται παίδων.

ιε'. Τελευταῖον δὲ ἡμᾶς τοῦ νόμου μέρος ἐνδέχεται, ὥστε καὶ αὐτὸ τὴν προσήκουσαν τάξιν λαχεῖν, καὶ ἐξαριθμήσασθαι τίνες οὐδὲ αὐτοῦ τοῦ τῶν νόθων ἄξιοι καθεστᾶσιν ὀνόματος. πρότερον μὲν γὰρ πᾶς ὁ ἐκ συνελεύσεων (οὐ γὰρ καλέσομεν γάμων) ἢ νεφαρίων ἢ ἰνκέστων ἢ δαμνάτων προελθὼν οὗτος οὐδὲ φυσικὸς ὀνομασθήσεται, οὐδὲ ἀποτραφήσεται παρὰ τῶν γονέων οὐδὲ ἕξει τινὰ πρὸς τὸν παρόντα νόμον μετουσίαν. ὥστε εἰ καὶ Κωνσταντίνῳ τῷ τῆς εὐσεβοῦς λήξεως ἐν τῇ πρὸς Γρηγόριον γραφείσῃ διατάξει[42]) τινὰ περὶ τοιούτων εἴρηται παίδων, ταῦτα οὐ προσιέμεθα, ἐπειδὴ καὶ διὰ τῆς ἀχρησίας ἀνῄρηται· φοινικαρχῶν γὰρ καὶ συριαρχῶν καὶ στρατηγῶν καὶ διασημοτάτων μέμνηται καὶ λαμπροτάτων, καὶ οὐδὲ φυσικοὺς εἶναι βούλεται τοὺς ἐξ αὐτῶν προελθόντας, κωλύων αὐτοῖς καὶ τὴν ἐκ βασιλικῆς φιλοτιμίας εὐημερίαν· ἣν δὴ διάταξιν καὶ

40) l. 4 C. 5, 29. 41) l. 3 C. 5, 35. 42) l. 1 C. 5, 27.

παντελῶς ἀναιροῦμεν. [§. 1.] *ταῦτα ἡμῖν νενομοθετήσθω, καὶ οὐδενὶ παντελῶς ἄγνοια τῶν ἡμετέρων ἔσται νόμων, οὐδὲ τίνες μὲν εὐγενεῖς τίνες δὲ νόθοι, οὐδὲ ὅπως αὐτοῖς τὰ περὶ τῆς γνησιότητος δίδοται, ἢ ὅπως καὶ νόθοι μένοντες ἀξιοῦνται φιλανθρωπίας, καὶ ὅπως καὶ αὐτοὶ προσηκόντως τετίμηνται, τῆς πρὸς τοὺς οὐδὲ νόθους ἠξιωμένους εἶναι κοινωνίας ἀποχωρισθέντες.*

Τὰ παραστάντα τοίνυν ἡμῖν καὶ εἰς ἀνθρώπων θεραπείαν καὶ τῆς φύσεως ἀναπλήρωσιν διὰ τοῦδε τοῦ νόμου διορισθέντα ἡ σὴ ὑπεροχὴ φανερὰ πᾶσι ποιησάτω, προγραμμάτων τιθεμένων δι᾽ ὧν ἅπασιν ὁ νόμος ἔσται σαφής, γινώσκουσι καθ᾽ ὃν περὶ τῶν τοιούτων πολιτεύσονται τρόπον, καὶ τὴν ἡμετέραν ἐννοοῦσι πρόνοιαν, ὅτι πάσης ἀσχολίας ἑτέρας τὴν αὐτῶν[43]) *ὠφέλειαν προτίθεμεν.*[44]) Dat. Kal. Sept. Constantinop. imp. DN. Iustiniani PP. A. ann. XIII. Apione V. C. Cons.

Nov. 90. **CXII.** Auth. 90.

Particulae in Proch. XXVII, 18 et Epanag. XII, 22. 29. 31. 33, integra (absque tamen prooemio et epilogo) in Basil. XXI, 1, 46. — De alia versione antiqua, praeter eam quae in Auth. extat, videatur Heimbach ad Auth. p. CCCCXXVII. — Summae: Iulian. c. 83, Athan. V, 5, Theod. Nov. 90, Philoxeni in Heimb. *Ἀνεκδ.* I p. 260, denique Epitomae incertae in *Ἀνεκδ.* meis p. 214.

Imp. Iustinianus A. *Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.*

Ἡ τῶν μαρτύρων πρὸς τὰς ἀποδείξεις χρεία ἐξεύρηται μὲν πάλαι διὰ τὸ μὴ λανθάνειν τὶ ῥᾳδίως τῶν πραττομένων,

43) Ven. *ἑαυτῶν.* 44) Subscriptio deest in Ven. Athan.: *ἐγράφη καλ. σεπτ. βασιλείας ἰουστινιανοῦ τὸ ιγ´* . . . Theod.: *ἐξεφωνήθη μηνὶ σεπτεμβρίῳ ἔτει τῆς βασιλείας ιγ´ ὑπατείᾳ ἀπίωνος.* quibuscum facit etiam Auth.

πονηρίας δὲ πολλῆς ταῖς ἀνθρωπίναις ἐπιγενομένης ψυχαῖς κινδυνεύει[1]) μετελθεῖν εἰς τοὐναντίον ἡ τοῦ πράγματος τάξις. οὐ γὰρ ὅπως ἂν φανείη τὰ πεπραγμένα μαρτυροῦσιν οἱ πολλοὶ, ἀλλ᾽ ὅπως ἂν ἔτι μᾶλλον κατακρυβείη. οἱ γὰρ ἕτερα μὲν εἰδότες ἕτερα δὲ ἀπαγγέλλοντες ἢ ἅπερ οὐκ ἴσασι λέγοντες αὐτόθεν ὁμολογοῦσιν, ὡς τὰ ταῖς ἀληθείαις γενόμενα οὐδὲ βούλονται γίνεσθαι φανερὰ οὐδὲ κατ᾽ αὐτὰ προϊέναι τὰς κρίσεις, ἀλλὰ τὰ μηδαμοῦ γενόμενα ταῦτα καὶ ἀπαγγέλλουσι καὶ εἰς κρίσιν ἀχθῆναι ζητοῦσιν. τὸ μὲν οὖν καθάπαξ ἀνελεῖν τὰς μαρτυρίας τῇ τῶν πραγμάτων χρήσει σφαλερὸν, πολλῶν ὄντων ἅπερ οὐκ ἂν ἄλλως καταφανῆ γένοιτο μὴ μαρτύρων ταῦτα διαγγελλόντων, τὸ δὲ ἐφεῖναι πᾶσι καὶ τοῖς σφόδρα εὐτελεστάτοις μαρτυρεῖν καὶ οἱ πρὸ ἡμῶν ἐκώλυσαν νομοθέται. τοιγαροῦν καὶ πολλὰς ἐξαιρέσεις ποιοῦνται, πολλοὺς ἀπελαύνοντες καὶ αὐτοῦ τοῦ τῶν μαρτύρων ὀνόματός τε καὶ σχήματος. ἐπειδὴ δὲ οὐδὲ μετὰ ταύτας τὰς κωλύσεις ἔτι καθαρὸν τὸ τῶν μαρτύρων ἐστὶν, ᾠήθημεν χρῆναι καὶ ἡμεῖς προσθεῖναί τι τῇ τοῦ πράγματος ἀκριβείᾳ καὶ τὰς ψευδομαρτυρίας καθ᾽ ὅσον οἷόν τέ ἐστιν ἐλαττῶσαι. τοιοῦτο γάρ τι καὶ νῦν ὑπὸ τῷ λαμπροτάτῳ τῆς Βιθυνῶν ἐπαρχίας ἄρχοντι πραχθὲν εὕρομεν ἐπὶ διαθήκῃ δειχθείσης μαρτύρων παραποιήσεως δεινῆς, σαφῶς διελεγχθέντων τε καὶ τὰ τελευταῖα συνομολογησάντων, ὅτι τῆς διαθήκης ἔτι γινομένης ἐτελεύτησεν ἡ διατιθεμένη, τῶν δὲ μαρτύρων τινὲς ἐπιλαβόμενοι νεκρᾶς ἤδη τῆς χειρὸς οὕτω κατὰ τοῦ χάρτου τήν τε εὐθεῖαν τήν τε πλαγίαν εἵλκυσαν, καὶ τὸ σύμβολον τοῦ τιμίου σταυροῦ δοκεῖν γεγραφέναι τὴν τελευτήσασαν παρεσκεύασαν. ἡμεῖς τοίνυν εἰς ταῦτα ὁρῶντες τὰ μὲν περὶ τοῦ τρόπου τῶν μαρτύρων, τὰ δὲ περὶ τῆς αὐτῶν καταστάσεως ᾠήθημεν χρῆναι διορίσασθαι. τὰ μὲν οὖν εἰρημένα τοῖς πάλαι νομοθέταις ἐπὶ

1) Ven. κινδυνεύειν. Hal. κινδυνεύσει.

κωλύσει τούτων, οὓς ἐξείργουσι μαρτυρίας, πάντα κύρια τίθεμεν·

α'. θεσπίζομεν δὲ, καὶ μάλιστα ἐπὶ τῆς μεγάλης ταύτης καὶ εὐδαίμονος πόλεως, ἔνθα πλείστη καθέστηκε (θεὸς δὲ ἡγείσθω τοῦ λόγου) καλῶν[2]) καὶ ἀγαθῶν ἀνδρῶν εὐπορία, εὐϋπολήπτούς δεῖν εἶναι τοὺς μάρτυρας, καὶ ἢ κρείττους τῆς[3]) τοιαύτης διαβολῆς διὰ τὸ τῆς ἀξίας ἢ στρατείας ἢ εὐπορίας ἢ ἐπιτηδεύσεως ἀναμφισβήτητον· ἢ εἴπερ οὐ τοιοῦτοι καθεστᾶσιν, ὑφ' ἑτέρων γοῦν ὅτι καθεστᾶσιν ἀξιόπιστοι μαρτυρούμενοι· καὶ μή τινας ἐπιδιφρίους μηδὲ χαμερπεῖς μηδὲ παντοίως ἀσήμους ἐπὶ μαρτυρίαν ἰέναι, ἀλλ' ὥστε εἴπερ ἀμφισβητηθείη τὰ κατ' αὐτοὺς, δύνασθαι ῥᾳδίως ἀποδεικνύναι τὸν[4]) τῶν μαρτυρησάντων βίον, ὡς ἄμεμπτός τε καὶ ἐπιεικὴς εἴη. [§. 1.] εἰ δὲ ἄγνωστοί τινες εἶεν καὶ πανταχόθεν ἀφανεῖς καί τι φανεῖεν ὅλως περὶ τὴν μαρτυρίαν τῶν ἀληθῶν διαφθεῖραι σπεύδοντες, δύνασθαι καὶ βασάνοις αὐτοὺς ὑποκεῖσθαι· καὶ τοὺς δικαστὰς, εἰ μὲν ἄρχοντες εἶεν, αὐτοὺς τοῦτο πράττειν, εἰ δὲ ἕτεροι παρὰ τοὺς τὰς ἀρχὰς ἔχοντας, ἐνταῦθα μὲν[5]) παραλαμβάνειν τὸν ὑπουργοῦντα τῷ μεγαλοπρεπεστάτῳ πραίτωρι τῶν δήμων, κατὰ χώραν δὲ τὸν τῶν τόπων ἔκδικον, καὶ δι' αὐτῶν προσάγειν αὐτοῖς τὴν ἐκ τῶν βασάνων πεῖραν, ὅπως ἂν ταύτῃ γοῦν μηδὲν κατακρύψαιεν τῶν ἀληθῶν, ἢ καὶ ἁλοῖεν διὰ ταύτης τῆς ὁδοῦ χρημάτων τὴν μαρτυρίαν ποιούμενοι ἢ καὶ ἄλλως περὶ αὐτὴν κακουργοῦντες.

β'. Εἰ δὲ καὶ ἤδη μηδεμίαν ἐπὶ χρέεσιν ἐγγράφοις ἀγράφων καταβολῶν ἀπόδειξιν διὰ μαρτύρων δέχεσθαι νενομοθετήκαμεν, πλὴν εἰ μὴ κατὰ τὴν ἐκεῖσε ῥηθεῖσαν παρατήρησιν ἣν δὴ καὶ κρατεῖν βουλόμεθα, ἀλλ' οὖν καὶ νῦν τοῦτο ἀνανεούμεθα. εἰ γὰρ ἔγγραφον εἴη τὸ χρέος, καὶ

2) Ven. πολλῶν. 3) Articulum Hal. rectius omittit. 4) Articulus deest in Ven. 5) Ven. μή.

ἀγράφου καταβολῆς προτείνοιτο παρὰ τῶν δικαζομένων ἡ διὰ τῶν μαρτύρων ἀπόδειξις, τότε δεκτὴν αὐτὴν παρὰ δικασταῖς εἶναι, ἡνίκα ἐπ' αὐτῷ τούτῳ παραλαμβάνοιντο μάρτυρες, ἐφ' ᾧ τῇ γενησομένῃ καταβολῇ ἢ τῇ μνήμῃ τοῦ γεγενῆσθαί τινα καταβολὴν ἤδη καὶ τοῦτο ὁμολογεῖσθαι παρὰ τοῦ τὰ χρήματα λαβόντος μαρτυρήσαιεν[6]) ἄνδρες ἀξιόπιστοι καθεστῶτες, ἢ καὶ ἐν ἐκμαρτυρίοις ἴσως ποιήσαιεν φανερόν. τὰς δὲ ματαίας ταύτας καὶ ἐκ τοῦ παρήκοντος γινομένας μαρτυρίας μηδενὶ παντάπασι λόγῳ κρατεῖν, καὶ τοιαύτας τινὰς ἀναπλάττειν μαρτυρίας, ὡς δι' ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσοι τοῦδε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον, ἢ ὀφείλειν τῷδε. αὗται γὰρ σαφῶς ἡμῖν ὕποπτοι καθεστᾶσι καὶ οὐδενὸς ἄξιαι λόγου, ὁπότε καί τι τοιοῦτον ἐν τῷ δικάζειν εὕρομεν, ὡς, καίτοι πολλῶν χρημάτων λεγομένων καταβεβλῆσθαι, ταβουλάριοι δύο μόνοι τοῦτο ἔφασαν ἀκηκοέναι, μάρτυρος παρόντος οὐδενὸς, καίτοι τοῦ χρέους ἐγγράφου τυγχάνοντος, καὶ τοῦ κατατιθεμένου δῆθεν γράφειν ἐπισταμένου καὶ δυναμένου δι' οἰκείων γραμμάτων ταῦτα φανερὰ καταστῆσαι· ὅπερ ἐξ ἐκείνου μισήσαντες ἀφορμὴν τοῦ παρόντος εἰλήφαμεν νόμου. καὶ αὖθις παρήχθη τὶς ἕτερος τὸ εἶδος ἐοικὼς τῷ συκοφαντουμένῳ, καὶ ἐπὶ μαρτύρων δῆθεν καὶ ἐπὶ ταβουλαρίων κατετίθετο καθ' ἑαυτοῦ χρέα· καὶ ὁ μὲν μισθοῦ τοῦτο πράξας ἀπῆλθεν, ἕτερος δὲ εἰσεπράχθη τὸ χρέος τὸ παρ' ἑτέρου τινὸς ὡς παρ' αὐτοῦ δῆθεν ὁμολογηθέν· καὶ τοῦτο ὕστερον οὐ διέλαθε, τοῦ θεοῦ τὰ τοιαῦτα μέχρι παντὸς οὐ συγχωροῦντος κατακρύπτεσθαι.

γ'. Οὔτε οὖν ταῖς τοιαύταις πιστεύομεν μαρτυρίαις ἢ ταῖς τῶν ταβουλαρίων (καθάπερ εἰπόντες ἔφθημεν) καταθέσεσιν, ἡνίκα γραμμάτων ἐπιστήμονες εἶεν οἱ καταθέσθαι λεγόμενοι, παρὸν καὶ γράψαι ἢ ἐν δικαστηρίῳ καταθέσθαι

6) μαρτυρεῖν, καὶ μαρτυρήσαιεν?

καὶ δοῦναι τῷ πράγματι πίστιν ἀναμφισβήτητον, οὔτε μένειν αὐτὰς τοῖς ἀληθέσι λυμαινομένας συγχωροῦμεν, οὔτε εἴ τι τοιοῦτο γέγονε προσιέμεθα, ἀλλ' ἀπαιτοῦμεν τὸ παρακεκλῆσθαι παρὰ τοῦ παράγοντος τοὺς μάρτυρας ἐπ' αὐτῷ τούτῳ, καὶ τοῦτο διὰ μαρτυρίας ἀποδείκνυσθαι, καὶ εἶναι καὶ αὐτοὺς (τοῦτο δὴ τὸ τῶν διαθηκῶν) rogatos[7]) καὶ εὐϋπολήπτους καθεστάναι, καὶ οὕτω τὸ πρᾶγμα δέχεσθαι τὴν ἐξ αὐτῶν ἀπόδειξιν, καὶ μηδὲ ἐκμαρτυρίαν τοῦ λοιποῦ μὴ καὶ μαρτύρων ἔχουσαν καὶ παρουσίαν καὶ κατάθεσιν καὶ ὑπογραφὴν κρατεῖν. εἰ δὲ μὴ τοιοῦτοι καθεστᾶσιν οἱ μάρτυρες ὁποίους ἔμπροσθεν εἰρήκαμεν, καὶ βασάνοις αὐτοὺς ὑποκεῖσθαι κελεύομεν. εἰ δέ τινες καθαρῶς ἐναντία σφίσιν αὐτοῖς ἢ καὶ ἀλλήλοις φθέγξοιντο, τοὺς δικαστὰς μάλιστα τότε προσέχειν τὸν νοῦν, καὶ εἰ περὶ τὰ κυριώτερα τῶν μαρτυρουμένων τὰς ἐναντιότητας εὕροιεν, ἐκβάλλειν τὰς τοιαύτας μαρτυρίας τοῖς παρὰ τῶν ἀξιοπιστοτέρων καὶ πλειόνων προσέχοντας· εἰ δὲ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες καὶ ἐντεῦθεν ἐκπίπτοντες εἰς ἐναντίωσιν, μηδὲ ἀθώους αὐτοὺς καταλιμπάνειν, εἴπερ μὴ κατά τινα πλάνην ὡς εἰκὸς ἀλλ' ἐξεπίτηδες τὰ ἐναντία δειχθεῖεν λέγοντες.

δ'. Ἐπειδὴ δὲ πολλοὶ πολλάκις μάρτυρας παραστησάμενοι καὶ τρισσάκις τοῦτο πράξαντες εἶτα ἐπειδὰν ἀποτάξοιντο καὶ ἐκλάβοιεν τὰς μαρτυρίας, πειρῶνται προσελεύσεσιν ἡμᾶς ἐνοχλεῖν καὶ βούλεσθαι καὶ τετράκις παραγαγεῖν μάρτυρας, θεσπίζομεν τοὺς ἡμετέρους δικαστὰς τούτοις μάλιστα προσέχειν, καὶ εἰ τρισσάκις ἤδη παρῆλθον οἱ μάρτυρες καὶ παρὰ τοῦ τοὺς μάρτυρας παραγαγόντος καὶ ἀποταξαμένου καὶ ἐκλαβόντος πάλιν αἰτοῦνται μάρτυρες, τούτους παντελῶς μὴ προσίεσθαι, ὡς ὑποψίας οὔσης, μή ποτε παραλιπόντων τὶ τῶν προτέρων καὶ ἤδη φανερῶν τούτων διὰ τῆς μαρτυρίας γενομένων, ἐκεῖνος οὐ παραγωγῆς μαρτύρων, ἀλλὰ τῆς

7) Ven. inter lineas προσκεκλημένους.

τῶν ἔμπροσθεν ἢ οὐ μαρτυρηθέντων προσθήκης ἢ μαρτυρηθέντων ἐπανορθώσεως ἐπιθυμεῖ. εἰ δὲ ὁ παραγαγὼν μὲν οὐκ ἐκλάβοι οὐδὲ ἐντύχοι ταῖς μαρτυρίαις οὐδὲ αὐτὸς οὐδέ τις τῶν συνηγόρων αὐτοῦ, ὁ δὲ ἀντιτεταγμένος ἐκλάβοι μόνος καὶ ποιήσοιτο παραγραφάς, οὐ μὴν ταύτας ἐκδοίη τῷ τρὶς ἤδη ποιησαμένῳ τὴν τῶν μαρτύρων πάροδον, ὥστε μὴ διὰ τῶν παραγραφῶν μαθόντα τὸν τούτους παραγαγόντα τὰ ἐλλείποντα ταῖς μαρτυρίαις ταῦτα[8]) προσθεῖναι, τηνικαῦτα δοτέον καὶ τετάρτην παραγωγὴν μαρτύρων τῷ ταύτην αἰτοῦντι, πρότερον ὅρκου διδομένου παρ' αὐτοῦ, ὡς οὔτε ἐξείληφεν οὐδὲ ἐνέτυχε ταῖς μαρτυρίαις οὐδὲ αὐτὸς οὐδέ τις ἢ συνήγορος ἢ ὅλως ὑπὲρ αὐτοῦ πράττων, οὔτε κατά τινα δόλον οὐδὲ μηχανὴν οὐδὲ τέχνην τὴν τετάρτην παραγωγὴν αἰτεῖ ποιήσασθαι τῶν μαρτύρων, ἀλλὰ διὰ τὸ μὴ δυνηθῆναι πρότερον ταῖς ἐπαγγελλομέναις χρήσασθαι μαρτυρίαις. καὶ εἰ τοῦτο γένοιτο, μηδὲ κελεύσεως ὑπὲρ τούτων δεῖσθαι βασιλικῆς, καθάπερ ἔμπροσθεν ἦν, ἀλλ' αὐτόθεν τὸν νόμον ἀρκεῖν αὐτοῖς τὸν τὰ τοιαῦτα ἐφιέντα. καὶ ἄχρι μὲν τετάρτης μαρτύρων παραγωγῆς ἄδειαν εἶναι ταῖς μαρτυρίαις χρῆσθαι, μὴ μέντοι διὰ μακροῦ χρόνου[9]), ὥστε μηδὲ ἐντεῦθεν μηκύνεσθαι τὰς δίκας, ἀλλὰ δεῖν πάντως τάχος αὐταῖς ἐπιτίθεσθαι, καθάπερ ἂν ὁ δικάζων οἰηθείη τοῦτο πράττειν. [§. 1.] ἐκεῖνο μέντοι τῶν ἀνωμολογημένων ἐστὶν, ὡς εἰ καὶ ἅπαξ τὶς παραγαγὼν μάρτυρας ἢ δὶς εἶτα[10]) ἀποτάξεται, καὶ ἢ ἐκλάβοι τὰς μαρτυρίας καὶ κατασκέψεται ἢ τοῦ ἀντιτεταγμένου τοῦτο ποιήσαντος αὐτὸς τὰς παραγραφὰς ἐκλάβοι κἀκεῖθεν μάθοι τὰ μεμαρτυρημένα, οὐχ ἕξει παντελῶς ἄδειαν οὐδεμιᾷ περαιτέρω χρῆσθαι μαρτύρων παραγωγῇ, οὐδ' ἂν εἰ θεία τούτῳ[11]) κέλευσις πορισθείη.

8) Ven. ταύταις. 9) In Ven. μακροῦ, apud Hal. χρόνου deest. 10) Ven. εἰ. 11) Hanc lectionem praestat Proch. auct. 27, 165. reliqui τοῦτο, quod ferri potest si cum Hal. mox legas **προσθείη**.

ε'. Ἐπειδὴ δὲ ἴσμεν ἤδη γενόμενον νόμον[12]*, ὥστε εἴ τις ἐνταῦθα λέγει δίκην, δεῖται δὲ ἐπὶ τῆς χώρας μέρει τινὶ συστῆναι τῆς δίκης, ἐξεῖναι τοῦ δικαστοῦ τοῦτο κρίνοντος καὶ τὴν ἀρκοῦσαν προθεσμίαν ὁρίζοντος παράγειν ἐπὶ τῆς ἐπαρχίας τοὺς μάρτυρας, ἐνταῦθά τε ἀναπέμπεσθαι τὴν δίκην τῶν πεπραγμένων φερομένων καὶ ὑπὸ ταὐτῷ κρίνεσθαι δικαστῇ, πολλαὶ δὲ τοιαῦται προσελεύσεις ἡμῖν γίνονται βουλομένων τινῶν, οἵπερ ἐν ἐπαρχίᾳ μὲν δικάζονται ἐνταῦθα δὲ τοὺς μάρτυρας ἔχουσιν, ὥστε κρατεῖν καὶ ἐπὶ τῶν τοιούτων τὸν νόμον, καὶ ἄδειαν εἶναι τῷ ἐν ἐπαρχίᾳ δικάζοντι στέλλειν ἐνταῦθα, ὥστε παριέναι τοὺς μάρτυρας ἢ τὰς ἀποδείξεις ὅλως δίδοσθαι, καὶ πάλιν εἰς αὐτὸν φέρεσθαι τὰς δίκας, ἢ καὶ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν ταῦτα αἰτεῖν γίνεσθαι, θεσπίζομεν, διὰ τὴν τῶν ἀποδείξεων εὐπορίαν καὶ τοῦτο κρατεῖν, καὶ δύνασθαι καὶ ἀπὸ ἐπαρχίας ἐνταυθοῖ παρὰ τοῦ δικάζοντος ἐν τῇ χώρᾳ στέλλεσθαι καὶ παρ' ἑνὶ τῶν ἐξ ἡμῶν ὡρισμένων ἐλλογιμωτάτων δικαστῶν, ψήφου περὶ τούτου παρὰ τοῦ δικάζοντος γινομένης, τὰς μαρτυρίας δίδοσθαι· καὶ ἀπὸ ἐπαρχίας ἑτέρας εἰς ἑτέραν παρὰ τῷ ἐκδίκῳ ἢ παρὰ τῷ ἄρχοντι τῶν μαρτυριῶν ἐκ ψήφου τοῦ δικάζοντος διδομένων· ἐκεῖσε δηλαδὴ τῆς αὐτοτελοῦς ψήφου διδομένης, ἔνθα καὶ προκατήρχθη· ἵνα ὥσπερ ἐντεῦθεν ἐν τῇ χώρᾳ παρὰ τοῖς ἄρχουσιν ἢ τοῖς ἐκδίκοις τὰ περὶ τῆς παραγωγῆς τῶν μαρτύρων πράττεσθαι νενομοθέτηται, οὕτω καὶ ἀπὸ χώρας εἰς χώραν καὶ ἀπὸ ἐπαρχίας ἐνταυθοῖ κρατοίη, καὶ τελεία διὰ πάντων εἴη ἡ τῶν ἀποδείξεων ἅπασιν εὐκολία. τῶν μέντοι μαρτυριῶν οὐκ ἐκδιδομένων οὐδὲ ἐν ταῖς χώραις, ἀλλὰ τῶν πεπραγμένων διδομένων αὐτοῖς τοῖς παραγαγοῦσιν ἢ καὶ τοῖς αὐτῶν ἀντιδίκοις ἐπὶ πράξεως ὑπομνημάτων σημεῖα δεχομένων καὶ οὕτως ἐνταῦθα ἢ ἐν ἐπαρχίαις πεμπομένων παρὰ τῶν δικαστῶν,*

12) Cod. IV, 20, 16.

μή ποτε ὡς εἰκὸς δεηθείη καὶ ἑτέρων μαρτύρων ἡ τοῦ πράγματος φύσις καὶ ἀποκλεισθείη διὰ τὴν ἔκδοσιν ἡ τῶν μαρτύρων προσθήκη. τούτων ἁπάντων ἐπὶ τῶν χρηματικῶν ζητήσεων νοουμένων· ἐπὶ γὰρ ἐγκληματικῶν, ἔνθα περὶ μεγίστων ἐστὶν ὁ κίνδυνος, ἀνάγκη πᾶσι τρόποις ὑπὸ τοῖς δικασταῖς παριέναι τοὺς μάρτυρας καὶ τὰ αὐτοῖς ἐγνωσμένα διδάσκειν, ἔνθα καὶ βασάνων ἴσως ἔσται καιρὸς καὶ τῆς ἄλλης ἁπάσης παρατηρήσεως.

ς΄. Εἰ δὲ λέγοιτο δουλικῆς εἶναι τύχης ὁ βουλόμενος μαρτυρεῖν, ὁ δὲ ἐλεύθερος ἰσχυρίζεται καθεστάναι, εἰ μὲν ἐκ γενετῆς τυχὸν ἐλεύθερος, πληρούσθω μὲν ἡ μαρτυρία, ταῖς δὲ παραγραφαῖς ὁ περὶ τῆς τύχης φυλαττέσθω λόγος, ὥστε εἰ φανείη τύχης οἰκετικῆς ὢν, τὴν αὐτοῦ μαρτυρίαν ἀντὶ μηδὲ γενομένης εἶναι· εἰ δὲ ἐλευθερωθῆναι φήσοι, ἀναγκάζεσθαι δεικνύναι πρότερον αὐτὸν τὸ συμβόλαιον ἐν ᾧ τῆς ἐλευθερίας τετύχηκεν, οὕτω τε μαρτυρεῖν. εἰ μέντοιγε ἐν ἑτέρᾳ χώρᾳ τῆς ἐλευθερίας φήσοι τυχεῖν ἢ οὐκ εἶναι προχείρους αὐτῷ τὰς ἀποδείξεις, καὶ τοῦτο ῥητῶς ἐπομόσεται, ἡ μὲν μαρτυρία γραφέσθω, μὴ δειχθέντος δὲ τοῦ τῆς ἐλευθερίας συμβολαίου ὁ παραγαγὼν οὐ χρήσεται τῇ ἐκείνου μαρτυρίᾳ.

ζ΄. Εἰ μέντοι τὶς φήσειεν ἀπεχθῆ τὸν παριόντα πρὸς μαρτυρίαν αὐτῷ καθεστάναι καὶ τυχὸν καὶ ὑπὸ αἰτίασιν παρ' αὐτοῦ γενέσθαι, εἰ μὲν δείξειεν εὐθὺς ὡς ἐγκληματικὴ μεταξὺ αὐτῶν κινεῖται δίκη, μὴ παρίτω πρὸς μαρτυρίαν ὁ μέχρι τοσούτου δυσμενὴς ὡς καὶ περὶ ἐγκλημάτων δικάζεσθαι. εἰ δὲ ἄλλως ἀπεχθὴς εἶναι λέγοιτο ἢ καὶ αἰτιάσασθαι χρηματικῶς, προΐτω μὲν τὰ τῆς μαρτυρίας, τῷ δὲ καιρῷ τῶν παραγραφῶν φυλαττέσθω τὰ τῶν τοιούτων ζητήσεων.

η΄. Ἐπειδὴ δὲ ἐθήκαμεν νόμον[13]), ὥστε καὶ ἐπὶ χρηματικῶν δικῶν ἄκοντας μαρτυρεῖν, ἐκείνων οὐκ ἀναγκαζομέ-

13) Theodoro auctore l. 16 C. de testibus significatur.

νων τὴν μαρτυρίαν νέμειν ὅσοι μεσίται γεγόνασιν αὐτοῖς, καί τινες ἀποχρῶνται τούτῳ καὶ μαρτυρίαν οὐ βούλονται νέμειν, θεσπίζομεν, εἴπερ ἑκάτερον μέρος συναινοίη τῷ μεσίτῃ αὐτῶν γενομένῳ μαρτυρῆσαι τοῖς[13a]) παρ' αὐτοῦ λεγομένοις, ἀναγκάζεσθαι αὐτὸν καὶ ἄκοντα τὴν μαρτυρίαν νέμειν, τοῦ κωλύματος δι' ὅπερ αὐτὸν ἄκοντα μαρτυρεῖν ὁ πρότερος ἡμῶν οὐκ ἠβούλετο νόμος διὰ τῆς συναινέσεως ἑκατέρων τῶν μερῶν ἀνῃρημένου.

θ΄. Καὶ τοῦτο δὲ πολλάκις πραττόμενον ἴσμεν, ὥς τινες ἢ παρὰ τοῖς τῶν τόπων ἐκδίκοις ἢ παρὰ τοῖς λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσιν ἢ καὶ ὡς εἰκὸς ἐνταῦθα παρὰ τῷ λαμπροτάτῳ μαγίστρῳ τῶν κήνσων εἰσιόντες καὶ μεμφόμενοι, ὡς παρὰ τοῦδε πεπονθότες τὶ παράνομον ἢ ἄλλως ἠδικημένοι ἢ ἐζημιωμένοι, μάρτυρας βούλονται παραστήσασθαι. καὶ ἵνα μὴ ὕστερον ἀντιτεθείη αὐτοῖς, ὡς κατὰ μίαν μοῖραν τὰ πεπραγμένα συνέστη, δεῖ κἀκεῖνον, ἐν αὐτῇ τῇ πόλει καθεστῶτα ἔνθα αἱ μαρτυρίαι δίδονται, ὑπομνησθέντα παρὰ τοῦ ἄρχοντος ἢ τοῦ ἐκδίκου παραγενέσθαι καὶ ἀκοῦσαι τῶν μαρτυριῶν· εἰ δὲ μὴ βουληθείη παραγενέσθαι ἀλλὰ διαπτύσειεν, ὥστε ἐκ τοῦ κατὰ μίαν μοῖραν δίδοσθαι τὰς μαρτυρίας κατ' αὐτὸ τοῦτο ἀχρήστους εἶναι, θεσπίζομεν τὰς τοιαύτας μαρτυρίας οὕτω κρατεῖν, ὡς ἂν εἰ μὴ μονομερεῖς ἐτύγχανον οὖσαι, ἀλλὰ καὶ αὐτοῦ παρόντος ἐγεγόνεισαν. εἰ γὰρ παραιτήσοιτο καὶ ἐλθεῖν μὴ βουληθείη καὶ ἀκοῦσαι τῶν κατατιθεμένων, καίτοι δημοσιεύων[14]) τε καὶ οὐκ ἐξ ἀπαραιτήτου τινὸς ἀνάγκης ἀφικέσθαι μὴ δυνάμενος, ἐν ἴσῳ τοῖς παραγενομένοις ἔσται, καὶ οὐδὲν ὄφελος ἐκ τῆς αὐτοῦ προπετείας αὐτῷ γενήσεται, ἀλλὰ δοκείτωσαν μὲν

13a) Hal. (quem sequitur Scr.) καὶ ἀρκεσθήσεσθαι τοῖς κτλ. Epit. ad Proch. mut. 27, 56 καὶ φῇ συντίθεσθαι τοῖς κτλ. Auth.: componantur enim ea quae ab eo dicuntur i. e. καὶ γὰρ συνθήσεσθαι τοῖς κτλ. quod placet. 14) Ven. inter lineas ἀντὶ τοῦ ἐνδημῶν.

συστάδην γεγονυῖαι, ὅσα δὲ ἂν ἁρμόσειεν αὐτῷ παραγράφεσθαι περὶ αὐτῶν, ἐξεῖναι τούτοις χρῆσθαι, μόνου τοῦ δοκεῖν αὐτὰς εἶναι μονομερεῖς διὰ τὴν αὐτοῦ προπέτειαν (οἷα δὴ κατ᾽ αὐθάδειαν μὴ παραγενομένου) ταῖς μαρτυρίαις ἀντιτίθεσθαι μὴ δυναμένου. τῶν ἄλλων ἁπάντων ὁπόσα περὶ μαρτύρων παρὰ τῶν πρὸ ἡμῶν ἢ καὶ παρ᾽ ἡμῶν αὐτῶν εἴρηταί τε καὶ νενομοθέτηται κυρίων μενόντων καὶ παρὰ τῶν ἡμετέρων δικαστῶν φυλαττομένων, εἴτε μείζους εἴτε ἐλάττους εἶεν, εἴτε ἐπὶ ταύτης τῆς μεγάλης πόλεως εἴτε ἐν ταῖς ἔξω χώραις, ἵνα καὶ τὰ τῶν μαρτύρων ὁπόσον δυνατοὶ καθεστήκαμεν ἐπανορθώσαντες ἔτι καθαρώτερόν τε καὶ ὁσιώτερον τὰς δίκας πράττεσθαι παρασκευάσωμεν, δι᾽ ἃς καὶ τὰς ἀκροάσεις γίνεσθαι παρὰ τοῖς δικασταῖς ἅπασι τῶν θείων προκειμένων λογίων ἐνομοθετήσαμεν, καὶ ὅρκον ὑπέχειν καὶ τοὺς ἐνάγοντας καὶ τοὺς ἐναγομένους καὶ τοὺς συνηγόρους παρεκελευσάμεθα, πανταχοῦ τὸν θεὸν ἐφιστάντες ταῖς τῶν δικαζομένων τε καὶ δικαζόντων καὶ τῶν μαρτυρούντων ψυχαῖς, ἵνα διὰ πάντων τῇ τοῦ θεοῦ μνήμῃ τε καὶ παρουσίᾳ καθαρὰ τὰ τῶν δικῶν καὶ ἀνύποπτα τοῖς δικαζομένοις γίνοιτο. ὃν δὴ νόμον κρατεῖν βουλόμεθα εἰς τὸν ἐφεξῆς ἅπαντα χρόνον.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. Kal. Octob. CP. Imp. DN. Iustiniani PP. A. ann. XIII Apione V. C. Cons.[15])

15) Ven. Dat. XV K. Sept. CP. post cons. Vilisario v. c. Atqui ordo, quo haec constitutio in diversis Novellarum collectionibus posita est, demonstrat, cum Auth. Athanasio (qui tamen τὸ ιβ´ habet) et Theod. subscriptionem ita ut edidi restituendam esse.

Nov. 91. **CXIII.** Auth. 93.

Basil. 28, 13, 1. Cap. 2 est in Proch. IX, 12 et Epan. XIX, 2. — Summae: Iulian. c. 84, Athan. X, 5 et Theod. Nov. 91.

Ὥστε ἀπαιτήσεως οὔσης προικὸς πρώτης τε καὶ δευτέρας, ὡς τοῦ ἀνδρὸς δευτερογαμήσαντος, προτιμᾶσθαι τὴν προτέραν γυναῖκα ἢ τοὺς ἐκ τοῦ προτέρου γάμου παῖδας. καὶ ὥστε, εἰ βουληθείσης τῆς γυναικὸς ἤτοι τοῦ καταγράψαντος ὑπὲρ αὐτῆς τὴν προῖκα δοῦναι τῷ ἀνδρὶ τὰ καταγραφέντα ἀναβάλλεται ὁ ἀνὴρ ὑποδέξασθαι, λυθέντος τοῦ γάμου ἀπαιτεῖσθαι αὐτὸν τὴν ὑπ' αὐτοῦ καταγραφεῖσαν προγαμιαίαν δωρεάν.[1])

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Πρῴην δικαζόντων ἡμῶν ἠφισβητήθη πρᾶγμα πολλῆς ἄξιον ἐπιστροφῆς καὶ σαφεστέρας νομοθεσίας οὐκ ἀνάξιον. καὶ γάρ τις προτέρας γενόμενος γαμετῆς ἀνὴρ καὶ ταύτην ἀποβαλών, εἶτα δευτέρας, προῖκά τε ὑποδεξάμενος παρ' ἑκατέρας καὶ παῖδας ἐκ τῆς πρώτης καταλιπὼν ἀπῆλθε τῆς δευτέρας ἔτι περιούσης. ἠβούλετο τοίνυν ἡ δευτέρα γαμετὴ τὴν προῖκα τὴν παρ' αὐτῆς δεδομένην ἀπαιτεῖν, τῷ προνομίῳ χρωμένη τῷ παρ' ἡμῶν δεδομένῳ. ἀντέλεγον δὲ οἱ ἐκ τῶν πρώτων γάμων παῖδες καὶ αὐτοὶ μητρῴαν προτεινόμενοι προῖκα, καὶ ἀμφισβητήσιμον ἦν, εἰ καὶ μὴ περιούσης τῆς προτέρας γαμετῆς δεῖ δέξασθαι τοὺς ἐκείνης παῖδας κατὰ τῆς δευτέρας προικὸς ἀγωνιζομένους. οὐ γὰρ ἑτέροις δεδώκαμέν τε ἤδη καὶ δίδομεν τοῦτο τὸ προνόμιον ἢ κλη-

1) Hal. et Bas. addunt: **μὴ ὑποδεξάμενον δὲ προῖκα μηδὲ προγαμιαίαν διδόναι δωρεάν.**

ρονόμοις ἢ δανεισταῖς, ἀλλὰ μόνοις παισί. πολλαὶ μὲν οὖν ἀμφισβητήσεις γεγόνασιν ἐν τῷ πράγματι, λεγούσης τῆς δευτέρας γαμετῆς, ὡς ἐξαναλώσας ἔφθη καὶ πρὶν ἐπὶ τὸν πρὸς αὐτὴν ἔλθῃ γάμον ὁ ἀνὴρ τὴν τῆς προτέρας γαμετῆς προῖκα· καὶ οὐ δίκαιόν ἐστι, τὴν μὲν αὐτῆς προῖκα, διότι τοσοῦτον εὑρέθη καταλιπὼν ὁ ἀνὴρ ὅσον ἀρκεῖ μόνῃ τῇ δευτέρᾳ προικὶ, αὐτὴν ἀπολέσαι, τοὺς δὲ τὴν ἐξαναλωθεῖσαν ἤδη προῖκα λαβεῖν· ἀλλ᾽ οἱ παῖδες τὰς ὑποθήκας προΐσχοντο, ὅτι περ ὅλως πραγμάτων ὄντων τῷ τελευτήσαντι αἱ τῆς τελευτησάσης ὑποθῆκαι πρεσβύτεραι τῆς δευτέρας εἰσί.

α΄. Τούτων τοίνυν ἀμφισβητουμένων ἐκεῖνο τῶν ἀνωμολογημένων τε ἤδη καὶ νενομοθετημένων παρ᾽ ἡμῶν ἐστιν, ὡς εἰ μέν τι φαίνοιτο ἐκ τῶν πραγμάτων τῆς προτέρας ἢ τῆς δευτέρας προικὸς, τοῦτο ἀνάγκη ἢ τοὺς παῖδας τῆς προτέρας ἢ τὴν δευτέραν ἔχειν, ἢ εἰ τελευτήσοι κἀκείνη τοὺς παῖδας αὐτῆς, ἕκαστον πρὸς ὅπερ ἂν οἰκείως ἔχειν ἑαυτὸν ἀποδείξειεν· ἐνταῦθα γὰρ καὶ ἡ in rem ἡ περὶ δεσποτείας ἁρμόζει καθαρῶς, καὶ ἕκαστον δεῖ τὸ οἰκεῖον ἔχειν μηδὲν[2]) προνομίου δεόμενον. εἰ δὲ οὐ φαίνοιτο τῶν ἑκατέρας πραγμάτων οὐδὲν, ἤ τινα μὲν φαίνοιτο τινὰ δὲ ἐλλείποι, εἴτε περίεισιν αἱ γυναῖκες (ῥεπουδίῳ τυχὸν τοῦ προτέρου γάμου διαλυθέντος καὶ ἁρμοσάσης τῇ γυναικὶ τῆς προικὸς) εἴτε τετελευτήκασιν ἢ ἐπὶ παισὶν ἄμφω ἢ καὶ μία τούτων, ἐπὶ τοῖς ἐλλείπουσι κυριωτέραν εἶναι τὴν προτέραν καὶ τοὺς ἐξ αὐτῆς παῖδας πρεσβυτέραν προῖκα προτεινομένους, ταὐτὸν δ᾽ ἐστὶν εἰπεῖν καὶ ἐγγόνους καὶ ἀπεγγόνους καὶ τὴν ἐφεξῆς διαδοχὴν, ὁποιασδήποτε φύσεως εἶεν. ὥσπερ γὰρ εἰ δύο δημόσια ὀφλήματα ἦν, ἀνάγκη τὸ πρεσβύτερον κυριώτερον τοῦ μεταγενεστέρου καθεστάναι, οὕτω κἀνταῦθα τὰ προνόμια ἀνάγκη τῇ πρώτῃ προικὶ δοθῆναι προτέρᾳ, οὕτω τε τῇ δευτέρᾳ, καὶ προῖκα μὴ προκρίνειν προικὶ

2) Forte μηδέ.

μηδὲ ὑποθήκην ὑποθήκῃ, ἀλλὰ τὸ πρεσβύτερον καὶ χρόνῳ πολιὸν[3]) μένειν τὴν οἰκείαν ἔχον ἰσχύν τε καὶ προνομίαν· τοὺς γὰρ χρόνους τῶν ὑποθηκῶν ἀμεῖψαι ἢ ἀνελεῖν κατ' οὐδένα τρόπον αἱρούμεθα. καὶ ταῦτά φαμεν οὐκ ἀγνοοῦντες ὡς δήπου καὶ ἑτέρωθι τῆς ἡμετέρας νομοθεσίας[4]) ταῦτα διώρισται, ἀλλ' ἐπειδήπερ ὅλως κεκίνηται παρ' ἡμῖν καί τινας ἔσχεν ἀλλοιοτέρας τὸ πρᾶγμα ζητήσεις, διὰ τοῦτο καὶ εἰς τὴν τοῦ παρόντος νόμου χρείαν ἀφικόμεθα, οὐχ ἵνα νῦν τι πρῶτον νομοθετήσαιμεν, ἀλλ' ἵνα σαφέστερον αὐτὸν πᾶσι καταστήσωμεν.

β'. Κἀκεῖνό γε μὴν προσθεῖναι τῷ νόμῳ καλὸν, ὅπερ κινηθεῖσα ζήτησις ὁμοίως ἀναγκαῖον ἡμῖν εἰς νομοθεσίαν ἐποίησεν. εἰ γὰρ ἐποφείλει προῖκα γυνὴ, καὶ ἡ μὲν δοῦναι βουληθείη, αὐτὴ τυχὸν ἢ ὁ ὑπὲρ αὐτῆς παρεχόμενος αὐτὴν ὅστις ποτὲ ἂν εἴη ἢ τῶν ἐγγύθεν ἢ τῶν ἔξωθεν, ὥστε ἢ profecticiaν ἢ adventiciaν εἶναι τὴν προῖκα (ταῦτα δὴ τὰ τοῦ νόμου ῥήματα), ὁ δὲ ἀνὴρ ἢ ὁ τούτου πατὴρ τυχὸν ἢ ὁ πάππος ὑποδέξασθαι ταύτην μὴ βουληθεῖεν, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτύρεται μέρος, καὶ ἑτοίμως ἔχει ταύτην καταβαλεῖν, ἢ καί τι μεῖζον πράξειε καὶ προσαγάγοι τυχὸν, καὶ εἴ γε κινητὴ καθεστήκοι, σφραγῖδας ἐπιθείη καὶ κατὰ τὸν νόμον ἀπόθοιτο, ἢ κατὰ μίαν μοῖραν εἰσβάλλον[5]) εἰς δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι καὶ διαβάντες ἐκ τοῦ δικαστηρίου τινὲς ἀπαγγείλειαν[6]) ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος, ἐπιμένοι δὲ καὶ οὕτως ἀναβαλλόμενον, μὴ δύνασθαι διαλυθέντος τοῦ γάμου τὴν τῆς προγαμιαίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης· ὁ γὰρ δοῦναι βουληθεὶς ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται παραπλήσιός ἐστι τῷ δεδωκότι. καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐπὶ τῆς προικὸς κρατείτω. ὥσπερ γὰρ εἰ μὴ δοίη καθ' ὑπέρθεσιν τὴν προῖκα, ἄρνησιν αὐτῇ τῆς προγαμιαίας

3) Hal. (cum Auth.) πλέον. 4) Cod. VIII, 17, 12.
5) Scil. τὸ μέρος τῆς γυναικός. 6) Ven. ἀπαγγείλει.

δωρεᾶς ἐπηγάγομεν[7]), οὕτω κἂν εἰ βουληθείη δοῦναι καὶ ὁ λαμβάνων ἐξεπίτηδες παραιτεῖται τὴν λῆψιν, δίδομεν αὐτῇ τὴν τῆς προγαμιαίας δωρεᾶς τοῦ συνοικεσίου λυθέντος ἀπαίτησιν, καίτοι τὴν προῖκα διὰ τὴν τοῦ ἀνδρὸς αἰτίαν οὐκ εἰσενεγκούσῃ.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. Kal. Oct. CP. imp. DN. Iustiniani PP. A. anno XIII. Apione V. C. Cons.[8])

Auth. 91. CXIV. Nov. 92.

Proch. 32, 4, Epanag. 34, 3 et Basil. 41, 5, 1. — Summae: Iulian. c. 85, Athan. IX, 7, Theod. Nov. 92.

Περὶ τῶν εἰς τοὺς παῖδας ἀμέτρων δωρεῶν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) ὀρδιναρίῳ καὶ πατρικίῳ.

Ἤδη τὰ περὶ τοῦ φαλκιδίου καὶ τῆς ἐκείνου μοίρας διωρίσαμεν[2]), αὐξήσαντες αὐτὸν οὐκ ἀγεννεῖ προσθήκῃ. τὸ γὰρ λίαν ἄνισον οὐ σφόδρα ἡμᾶς ἤρεσεν, ἀλλὰ δεῖν μὲν προκρίνεσθαι τῶν παίδων οὓς ἂν ὁ πατὴρ βουληθείη, οὐ τοσοῦτον δὲ ἐλαττοῦν τοὺς ἄλλους, ὥστε αὐτοῖς ἀφόρητον εἶναι τὴν ἐλάττωσιν.

α΄. Τοῦ τοίνυν παρ᾽ ἡμῶν τεθέντος νόμου μένοντος ἐπὶ τῆς ἰδίας ἰσχύος ἐκεῖνο βουλόμεθα, ὥστε εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἤ τινας τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχειν ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν τὴν

7) Const. X. 8) Subscriptionem suppleo ex Auth. Athan. et Theod. in Ven. deficit.

1) Verba τὸ δεύτερον ἀπὸ ὑπάτων desunt in Ven. 2) Const. XLII.

δωρεὰν ὁ πατὴρ εἰς τὸν παῖδα ἢ τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτω γὰρ οὐδὲν ἔτι ταῖς δωρεαῖς ἐγκαλέσουσιν, ἔχοντες μὲν ἐπὶ πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ αὐξομένου τούτου τοῦ μέτρου[3]), *καθ' ὅσον καὶ τὰ πράγματα εἶχε τοῦ πατρὸς πρὶν ταῖς δωρεαῖς ἐξαντληθείη. οὐ δυναμένων τῶν ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου, ἀλλ' οὐκ ἀναγκαζομένων μὲν εἰ ἀρκοῦνται ταῖς δωρεαῖς καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθ' ὅσον εἰρήκαμεν μέτρον, ὥστε μὴ ἔλαττον αὐτοὺς ἔχειν τὸ ἐκ τῶν νόμων αὐτοῖς ὀφειλόμενον διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν. ὅπου γε ἔξεστι τῷ πατρὶ μέτρια φρονήσαντι περὶ τὴν πᾶσαν γονὴν, καὶ τοῖς παρ' αὐτοῦ μᾶλλον ἀγαπωμένοις χαρίσασθαί τι πλέον καὶ μὴ τοὺς λοιποὺς παῖδας διὰ τῆς εἰς ἐκείνους γενομένης ἀμετρίας βλάψαι, καὶ τὸν ἡμέτερον παραβῆναι σκοπόν. καὶ τοῦτο ἐγένετο μὲν ἡμῖν ἐξ ἀρχῆς ἐνθύμιον· ἀναβαλλόμενοι δὲ αὐτὸ πρῴην καὶ τῶν ἀνθρωπίνων πειρώμενοι ψυχῶν, ἐπειδήπερ ἑωρῶμεν αὐτοὺς εἰς τὰς τοιαύτας προσπαθείας ἐξολισθαίνοντάς τε καὶ καταφερομένους, διὰ τοῦτο νῦν προσθήκην ἐκείνῳ τῷ νόμῳ ταύτην ποιούμεθα.* [§. 1.] *ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς, οὐ μὴν περὶ τῶν ἀγνωμόνων καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων κύρια, οὐδὲν ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε δηλούμενα θείου[4]) *ἡμῶν νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παρα-*

3) Ven. supra lineam *μέρους*. 4) *τοῦ θείου*? Hal. *διὰ τοῦδε τοῦ θείου δηλ. νόμου.*

δοῦναι σπευσάτω. Dat. VI. Id. Oct. imp. DN. Iustiniani PP. A. anno XIII Apione V. C. Cons.[5])

Auth. 100. CXV. Nov. 93.

Basil. IX, 2. 6. latina quae habentur in Auth. c. 100 Heimbachius (ad Auth. p. CCCXV) ab ipso Iustiniano profecta arbitratur, ita ut const. tam graeco quam latino sermone edita sit. et illud quidem in aprico est, textum graecum quem habemus multis locis — prooemii potissimum — a latino Authentici ita differre, ut hic pro illius versione haberi non possit. sed utrum textus graecus quem habemus depravatus sit (cf. infra not. 6) melioremque et pleniorem Authenticum in vertendo ob oculos habuerit, an scrinia textum modo sic modo aliter scholasticis communicaverint, dubitari sane potest. interim notandum latinitatem Authentici longe ab elegantia abhorrere, qua latinae Iustiniani constitutiones fere conspicuae sunt. — Summas praestant: Iulian. c. 86, Ath. VII, 5 et Theod. Nov. 93.

Περὶ ἐφέσεως, ὥστε εἰ κινουμένης δίκης παρὰ ἐφέτῃ ἐπὶ αἱρετοὺς ἔλθωσιν οἱ λιτιγάτορες καὶ ἐν τῷ τοσούτῳ διαδράμοι ἡ διετία καὶ συμβῇ ἐπὶ τὸν ἐφέτην αὖθις τὴν δίκην ἐπανελθεῖν, μὴ ἀντιτίθεσθαι τὴν τῆς διετίας παραδρομὴν ἀπὸ τοῦ νικήσαντος.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν τῆς Ἕω παραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Αἱ τῶν ὑπηκόων τῶν ἡμετέρων προσαγγελίαι νόμων ἡμῖν παρέχουσιν ἀφορμὰς ἐπὶ σωτηρίᾳ τῶν ὑποτελῶν συγγραφομένων. προσέλευσιν γὰρ ἡμῖν τινες ἐποιήσαντο[1]), *ὡς τοῦ νόμου βουλομένου τὸν ἐφέτην*[2]) *ἐπὶ διετίαν σιγήσαντα,*

5) Subscriptio in Ven. deest. ex Athan. Theod. et Auth. supplevi. Iuliani Cod. Vercellensis subscriptionem habet „D. Id. Octobr. Ind. VII mens. Mart.“, Coloniensis vero: „D. VI Id. Oct. Ind. V imp.“. sed in mensem Oct. Apione consule incidit ind. III. — Constitutiones CXII—CXVI omnes Kal. Oct. ab imperatore sancitas, partim autem iisdem Kal. partim VI et V Id. Oct. e scriniis emissas esse crediderim.

1) Auth.: quidam patronus fecit. 2) Proprie *ἐφέτης* est

ἢ καὶ ἀγωνισάμενον μὲν οὐκ ἐπεξελθόντα δὲ, τῶν ἐφετικῶν ἐκπίπτειν ἀγώνων καὶ βεβαιωθείσης τῆς ψήφου μηκέτι δύνασθαι περαιτέρω προϊέναι, ἀλλὰ κυρίαν γίνεσθαι θατέρῳ τὴν κρίσιν· αὐτὸν δὲ καὶ τὸν ἀντίδικον τὸν αὐτοῦ[3]) *τῆς δίκης ἐν τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς ἀγωνιζομένης ἀποστῆναι μὲν τῶν ἀγώνων τῶν παρά σοι, διαγνώμονας δὲ ἑλέσθαι κοινοὺς ἐγγράφως*[4]), *καὶ παρ' ἐκείνους συνελθεῖν καί τινα καὶ ἀγωνίσασθαι· ὕστερον ἀθυμῆσαι*[5]) *μὲν τῶν αἱρετῶν δικαστῶν, οὐκ ἐπεξελθεῖν δὲ τῇ παρ' αὐτοῖς κινουμένῃ δίκῃ, ἀλλὰ διαδραμούσης τῆς διετίας ἀποχρήσασθαι τοὺς ἀντιδίκους τοὺς αὐτοῦ*[6]) *τῷ μηκέτι δύνασθαι χρῆσθαι*[7]) *κατὰ τὸ σὸν δικαστήριον τῇ τοιαύτῃ δίκῃ, ἀλλὰ δεῖν αὐτὴν βεβαιωθῆναι ἅπαξ τῆς διετίας παρῳχηκυίας· ἐκεῖνον δὲ διὰ τοῦτο οὐκ ἐπεξελθεῖν παρὰ τῇ σῇ ἐνδοξότητι διὰ τὸ τὴν δίκην παρὰ τοῖς αἱρεθεῖσι λέγεσθαι δικασταῖς.*

α΄. Θεσπίζομεν τοίνυν τὴν μὲν εἰρημένην ὑπόθεσιν, ἐξ ἧς ταῦτα ἡμῖν προσήγγελται, μηδὲν βλαβῆναι τῇ τοῦ χρόνου παραδρομῇ, μηδὲ κυρίαν εἶναι τὴν τοῦ δικαστοῦ ψῆφον ἅπαξ ἐγκληθεῖσαν, ἀλλὰ καὶ προσεξετασθῆναι παρὰ τῇ σῇ ἐνδοξότητι καὶ πέρας νόμιμον δέξασθαι, κἂν εἰ μυριάκις πλείων[8]) *τῆς διετίας χρόνος παρέδραμεν ἢ καὶ παραδράμοι. τοῦ λοιποῦ δὲ*[9]) *ἐπὶ πάσης ὑποθέσεως, ἐφ' ἧς τοι-*

iudex appellationis, non is qui appellat. inde apud Hal. et in Bas. *ἐφέντα* scribitur. 3) Auth.: Hesychium autemthium eius et adversarios eius exercuisse quidem litem apud pedaneum iudicem, ad dictum autem Hesychium appellasse: et causam contigit recurrere ad tuam cognitionem, dum lis in iudicio tuae celsitudinis exerceretur etc. 4) Auth.: apud nonnullos *ex conscripto*, quod mutandum in „ex non scripto". quid ergo? si in graecis *ἀγράφως* legamus? nam sic melius intellegitur, quomodo partes ab arbitris impune recedere potuerint. 5) Hal. **παραφρονῆσαι.** Hombergk **ἀθετῆσαι,** Osenbrüggen **ἀμελῆσαι** coniecit. non opus. 6) Ven. verba **τοὺς ἀντιδίκους τοὺς αὐτοῦ** non habet. 7) Auth.: a condemnato exerceri. 8) *Πλείων* s. **πλέων** ex Bas. addendum, Auth. consentiente. 9) Ven. verba

οὕτό τι γένηται καὶ ἐν μέσῳ κινουμένης τῆς δίκης παρὰ τῷ ἐφέτῃ δικαστῇ ἢ καὶ μὴ κινουμένης τινὲς αἱρεθῶσιν ἕτεροι, καὶ διὰ τοῦτο ἡ διετία παρέλθοι ἧς ἐντὸς ἐχρῆν τοὺς ἐφέτας τὴν δίκην τεμεῖν, καὶ καθ' οἱανδήποτε περίστασιν ἐπανέλθοι πάλιν ἐπὶ τοὺς ἐφέτας ἡ δίκη, τοῖς μὲν ἄλλοις πᾶσιν ἐξέστω χρῆσθαι τοῖς μέρεσιν ὡς ἂν εἰ μὴ ἔτυχον ἀπολιπόντες μὲν τὸ ἐφετικὸν δικαστήριον ἐπὶ δὲ τοὺς αἱρετοὺς ἐλθόντες, μὴ μέντοι δύνασθαι χρῆσθαι τῷ τὴν διετίαν παραδραμεῖν. ὁ γὰρ ἅπαξ δικαστὰς ἄλλους ἑλόμενος οὐκ ἂν εἴη δίκαιος σιωπὴν ἐγκαλεῖν τῷ διὰ τοῦτο ἀδικηθέντι, διότι τοῖς περὶ τῆς αἱρέσεως τῶν δικαστῶν γενομένοις ἐπίστευσε, καὶ διὰ τοῦτο οὐκ ἐπεξῆλθεν οὐδὲ ἐπλήρωσε τὴν δίκην ἐκεῖσε διὰ τὸ παρὰ τοῖς δικασταῖς ἐκείνοις ἀγωνισθῆναι τὴν ὑπόθεσιν.

Ταῦτα τοίνυν ἐπὶ πάσης ὑποθέσεως φυλάττεσθαι παρὰ τοῦ σοῦ δικαστηρίου βουλόμεθα, καὶ παρὰ παντὸς ἑτέρου κατὰ τὸ ἐφετικὸν δικάζοντος σχῆμα, ὥστε μηδὲν ἄχαρι περὶ τοὺς ὑπηκόους τοὺς ἡμετέρους πράττεσθαι. εἰ μέντοι καὶ μετὰ τὸ ἀπολειφθῆναι τῶν αἱρετῶν δικαστῶν διετὴς παρέλθοι χρόνος, τηνικαῦτα ἐῤῥῶσθαι τὴν ψῆφον κατὰ τὰς περὶ τούτου γενομένας παρ' ἡμῶν διατάξεις. ὅπερ ἐπὶ τῶν ἐφεξῆς συμβαινουσῶν τοιουτοτρόπων ὑποθέσεων κρατεῖν βουλόμεθα, τῶν ἄλλων ἁπάντων, ὅσα περὶ τῶν ἐφετικῶν ἀγώνων τοῖς ἔμπροσθεν εἴρηται νόμοις καὶ παρ' ἡμῶν ἐν τοῖς τῶν νόμων ἀναγέγραπται βιβλίοις, ἐπὶ τῆς οἰκείας μενόντων ἰσχύος. Dat. V. Id. Oct. CP. imp. DN. Iustiniani PP. A. anno XIII Apione V. C. Cons.[10])

τὴν μὲν εἰρημένην ὑπόθεσιν .... τοῦ λοιποῦ δὲ plane omittit. 10) Subscriptionem, quam Ven. non habet, praestant Iulian: „D. V Id. Oct. Ind. V imp. DN. Iust. aposs.“ (ubi ind. V in CP. mutare placuit), Athan.: ἐγράφη πρὸ ε΄ ἰδ. βασιλείας ἰουστινιανοῦ τὸ ιγ΄ ὑπατείᾳ ἀπίωνος, Theod.: ἐξεφωνήθη μηνὶ ὀκτωβρ. ὑπατείᾳ ἀπίονος. caeterum videsis quae notavi c. CXIV not. ult.

Nov. 94. CXVI. Auth. 92.

Basilica nostra XXXVII, 12, 1 nonnisi summam praestant ex Synopsi E, 39, 3 depromtam. — Summae: Iulian c. 87, Ath. XIII, 2 et Theod. Nov. 94.

Ὥστε ἀκωλύτως ἐπιτροπεύειν τὰς μητέρας τῶν παίδων, εἰ καὶ ὑπευθύνους αὐτοὺς ἔχοιεν ἢ καὶ εἶεν αὐτοῖς ὑπεύθυνοι, καὶ μηδὲ ὅρκον ὑπεχούσας ὡς οὐ δευτερογαμοῦσιν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Ἔναγχος ἐγράψαμεν νόμον[1]) ἐπὶ τῇ τῶν νέων κηδεμονίᾳ τὰ περὶ αὐτοὺς γινόμενα κακουργήματα ἐκ τοῦ συχνοῦ τῶν δικῶν τῶν παρ' ἡμῖν κρινομένων εὑρίσκοντες, ὅπως ἂν μηδεὶς τῶν ὑπευθύνων ὄντων τοῖς νέοις ἢ ἔχειν αὐτοὺς ὑπευθύνους λεγόντων κηδεμονεύῃ, μή ποτε ἐπὶ τῆς ἐξουσίας τῶν πραγμάτων γινόμενος πράξειέ τι περὶ τὸν νέον κακούργημα. καὶ ὅ γε νόμος αὐτὸς κύριος ἡμῖν ἔστω καὶ ἐκ τοῦ παρόντος βεβαιούμενος.

α'. Ἐπειδὴ δὲ μητράσι βουλομέναις κήδεσθαι τῶν νέων καὶ αἰτούσαις κατὰ τοὺς παλαιούς τε καὶ ἡμετέρους νόμους τὴν κηδεμονίαν ὑπελθεῖν ἀντετέθη παρὰ τὸν ἡμέτερον σκοπὸν ὑπό τινων οὐκ ὀρθῶς ἡ τοιαύτη διάταξις, βουλόμεθα τοῦ νόμου τοῦ ταῦτα λέγοντος τῶν μητέρων ἐξαιρεῖσθαι τὰ πρόσωπα. πρῶτον μὲν γὰρ πρᾶγμα εἰσενηνεγμένον ὑπὲρ τῶν νέων ἀεὶ κωλῦσαι νῦν τῶν ἀτοπωτάτων ἡγούμεθα, ἔπειτα οὐκ ἄν τις τὴν αὐτὴν θοῖτο τάξιν τῇ τε μητρὶ τοῖς τε ἄλλοις. τὴν μὲν γὰρ φύσεως ἔρως εὐσεβὴς

1) Ven. notat: *περὶ τῆς οβ'* (nobis XCII) *νεαρᾶς φησιν. μέμνησο καὶ τοῦ λγ' κεφ. τῆς κβ' νεαρᾶς* (nobis const. XLVIII c. 40).

περὶ τοὺς παῖδας ἀνύποπτον ἀποτελεῖ τὰ πολλά, τοῖς δὲ οὐδεμίαν ἔχουσι πρὸς τοὺς παῖδας ἀνάγκην εὐνοίας εἰκότως οὐ παραβλητέα τὰ τῶν μητέρων ἐστίν. ὥστε ἄδεια ἔστω ταῖς μητράσι κατὰ τὴν ἀρχαίαν παρατήρησιν ἀποταττομέναις καὶ ὑποτιθεμέναις τὰ ἑαυτῶν πράγματα, καθάπερ πρότερον σχήματος ἦν, καὶ ἀντιλαμβάνεσθαι τῶν παίδων καὶ τὴν τοιαύτην παραγραφὴν μὴ δεδιέναι, ἀλλ' οὕτω τὰ ἐπ' αὐταῖς[2]) εἶναι, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐτύγχανεν ὁ νόμος ἐπὶ τούτῳ γεγραμμένος. ὥστε εἴτε προῖκας εἴτε προγαμιαίας ἀπαιτοῦσι δωρεὰς εἴτε ἕτερα ὀφλήματα ἔχουσιν εἴτε αἱ μητέρες πρὸς τοὺς νέους εἴτε οἱ νέοι πρὸς τὰς μητέρας, ἐκ πατρῴων ἴσως προφάσεων ἢ καὶ ἐξ οἰκείων (πολλὰ δὲ ἄν τις μεριμνῶν καὶ περισκοπῶν εὑρήσειεν), ἔστω ταῦτα ἑκατέρωθεν ἀκέραια κατὰ τὰς ἔμπροσθεν διατάξεις κρινόμενά τε καὶ πολιτευόμενα, εἴτε γνησίων εἴτε φυσικῶν ἡ μήτηρ παίδων ἐπιτροπεύει.

β'. Ἐπειδὴ δὲ πολλὴν ἔχομεν εὐλάβειαν τοῦ μὴ προχείρως ὅρκους κατὰ τοῦ μεγάλου θεοῦ δίδοσθαι καὶ τούτους παραβαίνεσθαι, διὰ τοῦτο ᾠήθημεν χρῆναι καὶ τοῦτον ἐπανορθῶσαι τὸν νόμον, ὃς βούλεται τὰς μητέρας ἐπειδὰν τῶν οἰκείων παίδων κηδεμονεύειν μέλλοιεν ὅρκον ὀμνύναι ὡς ἐπὶ δευτέρους οὐκ ἀφίξονται γάμους· καὶ τοσαυτάκις ἴσμεν παραβαθέντα τὸν νόμον, καὶ ὅρκον ἐπίορκον διδόμενον[3]) ὁσάκις σχεδὸν καὶ δέδοται, ὥστε ἁμάρτημα σαφέστατον εἶναι ὅτι τοῦτον ἐπάγομεν τὸν ὅρκον, ὃς ἐπειδὰν δοθῇ παραβαθήσεται. οὐ γὰρ ἐπειδή τινες ἐφύλαξαν τὸν ὅρκον, διὰ τοῦτο δεῖ καὶ τὰς ἀτιμαζούσας αὐτὸν ἔχειν πρόφασιν τῆς εἰς θεὸν ἀσεβείας. τὸ γὰρ σπανίως γινόμενον, καθὰ καὶ ἡ παλαιὰ λέγει σοφία, οὐ τηροῦσιν οἱ νομοθέται, ἀλλὰ τὸ γινόμενον ὡς ἐπίπαν[4]) καὶ ὁρῶσι καὶ θεραπεύουσι. διὰ τοῦτο τοίνυν

2) Ven. αὐτοῖς. 3) Ven. ἐπὶ ὅρκῳ δεδ. 4) Ven. ἐπεῖπαν.

θεσπίζομεν, τὴν μὲν ἄλλην ἅπασαν παρατήρησιν ἣν ἐπὶ τῶν μητέρων φυλάττομεν κρατεῖν κατὰ τὸ πρότερον σχῆμα, καὶ ἀποτάττεσθαι αὐτὰς καὶ τῷ Βελλιανείῳ δόγματι καὶ ἁπάσῃ βοηθείᾳ, καὶ ἅπαντα πράττειν ὁπόσα ἔμπροσθεν διώρισται, τὸν δὲ ὅρκον μὴ παρέχεσθαι, ἀλλ' ἀρκεῖσθαι τῇ ἀποτάξει μόνῃ τῶν τε ἄλλων ἁπάντων καὶ τῇ περὶ τῶν δευτέρων γάμων, οὐδενὸς ὅρκου περὶ τούτου διδομένου· ἅμα μέντοι τῷ δευτέροις αὐτὴν ὁμιλῆσαι γάμοις εὐθὺς ἐξωθεῖσθαι τῆς ἐπιτροπῆς, καὶ ταῦτα πράττεσθαι, ἅπερ εἰ καὶ ἔτυχεν ὀμωμοκυῖα ὑπέμενεν, ἅπαξ ἐν δικαστηρίῳ ψευσαμένη καὶ προτιμήσασα τῆς οἰκείας ὁμολογίας τε καὶ καταθέσεως τὰς δευτέρας ἐπιθυμίας.

Οὗτος τοίνυν ὁ νόμος ἐπ' εὐσεβείᾳ κείσθω (διὰ γὰρ τὸ μὴ ὑβρίζεσθαι κατά τι τὴν εἰς θεὸν τιμὴν ταῦτα ἡμῖν νενομοθέτηται) καὶ ἀπὸ τοῦ νῦν κρατείτω, τῆς σῆς ὑπεροχῆς φανερὸν ποιούσης τοῦτον τὸν νόμον ἐν ταῖς ἐπαρχίαις ἁπάσαις. ἐνταῦθα γὰρ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως, ᾧ τὰ τοιαῦτα μέλει, τὸν περὶ τούτων καταπέμψομεν νόμον, ὥστε προνοίᾳ αὐτοῦ τε καὶ τοῦ λαμπροτάτου πραίτωρος, ᾧ τούτου μέλει τοῦ μέρους, εἰς τὸν ἅπαντα χρόνον φυλάττεσθαι.[5]) *καὶ ἀπὸ τοῦ νῦν κρατείτω, ὥστε ἐπὶ πάσης ὀρφανικῆς οὐσίας πᾶσαν ἀσφάλειαν γίνεσθαι τῆς*[6]) *περὶ τὰ πράγματα τῶν νέων φυλακῆς, καὶ μάλιστα τοῦ σὺν ἀκριβείᾳ τὰς ἀπογραφὰς γίνεσθαι, παρόντος καὶ τοῦ λαμπροτάτου σκρίβα, ᾧπερ ἡ περὶ τῶν τοιούτων φροντὶς ἐπιτέτραπται, καὶ τῶν ἄλλων τῶν ἐξ ἔθους τοῖς τοιούτοις παραγινομένων, ἀκριβῶς τῶν τε ἐγγυῶν διδομένων καὶ πάντων πραττομένων, καθὰ τοῖς ἡμετέροις διηγόρευται νόμοις,*

5) Nempe hactenus exemplar ad Praef. Praet. directum; quae sequuntur exemplari ad Praef. Urbi adiicienda erant, ita ut epilogus in eo sic procederet: *Οὗτος τοίνυν ὁ νόμος ἐπ' εὐσεβείᾳ κείσθω (διὰ γὰρ τὸ μὴ ὑβρίζεσθαι κατά τι τὴν εἰς θεὸν τιμὴν ταῦτα ἡμῖν νενομοθέτηται) καὶ ἀπὸ τοῦ νῦν κρατείτω ὥστε κτλ.*
6) Articulum *τῆς* Ven. et Hal. ponunt post *τὰ πράγματα.*

προνοίᾳ τοῦ λαμπροτάτου πραίτωρος, ᾧ τούτου μέλει τοῦ μέρους. προθήσεις τε αὐτὸν αὐτὸς ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως, ὥστε ἅπασιν αὐτὸν εἶναι φανερὸν καὶ μηδένα διαλαθεῖν τὰ παρ' ἡμῶν νομοθετηθέντα. τὸν γὰρ περὶ τούτου νόμον, καθάπερ δεῖ[7]) ἐν ταῖς ἐπαρχίαις φυλάττεσθαι, τοῖς ἐνδοξοτάτοις ὑπάρχοις τῶν ἱερῶν ἡμῶν πραιτωρίων κατεπέμψαμεν. Dat. V. Id. Oct. imp. DN. Iustiniani PP. A. ann. XIII. Apione V. C. Cons.[8])

Auth. 94. **CXVII.** Nov. 95.

Particulae cap. 1 in Basil. VI, 3 8. 15. 40. — Summae: Iulian. c. 88, Athan. IV, 18 et Theod. Nov. 95. cf. etiam Bas. ed. Fabr. VI, 1, 49 et τὰς ῥοπὰς p. 31. IV, 1. XIII, 1.

Ὥστε τοὺς ἄρχοντας πεντήκοντα ἡμέρας μετὰ τὴν ἀρχὴν ἐν ταῖς ἐπαρχίαις διατρίβειν, εἴτε στρατιωτικὴν εἴτε πολιτικὴν ἔχοιεν ἀρχήν.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.

Ἤδη μὲν ἴσμεν κείμενον νόμον[1]) τὸν βουλόμενον τοὺς ἐν ἀρχαῖς γενομένους εἴτε πολιτικαῖς εἴτε στρατιωτικαῖς μηδὲ εἰ παύσοιντο τῆς ἀρχῆς ἀναχωρεῖν ἐκεῖθεν δύνασθαι πρὶν ἂν ἡμέρας πεντήκοντα ἐπὶ τῶν μητροπόλεων διατρίψαιεν δημοσίᾳ φαινόμενοι καὶ τοῖς ἐνάγειν βουλομένοις ἀπολογούμενοι, καὶ ὥστε μηδὲ κατὰ πρόφασιν τῆς ἐνταῦθα κλήσεως

7) Ven. καθάπαξ δή. 8) Subscriptio in Ven. deest. Refecimus eam ex Auth. Athan. (ιδ ὀκτωβρίω βασιλείας ἰουστινιανοῦ τὸ ιγ' ὑπατείᾳ ἀπίωνος) et Theod. (μηνὶ ὀκτωβρίῳ ἔτει τῆς βασιλείας ιδ' — lege ιγ' — ὑπατείᾳ ἀπίονος). cf. nota ult. ad c. CXIV.

1) Ven. adscribit βι. α' τοῦ κώδ. τί. μθ' διατ. α'. recte, licet etiam supra const. XVI c. 9 idem constitutum sit.

δύνασθαι τῆς ἐπαρχίας ἀναχωρεῖν, ἀλλὰ κἂν εἴ τι πράξειαν τοιοῦτο, αὖθις αὐτοὺς ἐπὶ τὴν χώραν ἐκπέμπεσθαι. εὕρομεν δέ τινας οὕτως ὄντας θρασεῖς, ὥστε καὶ τούτου κειμένου τοῦ νόμου πρὶν παύσοιντο τολμᾶν ἀπολιμπάνειν τὰς χώρας καὶ εἰς ταύτην ἀφικνεῖσθαι τὴν εὐδαίμονα πόλιν, δέει τῶν παρ' αὐτῶν πεπραγμένων καὶ ἵνα μὴ δίκας ὑπόσχοιεν ὧν ἐπλημμέλησαν.

α'. Θεσπίζομεν τοίνυν, μηδενὶ παντελῶς ἄδειαν εἶναι τῆς οἱασοῦν ἐπαρχίας ἄρχοντι, τῶν τε ἑῴων τῶν τε ἑσπερίων τῶν τε ἑκατέρωθεν, ταύτην ἀπολιμπάνειν πρὶν ἂν κατάθοιτο τὴν ἀρχὴν, ἀλλὰ καὶ μετὰ ταύτην (ἀνανεούμεθα γὰρ τὸ παλαιὸν) τὰς πεντήκοντα διατρίβειν ἡμέρας δημοσίᾳ φαινόμενον κατὰ τὴν χώραν ἧς ἦρξε, πρᾶξίν τε ὑπομνημάτων συνιστάναι καθ' ἣν ἀποφοιτᾷ τῆς χώρας ἡμέραν, ἵνα καθεστήκοι δῆλος, εἴτε θαῤῥεῖ τοῖς ἑαυτῷ πεπραγμένοις εἴτε καὶ μή. [§. 1.] *εἰ δέ τις ἢ ἀρχὴν ἄρχων τινὰ στρατιωτικὴν ἢ πολιτικὴν ἢ καὶ παυσάμενος ταύτης ἀπολίποι τὴν χώραν, ὁ μὲν ἄρχων ὁ ταύτην ἀπολείπων χωρὶς ἡμετέρας κελεύσεως αὐτὸς μὲν καθοσιώσεως ἔνοχος ἔστω, εἰς δὲ τὴν ἐπαρχίαν αὖθις ἐκπεμφθεὶς μετὰ τὸ τοῖς ἐγκαλοῦσιν ἀπολογήσασθαι τηνικαῦτα τῆς καθοσιώσεως τὰς εἰς ἔσχατον ὑπεχέτω ποινάς. εἰ δὲ καταθέμενος τὴν ἀρχὴν εἶτα μὴ διατρίψειε τὰς νενομισμένας ἡμέρας δημοσίᾳ πᾶσιν ἑαυτὸν ἐπιδεικνὺς, ἀλλὰ δραπετεύσειε*[2]) *τῆς χώρας, τὰ ἤδη παρ' ἡμῶν περὶ τούτου νενομοθετημένα κρατεῖν.*[3]) [§. 2.] *ἐκεῖνο δὲ ἅπασι προαγορεύομεν, ὥστε ἐπειδάν τινα παραλάβοιεν ἀρχὴν, ἀντέχεσθαι ταύτης, τοὺς δὲ διαδόχους αὐτοῦ τῆς ἀρχῆς γινομένους μὴ ὑπερορίως πέμπειν τὰ καλούμενα διατάγματα, μηδὲ παύειν μὲν τοὺς ἡγουμένους, αὐτοὺς δὲ κατὰ σχολὴν ἢ τὰς ὁδοιπορίας ποιεῖσθαι ἢ ἐνταυθοῖ διατρίβειν ἢ ἐπί τινας ἑτέρας πρότερον ἰέναι χώρας, πατρίδας τε ὀψο-*

2) Ven. *δραπετεύσει.* 3) *κρατεῖ?*

μένους καὶ ὅσα τοῖς εὐτυχοῦσί τε καὶ καταβλακευομένοις ἀνθρώποις συνήθη καθέστηκεν, ἀλλὰ θᾶττον ἐπὶ τὴν ἀρχὴν ἰέναι ἧς τὰς ἡνίας παρέλαβον, ὥστε μὴ[4]) τοὺς μὲν παύεσθαι τοὺς δὲ οὐκ εἶναι καὶ τὴν χώραν ἄναρχον μένειν. ἀλλὰ πρὸ δύο μόνων ἡμερῶν τοῦ τῆς ἐπαρχίας ἐπιβῆναι καθ' ἣν ὁ τὴν ἀρχὴν ἔχων ἐστὶ στέλλειν πρὸς αὐτὸν φιλίαν ἐπιστολὴν βουλομένην τὴν τάξιν ἐκπεμφθῆναι πρὸς ὑπάντησιν αὐτοῦ, καὶ μέχρι τότε τὰς σιτήσεις κομίζεσθαι τὸν ἐπὶ τῆς ἀρχῆς ὄντα καὶ διοικοῦντα ταύτην. καὶ μὴ τοῖς συμβόλοις τῆς ἀρχῆς κρίνεσθαι τὸν χρόνον μηδὲ ταῖς προστάξεσι τοῦ θρόνου τοῦ σοῦ, ἀλλ' ἀφ' οὗπερ ἂν ὡς εἴρηται τῆς χώρας αὐτὸς ἐπιβαίη ἐξ ἐκείνου λαμβάνειν τὰς δημοσίας σιτήσεις, μέχρι δὲ τότε τὸν ἐπὶ τῶν πραγμάτων ὄντα ταῦτα κομίζεσθαι καὶ ἕτερον μηδένα τῶν πάντων. οὐ γὰρ ἀνεκτὸν οὐδὲ φορητὸν, ὅλως ἄναρχον καταλιμπάνεσθαι τὴν χώραν, προβαλλομένου μέν τινος δῆθεν ὑπὸ τοῦ παρ' ἡμῶν χειροτονηθέντος, ὃς αὐτοῦ πληρώσει τὸν τόπον, ἀνδρὸς ἴσως πραγμάτων ἀνεπιστήμονος, τοῦ δὲ ἐν αὐτοῖς ὄντος τοῖς ἔργοις καὶ ἀποχωροῦντος τῆς χώρας πρὶν ἐπιστῆναι τὸν χρόνον καὶ ἀποστερουμένου τῶν σιτήσεων, ἃς αὐτὸν κομίζεσθαι χρὴ ἕως ἂν κατάθηται τὴν ἀρχήν. καταθήσεται δὲ αὐτὴν, ἡνίκα ὁ διάδοχος ἐπιβαίη[5]) τῇ χώρᾳ, δύο μόνον ἡμέραις ἔμπροσθεν τοῦ τῆς ἐπαρχίας ἐκεῖνον ἐπιβῆναι.

Ἅπερ ἅπαντα παραφυλάττεσθαι παρὰ τοῦ θρόνου τῆς σῆς ὑπεροχῆς εἰς τὸ διηνεκὲς βουλόμεθα, καὶ ἡνίκα ἂν μάθοις ἐπιστάντα αὐτὸν τῇ χώρᾳ, ἐξ ἐκείνου μετατιθέναι τὰς σιτήσεις εἰς τὸν διάδοχον, ἐπείτοιγε χορηγεῖν αὐτὰς τῷ προτέρῳ κατὰ τὸ παρ' ἡμῶν διατεταγμένον ἕως ἂν ἐπὶ τῆς χώρας ὁ διάδοχος ἐλθὼν ἑαυτὸν τοῖς ὑπηκόοις ἐπιδείξῃ. τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι

4) Ven. negationem omittit. 5) ἐπισταίη?

σπευσάτω. Dat. Kal. Nov. Const., imp. DN. Iustiniani PP. Aug. ann. XIII., Apione V. C. Cons.[6])

Nov. 96. **CXVIII.** Auth. 95.

Cap. 2 §. 1 est in Basil. VII, 4, 1. — Summas praestant Iulian. c. 89, Ath. V, 1, Theod. Nov. 96 et *οἱ ῥοπαί* 10, 2 et 14, 21.

Περὶ τῶν ἐκβιβαστῶν, καὶ τῶν αἰτιωμένων καὶ ἀνταιτιαθέντων καὶ δικαζομένων.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ καὶ πατρικίῳ.[1])

Ἐπειδὴ τὰς συκοφαντίας μισοῦμεν καὶ πᾶσαν πολυπραγμοσύνην ἀποστρεφόμεθα, διὰ τοῦτο τὰς τοιαύτας πράξεις τῆς ἐκ νόμων δεῖσθαι θεραπείας ᾠήθημεν. ἐδιδάχθημεν γάρ, ὥς τινες οὐκ ἔχοντες παντελῶς οὐδεμίαν ἐναγωγὴν, ἀλλὰ μίαν ἑλόμενοι γνώμην μετὰ τῶν τὰς ὑποθέσεις πληρούντων αἰτιῶνταί τινας, εἶτα καὶ βιβλία στέλλουσι, καὶ ἐπειδὰν ζημίαν ὑποσταῖεν οἱ φεύγοντες, καταλιμπάνουσιν αὐτοὺς καὶ ἐκδημοῦσιν ἀθεράπευτον αὐτοῖς δόντες τὴν βλάβην. καὶ τοῦτο εἰσέτι μᾶλλον ἐπὶ τῶν ἐπαρχιῶν ἁμαρτάνεται, κοινωνίας τῶν κερδῶν αὐτοῖς τε τοῖς αἰτιωμένοις καὶ τοῖς τῶν ὑποθέσεων πληρωταῖς γινομένης.

α΄. Ἵνα μὴ τοίνυν ταῦτα μέχρι παντὸς πλημμελῆται, θεσπίζομεν μὴ ἄλλως τοὺς ἐνάγοντας πέμπειν βιβλίον καὶ ζημίας ἀφορμὴν παρέχειν τοῖς ἐναγομένοις, πρὶν ἂν ἀσφά-

6) Subscriptionem, quam non habet Ven., ex Auth. Ath. et Theod. supplevi. quod autem Ath. habet V Kal. Nov. id reiiciendum puto, ne Iustinianus hanc const. V Kal. Nov. et post paucos dies ipsis Kal. Nov. sequentem const. promulgasse dicatur.

1) Ven. notat *βι. μθ΄ τί. η΄. διγ. α΄.*

λειαν ἔκθοιντο εἴς τε τὸν φεύγοντα καὶ τὸν τῆς ὑποθέσεως πληρωτήν, ὡς μηνῶν εἴσω δύο πᾶσι τρόποις προκατάρχονται παρὰ τῷ δικαστῇ, ἢ εἰ μὴ τοῦτο πράξαιεν, πᾶσαν ζημίαν προσγενομένην τῷ αἰτιαθέντι ἀποδιδόασι διπλασίονα, οὐχ ὑπερβαινούσης τῆς ἀσφαλείας ἓξ καὶ τριάκοντα χρυσούς.

β΄. Κἀκεῖνο μέντοι τῆς προσηκούσης τυχεῖν ἐπανορθώσεως δεῖ. προσῆλθε γάρ τις διδάσκων, ὡς ἐν αἰτίαις ἐποιήσατο τὸν ὑπεύθυνον τὸν αὐτοῦ παρά τινι τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων, εἶτα ὁ γενόμενος ἐν εὐθύναις ὡς δὴ καὶ αὐτὸς τὸν ἐνάγοντα ὑπεύθυνον ἔχων παρ᾽ ἑτέρῳ τοῦτον εἵλκυσε δικαστῇ. καί τι παράδοξον ἐγίνετο· ἐπειδὴ γὰρ ἑκάτερος ἰδίᾳ[2]) τὴν τοῦ ἐνάγοντος ἐπεῖχε τάξιν, ἐλεεινόν τι καὶ γελοῖον κατὰ τοῦτο συνέβαινεν. ἅμα γὰρ ἠβουλήθη τὶς τὴν οἰκείαν κινῆσαι δίκην, εὐθὺς ὁ ἀνταιτιασάμενος παρὰ θατέρῳ τῶν δικαστῶν εἷλκεν αὐτὸν παρ᾽ ὃν αὐτὸς ἐκληρώσατο δικαστήν, ἀλλήλους τε περιέλκοντες ἀθάνατα διέμενον δικαζόμενοι. [§. 1.] θεσπίζομεν τοίνυν, εἴ τις ὑπεύθυνον οἴεται ἔχειν τὸν κατ᾽ αὐτοῦ τὴν αἰτίασιν ἀποθέμενον, μὴ παρ᾽ ἑτέρῳ δικαστῇ, ἀλλὰ παρὰ τῷ αὐτῷ[3]) εὐθὺς ἐξ ἀρχῆς αἰτιᾶσθαι, καὶ τὸν αὐτὸν εἶναι δικαστὴν ἐφ᾽ ἑκατέρας ὑποθέσεως. εἰ δέ γε τυχὸν ἀπαρέσειεν αὐτῷ ὁ παρ᾽ ᾧ τὴν δίκην ἀπεκληρώσατο δικαστής, ἔξεστιν αὐτῷ καὶ τοῦτο ἐπανορθοῦσθαι. εἴκοσι γὰρ ἡμερῶν προθεσμίαν ἐνδόντων ἡμῶν[4]) μετὰ τὴν τοῦ βιβλίου πομπήν, μεθ᾽ ἣν δεῖ προκατάρχεσθαι, ἔξεστιν εἴσω τῆς εἰρημένης ἀνακωχῆς[5]) παραιτήσασθαι μὲν ἐκεῖνον, ἑτέρου δὲ τυχεῖν, παρ᾽ ᾧ πάλιν ὁμοίως ἑκατέραν ἀγωνίζεσθαι προσήκει δίκην, καὶ τὰς τοιαύτας τέχνας κατὰ μηδὲν γίνεσθαι, ἀλλ᾽ ἕκαστον τοῖς οἰκείοις

2) Ven. *ἰδίαν*. 3) Ven. *παρ᾽ αὐτῷ*. Ath. et Theod. *παρὰ τῷ αὐτῷ δικαστῇ*. 4) Const. LXXI c. 3 §. 1. 5) Hal. *ἀναβολῆς*. ita etiam Auth. habuisse videtur: Iulianus *relaxamentum* vertit.

χρῆσθαι δικαίοις. εἰ μέντοι σιγήσειεν, εἶτα ὕστερον βουληθείη τὴν δίκην παρ' ἑτέρῳ δικαστῇ κινεῖν, ἀνάγκην ἔχειν αὐτὸν ἀναμένειν τὸ πέρας τῆς δίκης τῆς ἐπαγομένης αὐτῷ παρὰ τοῦ εἰς δικαστήριον αὐτὸν ἑλκύσαντος, καὶ ἐπειδὰν πέρας ἡ δίκη λάβοι, τηνικαῦτα αὐτὸν τὴν οἰκείαν δίκην παρ' ἑτέρῳ δικαστῇ προτιθέναι, ἵνα οὕτω τὰς τοιαύτας αὐτῶν ἀνέλωμεν τέχνας τε καὶ κατ' ἀλλήλων ἐπηρείας.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. Kal. Nov. Const. imp. DN. Iustiniani anno XIII Apione V. C. Cons.[6])

Nov. 97. **CXIX.** Auth. 96.

Particulae habentur in Basil. XXIX, 2, 1 et XLI, 7, 38, nec non in Tractatu de creditis §. 3. — Summae: Iulian. c. 90, Athan. X, 6, Theod. Nov. 97. in Epitome ad Proch. mut. 8, 63 legitur summa cap. 5: *Ὁ πατὴρ ἣν ἀνέλαβεν ὑπὲρ τῆς θυγατρὸς προῖκα τοῦ γαμβροῦ τελευτήσαντος, ἀναγκαζέσθω καὶ δευτερογαμούσῃ ἀμειώτως ἐπιδοῦναι τῇ θυγατρί, πλὴν εἰ μὴ τυχηρὰν ὑποστὰς ἀποδειχθῇ περίστασιν ἀναγκάζουσαν αὐτὸν ἐλαττῶσαι τὴν προῖκα.*

Περὶ ἰσότητος προικός τε καὶ πρὸ γάμου δωρεᾶς. ἔχει δὲ καὶ ἄλλα κεφάλαια.

Ἐγράφη[1]) *Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων*[2]) *καὶ πατρικίῳ.*

Ἐπειδὴ τὰ πολλὰ τῶν ἐν τοῖς νόμοις ζητήσεων ὁρῶμεν περί τε τὰς πρώτας ἡμῶν γενέσεις τουτέστι γάμους τε καὶ παιδοποιΐας κινούμενα, περί τε τὰ τελευταῖα ὁποῖον δή τι τὸ τῶν βουλήσεών τε καὶ διαθηκῶν ἐστιν, ἔννοια γέγονεν ἡμῖν ἔναγχος πολυπραγμονῆσαι καὶ μαθεῖν, τί δήποτε βου-

6) Subscriptionem, quam Ven. omittit, praebuerunt Auth. Athan. et Theod.

1) Hal. *Ὁ αὐτὸς βασιλεύς.* 2) Adde *ὀρδιναρίῳ.*

λόμενος ἡμῖν ὁ παλαιὸς νόμος ἐπὶ τῶν τῆς προικὸς συμβολαίων τὸ μὲν μέτρον τῶν πρὸς ἀλλήλους ἐν τοῖς γάμοις συμφώνων ἶσον εἶναι τοῖς τε ἄῤῥεσι ταῖς τε θηλείαις βούλεται καὶ τὴν ἰσότητα ταλαντεύει τῶν ἀλλήλοις συμβαλλόντων, καὶ οὐχὶ τῷ μὲν τυχὸν τὴν ἡμίσειαν δίδωσιν ἐπερωτᾶν μοῖραν, θατέρῳ δὲ τρίτην ἢ τετάρτην, ἀλλ' ἐκ μέσης ἑλκύσας ἰσόῤῥοπον ἑκατέρωθεν ἀπαιτεῖ γενέσθαι τὸ σύμφωνον, ἢ τὴν ἡμίσειάν φαμεν ἐφ' ἑκατέρῳ τάττων ἢ τὴν τρίτην ἢ τὴν τετάρτην[3]) ὁπόσον[4]) ἂν οἱ συμβάλλοντες βουληθεῖεν, τοῦτο δὲ οὐ πολλῷ πρότερον ἐπεζήτησε τὸ καὶ αὐτῶν τῶν διδομένων ἶσον εἶναι τὸ μέτρον, ἀλλὰ τοῖς μὲν ἐφίησιν ἐν χιλίοις τυχὸν ἢ δισχιλίοις χρυσοῖς ποιήσασθαι τὴν ἐπίδοσιν ἢ ἐφ' ὁπόσοις ἂν βουληθεῖεν, τοῖς δὲ οὐ τοσοῦτον[5]) ἀλλ' ἐπ' ἔλαττον, ὥσπερ τῆς ἰσότητος ἐν ῥηματίοις μόνοις καὶ γράμμασι ψιλοῖς, ἀλλ' οὐκ ἐν τοῖς πράγμασιν αὐτοῖς ἐπιζητουμένης.

α'. Τοῦτο τοίνυν πρὸ τῶν ἄλλων ἁπάντων ἐπανορθοῦμεν, ὥστε ἶσα τὰ ἐν ταῖς προιξὶν εἶναι καὶ ταῖς περὶ τὸν γάμον δωρεαῖς τά τε τῶν ἐπιδεδομένων τά τε τῶν ἐπερωτήσεων σύμφωνα, καὶ τοσοῦτον μὲν ποσὸν καταγράφειν τὸν ἄνδρα ὁπόσον καὶ τὴν γυναῖκα, τοσοῦτον δὲ καὶ τὸ κέρδος ἐπερωτᾶν καὶ ἐκ τοσούτου μέρους ἐξ ὁπόσου βουληθεῖεν, ἰσομεροῦς μέντοι· οὐ γὰρ ἂν ἄλλως ὁ τῆς δικαιοσύνης τε καὶ ἰσότητος φυλαχθείη λόγος, εἴπερ[6]) ἐμπορικῶς ἀλλήλους περιγράφοιεν καὶ δοκοῖεν μὲν ἶσα ποιεῖσθαι τὰ ἐπερωτήματα, ταῖς δὲ ἀληθείαις ἄνισα μένοι[7]) τὰ ἀποτελέσματα μὴ πρότερον τῆς ποσότητος τῶν ἐπιδιδομένων τῆς αὐτῆς καθεστώσης, ἢ καταγέλαστος ἂν εἴη πανταχόθεν ὁ νόμος, εἰ ὁ μὲν γράψειε δισχιλίους χρυσοὺς, ἡ δὲ γυνὴ τυχὸν ἑξακισχιλίους εἰς προῖκα ἐπιδοίη, καὶ ἐπερωτήσαιεν ἀλλήλους τὸ τέταρτον τοῦ γραφέντος εἰς κέρδος λαβεῖν, εἶτα ἀποβάντος τοῦ κέρδους ἡ μὲν οὐδὲν ἕτερον κερδανεῖ πλὴν ἢ πεντακο-

3) Verba ἢ τὴν τετ. Ven. non habet. 4) ὁπόσην? 5) τοσούτῳ? 6) Hal. ἢ εἴπερ μή. 7) Ven. μένει.

σίους χρυσοὺς ἐκ τοῦ τετάρτου, ὁ δὲ χιλίους πεντακοσίους ἐκ τοῦ αὐτοῦ τετάρτου, καὶ ὡς ἐν αἰνίγματι πολλῷ φαίνοιτο τὸ τέταρτον θατέρου μεῖζον· ἐκ γὰρ ὑπούλου δῆθεν ἰσότητος ἄτοπος ἀνισότης αὐτόθεν ἀποτελεσθήσεται. τὰ μὲν οὖν ἔμπροσθεν τεθειμένα προικῷα καθ' ὃν συμπεφώνηται τρόπον ἐχέτω (καὶ γὰρ τὸ γενόμενον ἀγέννητον μένειν τῶν οὐκ ἐγχωρούντων ἐστὶ), τοῦ δὲ λοιποῦ ἐν πάσῃ τῇ ὑπηκόῳ θεσπίζομεν ἴσας μὲν εἶναι τὰς ἐπιδόσεις, ἶσα δὲ τὰ μέτρα τῶν κερδῶν συμφωνεῖσθαι, ἵνα διὰ πάντων δικαιοσύνην τε καὶ ἰσότητα τιμήσωμεν. εἰ γάρ τις μᾶλλον θατέρου πλουτοίη, ἔξεστιν αὐτῷ δι' ἑτέρου τρόπου νομίμου καὶ ἐγνωσμένου τοῖς ἡμετέροις νόμοις φιλανθρωπεύεσθαι περὶ τὸν ἕτερον, ἀλλ' οὐ διὰ τῆς ἀνισότητος ὑποδυομένης ἰσότητα τὸ κέρδος μεῖζον θατέρῳ περιποιεῖν. καὶ ὁ μὲν περὶ τούτου νόμος οὕτω πως ἐχέτω τὴν ἑαυτοῦ δικαιοσύνην ἅπασιν ἐνδεικνύμενος.

β'. Καὶ ἕτερον δέ τι τῶν περὶ τὰς γαμικὰς ἐπιδόσεις γινομένων ἐθεωρήσαμέν τε καὶ κατεσκεψάμεθα, φαμὲν δὲ τὸ περὶ τῆς ἐπαυξήσεως. ἐπειδὴ γὰρ καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις καὶ ἡμῖν αὐτοῖς τὰ περὶ τῶν ἐπαυξήσεων εἴρηται, πολλὰ δὲ παρ' ἡμῶν περὶ τῶν τοιούτων καὶ οὐδὲ ἀριθμηθῆναι ῥᾴδια κἀν τούτοις πρὸς τὸ παλαιὸν πεφιλοσόφηται, τὰς ἐπινοουμένας παρά τινων περιγραφὰς ἀναιροῦντες καὶ καθαρὰν τὴν δικαιοσύνην φυλάττεσθαι βουλόμενοι κἀκεῖνο ἐπανορθοῦμεν. προνόμιον γὰρ δεδώκαμεν ταῖς προιξὶν, ὥστε κατὰ τῶν πρεσβυτέρων ὑποθηκῶν ἔχειν τιμιώτερα δίκαια, οἷα τῶν συμβαλλόντων τοῖς ἀνδράσι ταῖς αὐτῶν πιστευσάντων περιουσίαις, ἀλλ' οὐ ταῖς τῶν γυναικῶν, τῶν γε ἴσως τότε μηδὲ ἡρμοσμένων τοῖς ἔμπροσθεν συμβάλλουσι· δεδώκαμεν δὲ ἄδειαν (τοῦτο δὴ τὸ παλαιὸν) καὶ ἐπαυξήσεις[8])

8) In prototypo ex quo Ven. descriptus est hic duo folia perverso ordine posita erant, ita ut post *ἐπαυξήσεις* sequeretur pagina aversa prioris folii (*γίνεσθαι παρ' αὐτῶν — εἰς ἀνδρὸς ἀγαγούσας οὐ μόνον*), eamque exciperet pagina prima eius folii

ποιεῖν ἐφέντες καὶ τῷ ἀνδρὶ καὶ τῇ γυναικί, εἴτε ἀμφότεροι βουληθεῖεν εἴτε καὶ τούτων θάτερος[9]) ποιεῖσθαι τὴν ἐπαύξησιν. πρῶτον μὲν οὖν ἐκεῖνο θεσπίζομεν διὰ τὸ μή τινα γίνεσθαι περιγραφήν, εἴπερ ἐπαυξῆσαι βουληθείη[10]) τὴν προῖκα ἢ τὴν διὰ τὸν γάμον δωρεάν, μὴ ἐξεῖναι τῷ μὲν τοῦτο ποιεῖν τῷ δὲ ἐπὶ τῶν προτέρων μένειν, ἀλλ' ἑκάτερον ποιεῖσθαι πάντως τὴν ἐπαύξησιν, καὶ μὴ ἐν αἱρέσει καθὰ πρότερον ἀλλ' ἐν ἀνάγκῃ τὸ πρᾶγμα καθεστάναι, πάντως μέντοι ποσότητος ἴσης, τοῦτο ὅπερ καὶ ἡ τοῦ ἡμετέρου λέγει πατρὸς διάταξις.[11]) καὶ ἵνα μὴ συμβαίη τὴν ἐπαύξησιν οὐκ αὐταῖς γίνεσθαι ταῖς ἀληθείας ἀλλ' ἐσχηματισμένην, καὶ μάλιστα ἐπὶ τοῦ μέρους τῆς γυναικός, ἵνα τοὺς τοῦ ἀνδρὸς δανειστὰς περιγράψειε τῷ προνομίῳ χρωμένη, εἰ μὲν ἔχοιεν ἑκατέρωθεν ἀκίνητα πράγματα, κάλλιον ἐν τοῖς ἀκινήτοις γίνεσθαι τὴν ἐπίδοσιν, ὅπως ἂν εἴη δῆλόν τε καὶ ἀναμφισβήτητον, τί μὲν τὸ ἐξ ἀρχῆς ἦν, τί δὲ ὕστερον προσγέγονεν· εἰ δὲ οὐχ ἑκατέρωθεν ἀκίνητα πράγματα εἴη, τὴν μὲν γυναῖκα πάντως διὰ ἀκινήτων πραγμάτων ποιεῖσθαι τὴν ἐπαύξησιν, ἵνα καὶ ἡ προὶξ καὶ ἡ ἐπαύξησις ὁμοίως ἔχῃ[12]) κατὰ τῶν προτέρων δανειστῶν τὸ προνόμιον πανταχόθεν ἀναμφισβητήτου τῆς προσθήκης οὔσης, ὁ δὲ ἀνὴρ καὶ ἐν κινητοῖς ποιείσθω τὴν ἐπαύξησιν· οὐδὲν γὰρ ἐν-

(ποιεῖν ἐφέντες — ὡς βούλονται τὰ τῶν ἐπαυξήσεων), deinde sequeretur pagina versa secundi folii (τῆς παιδὸς γάμους ἐλαττοὺν — μὴ πλεῖον) et sic denique prior pagina huius folii (οὐδὲ εἷς γίνεται — ἀφικνουμένης). librarius autem, qui Ven. exaravit, transpositionem non animadvertit sed haec ita ut in prototypo repererat descripsit. caeterum similem errorem supra deteximus c. XCVI not. 110. ibi quodvis folium prototypi lineis, quales textus impressus praestat, circiter 58 videbatur constare: hoc vero loco 64 eiusmodi lineas habuisse colligitur. unde Venetum non ex uno prototypo descriptum sed ex variis compilatum esse verisimile fit. 9) Ven. εἴτε ἐκ τούτ. ἕτερος. malim Hal. Bas. et Auth. sequi. 10) βουληθεῖεν? 11) l. 19 C. de don. ante nupt. 12) Ven. et Hal. ἔχει.

τεῦθεν ἀναφύεται βλάβος. εἰ δὲ ἡ γυνὴ ἀκίνητον οὐκ ἔχουσα περιουσίαν ἐν κινητοῖς γράψειε τὴν ἐπαύξησιν, ἴστω τὸ προνόμιον οὐχ ἕξουσα εἰ μὴ ἐπὶ τῆς ἀρχαίας[13]) μόνης προικὸς, οὐ μὴν ἐπὶ τῆς ἐσχηματισμένης ἴσως ἐπαυξήσεως. τὸ μὲν γὰρ ἐξ ἀρχῆς γενόμενον ὡς ἐπίπαν ἀνύποπτόν ἐστι, τὸ δὲ ὕστερον ἐπιτεχνώμενον τὴν κατὰ τῶν δανειστῶν αὐτόθεν εἰσάγει μελέτην, καὶ βλάπτεσθαι τοὺς ἀνθρώπους ἐκ τοῦ παρ' ἡμῶν ταῖς προιξὶ δεδομένου προνομίου κατ' οὐδένα τρόπον βουλόμεθα. εἰ δὲ οὐκ εἴη κατὰ τοῦ ἀνδρὸς χρέος οὐδὲν οὐδὲ ὑποψία τῆς[14]) κατὰ τῶν δανειστῶν περιγραφῆς, τότε καὶ ἐν χρήμασι καὶ ὡς βούλονται τὰ τῶν ἐπαυξήσεων γίνεσθαι παρ' αὐτῶν, ἑκατέρωθεν μέντοι τῆς ἐπαυξήσεως οὕτω γινομένης καὶ τὸ ἶσον ἐχούσης, ἵνα τὴν ἰσότητα φυλάξωμεν. ποία γὰρ ἂν εἴη τῆς περιγραφῆς ὑποψία, τοῦ ἀνδρὸς ὑπευθύνου μηδενὶ καθεστῶτος καὶ διὰ τοῦτο τῶν ἐπαυξήσεων ἀπραγμόνως γινομένων;

γ'. Τούτοις ἀκόλουθόν ἐστι κἀκεῖνο διορίσασθαι ἐπὶ θέμασι τοιούτοις ἀμφισβητηθέν. ἴσμεν καὶ τῶν πρεσβυτέρων δανειστῶν τινας ὑποθήκας περιγίνεσθαι νεωτέρας οὔσας ἐκ προνομίων ὑπὸ τῶν νόμων αὐταῖς δεδομένων, οἷον ὁπότε τὶς οἰκείοις χρήμασι παρασκευάσειε[15]) ναῦν ἢ ὠνηθῆναι ἢ κατασκευασθῆναι ἢ ἐπιμεληθῆναι, ἢ οἰκίαν τυχὸν οἰκοδομηθῆναι, ἢ καὶ[16]) ἀγρὸν κτηθῆναι ἤ τι τῶν ἄλλων· ἐπὶ γὰρ τούτων ἁπάντων κυριώτεροι καθεστήκασιν οἱ μεταγενέστεροι δανεισταὶ ὧν τοῖς χρήμασιν ἐκτήθη ἢ ἀνενεώθη τὰ πράγματα τῶν πολλῷ πρεσβυτέρων. ἐξητήθη τοίνυν, εἰ γυνὴ προτεινομένη τὸ προνόμιον τὸ ἐπὶ τῆς ἀρχαίας προικὸς ἢ τῆς προσαυξήσεως, ἐν ᾧ καὶ αὐτῇ[17]) φυλάττεται τὸ προνόμιον καθάπερ ἔμπροσθεν εἴρηται, εἶτα[18]) τῶν προτέρων

13) Ven. ἐπὶ τῆς ἐπ' ἀρχαίας. 14) Ven. τις. an τινός? 15) Ven. κατασκ. 16) Ven. ἢ ἀγρὸν omisso κτηθῆναι. 17) Scil. τῇ προσαυξήσει. Hal. τοῦτο. 18) Auth. εἰ pro εἶτα habuit. non male.

βούλοιτο κρατεῖν δανειστῶν, ἔλθοι δὲ καὶ ἕτερος δανειστὴς, μεταγενέστερος μὲν, προτεινόμενος δὲ τὸ τοῖς χρήμασι τοῖς αὐτοῦ ἐωνῆσθαι ἢ περιπεποιῆσθαι ἢ ναῦν ἢ οἰκίαν ἢ ἀγρὸν καὶ προσήκειν αὐτὸν ἐπὶ τούτοις τοῖς πράγμασι τοῖς διὰ τῶν αὐτοῦ χρημάτων κτηθεῖσιν ἢ περιποιηθεῖσιν ἔχειν τὸ εἰρημένον προνόμιον, πότερον δεῖ τὴν προῖκα καὶ τῶν τοιούτων προτιμᾶσθαι, ἢ τῶν μὲν ἄλλων κρατεῖν δανειστῶν ὅσοι μὴ τοιαῦτα προτείνονται, τούτοις δὲ παραχωρεῖν, ἐπειδήπερ ἐκ τῆς αὐτῶν περιουσίας τὸ πρᾶγμα περιγέγονε. πολλὰ τοίνυν ἐπὶ τούτοις βουλευσάμενοι, οὐχ εὕρομεν τὴν γυναῖκα δικαίαν οὖσαν παραχωρῆσαί τινι τοιούτῳ προνομίῳ. ἑωρῶμεν γὰρ τὸ ἐκ τοῦ πράγματος ἄτοπον, ὅτι ταῖς μὲν οὐκ εὖ γενομέναις γυναιξὶν ἐκ τοῦ οἰκείου σώματος προσέρχεται πόρος καὶ ἀποζῶσιν ἐντεῦθεν, ταῖς δὲ εὖ τεθραμμέναις καὶ ἑαυτάς τε καὶ τὴν οὐσίαν εἰς ἀνδρὸς ἀγαγούσαις οὐ μόνον οὐδὲ εἷς γίνεται πόρος παρὰ τῶν κακῶς διαγινομένων ἀνδρῶν, ἀλλ' ἤδη καὶ ἐλαττοῦνται καὶ ἐστὶν αὐταῖς ἐλπὶς οὐδεμία. ὥστε κατὰ ταῦτα βουλόμεθα, κἂν εἴ τις ἀγρὸν δόξειε δῆθεν ἄλλου χρήμασιν ὠνήσασθαι, κἂν εἴ τις οἰκίαν ἀνανεῶσαι ἢ καὶ χωρίον[19]), μὴ δύνασθαι τὰ τοιαῦτα προνόμια ταῖς γυναιξὶν ἀντιτίθεσθαι. τὸ μὲν γὰρ ἀσθενὲς τῆς γυναικείας φύσεως καὶ σφόδρα ἐπιστάμεθα καὶ ὡς εὐκόλως περιγραφαὶ γίνονται κατ' αὐτῶν, ἐλαττοῦσθαι δὲ αὐταῖς τὴν προῖκα κατ' οὐδένα συγχωροῦμεν τρόπον, ἱκανὸν ὂν ὅτι τῶν κερδῶν ἐκπίπτουσιν, εἴγε προγενέστερα τῆς πρὸ γάμου δωρεᾶς εὑρεθείη, καὶ ἱκανόν τι καθέστηκεν αὐταῖς ἡ ἐντεῦθεν ζημία, οὐ μὴν αὐτὰς βουλόμεθα καὶ περὶ αὐτὴν τὴν προῖκα κινδυνεύειν.

δ'. Ἐπειδὴ δὲ καὶ τοιαῦταί τινες προσελεύσεις ἡμῖν γεγόνασιν, ὥς τινες τοῖς ἑτέρων στρατεύονται χρήμασι καὶ δεῖ τοὺς εἰς ταύτας δανείσαντας τὰς αἰτίας προτιμᾶσθαι,

19) Forte supplendum κτήσασθαι.

θεσπίζομεν, εἴ τις ταῖς ἀληθείαις δοίη χρυσίον προφάσει στρατείας ἢ τοῦ στατοῦτον γενέσθαι τὸν παῖδα ἢ κατ' ἄλλας τινὰς τοιαύτας αἰτίας, καὶ ῥητῶς αὐτὸ τοῦτο ἐγγραφείη τῷ συμβολαίῳ, καὶ ἐπὶ τούτῳ γένηται σύμφωνον ὥστε τοῦ κάσου[20]) *γινομένου κυριώτερον εἶναι μόνον τὸν ἐπὶ τούτῳ δανείσαντα, τούτῳ μόνῳ τῷ θέματι παραχωρεῖν τὴν γυναῖκα, μηδὲ αὐτῷ προχείρως πιστευομένῳ μηδὲ διὰ μαρτύρων, ἀλλὰ τοῦ πράγματος καὶ ἐγγράφως πραττομένου καὶ μαρτύρων ἔχοντος ὑπογραφὰς καὶ αὐτῷ τῷ ἔργῳ προβαίνοντος. τότε γὰρ εἰ διὰ πάσης τῆς τοιαύτης ὁδοῦ τὸ πρᾶγμα προέλθοι, τὸ ἀνύποπτον ἔχει, καὶ προσήκει καὶ τοὺς οὕτω συμβάλλοντας μὴ τῶν οἰκείων ἀποστερεῖσθαι· τῶν δὲ ἄλλων ἁπάντων κρατεῖν τὴν γυναῖκα κατὰ τὸ ἤδη παρ' ἡμῶν αὐταῖς δεδομένον προνόμιον.*

ε'. Ἐπειδὴ δὲ ἤδη νόμον[21]) *ἐγράψαμεν, ὥστε τὸν πατέρα ἅπαξ ἐπιδόντα προῖκα ὑπὲρ θυγατρὸς ὑπεξουσίας, ἢ αὐτεξουσίας μὲν, τὴν δὲ ἐπανάδοσιν εἰς ἑαυτὸν πεποιηκότα*[22])*, ἐζητήθη παρά τισιν, εἰ προσῆκόν ἐστι τελευτήσαντος τοῦ γαμβροῦ καὶ ἐπανελθούσης εἰς τὸν πατέρα τῆς παρ' αὐτοῦ δεδομένης προικὸς ταύτην τὸν πατέρα τὸν ἅπαξ ἐπιδεδωκότα δύνασθαι εἰς δευτέρους ἀφικνουμένης τῆς παιδὸς γάμους ἐλαττοῦν, ἢ τοῦτο μὴ ποιεῖν ἐνθυμούμενον ὡς ἅπαξ ἐκπεποίηται τῆς αὐτοῦ περιουσίας, ἀλλ' αὐτὸ τὸ μέτρον*[23]) *αὐτῇ γαμουμένῃ πάλιν διδόναι, ὥσπερ ἂν εἰ μηδὲ ἔτυχε χηρεύσασα; τοῦτο γὰρ νῦν ἡμῖν προσηγγέλθη, ὅτι τριάκοντα χρυσίου λιτρῶν πατήρ τις ἐπέδωκε προῖκα, εἶτα τῆς θυγατρὸς χηρευθείσης καὶ δευτέροις ὁμιλησάσης γάμοις οὐκ ἔτι τὰς τριάκοντα ταύτας ἐπιδέδωκεν, ἀλλὰ πεντεκαίδεκα*

20) De casu mortis sermo est. 21) l. 1 §. 13. 14 C. de R. U. act. 5, 13? 22) Hal. *ποιουμένην.* manifesto aliquid excidit, licet nec in Ven. neque apud Hal. nec in Auth. vel Basil. lacunae signum sit. 23) Ven. *αὐτῷ τῷ μέτρῳ.* certe *τῷ αὐτῷ μέτρῳ* scribendum erat.

μόνον, ἐπειδήπερ ἔτυχεν ἡ γυνὴ κερδάνασα τὸ ἥμισυ τῆς προγαμιαίας δωρεᾶς μέρος ἐν πεντεκαίδεκα χρυσίου λίτραις ὂν, καὶ ὁ πατὴρ οὐκ ἔτι ἐκ τῶν ἑαυτοῦ τὰς τριάκοντα ἐπιδέδωκε λίτρας, ἀλλὰ πεντεκαίδεκα μὲν αὐτὸς, πεντεκαίδεκα δὲ ἐκ τοῦ κέρδους τῆς γυναικός. οὐ δίκαιον τοίνυν ἡγησάμεθα τοῦτο καθεστάναι, ἀλλ' ὁμοίως ἐν τῇ διανομῇ ἔχειν μὲν αὐτὴν ἐξαίρετον τὸ τῆς προγαμιαίας δωρεᾶς κέρδος, ἐκ δὲ τῶν πατρῴων τὰς πεντεκαίδεκα λαβεῖν τὰς λειπομένας, ὡς σπεύσαντος[24]) τοῦ πατρὸς ἀδικῆσαι τὴν θυγατέρα. τί γὰρ ἂν ἔπραξεν, εἰ μὴ συνέβη δευτέροις αὐτὴν ὁμιλῆσαι γάμοις, ἀλλὰ μεῖναι τὸν αὐτοῦ γαμβρὸν περιόντα; ἢ πῶς ἤμελλεν ἐλαττοῦν τὴν προῖκα τὴν ἤδη παρ' αὐτοῦ δεδομένην, ἢ τὸ ἴδιον αὐτῆς κέρδος οἰκειοῦσθαι καὶ εἰς προῖκα τοῦ δευτέρου ἀνδρὸς ἄγειν; καίτοι δέον αὐτὴν ἐν παραφέρνοις ταῦτα ἔχειν, καὶ ἴσως διὰ ταύτην τὴν αἰτίαν εὐπορωτέρῳ συνοικεῖν ἀνδρὶ, οὐ μόνον τριάκοντα λιτρῶν κυρίαν γινομένην, τῶν πεντεκαίδεκα τῆς προγαμιαίας δωρεᾶς καὶ τῶν πεντεκαίδεκα τῶν παρὰ τοῦ πατρὸς ἐπιδεδομένων, ἀλλὰ[25]) τοῦ μὲν ἐν παραφέρνοις αὐτῇ καθεστῶτος τοῦ παρὰ τῆς τύχης αὐτῇ δεδομένου κέρδους, τοῦ δὲ ἐκ φιλοτιμίας πατρῴας ἐπιδεδομένου καταμένοντος[26]) ἀκεραίου. ταῦτα δὲ νομοθετοῦμεν, εἴπερ καὶ ἡ τοῦ πατρὸς περιουσία μείνοι ἐπὶ τοῦ αὐτοῦ σχήματος, ἐφ' οὗπερ πρότερον ἦν. εἰ γὰρ τυχηρά τις περίστασις ἐλαττώσειεν αὐτῷ τὴν οὐσίαν, ὥστε μηδὲ βουλομένῳ γενέσθαι δυνατὸν ἰσόμετρον τῇ προτέρᾳ δοῦναι πάλιν προῖκα, καὶ ἀποδεικνύοιτο σαφῶς τὰ τῆς τυχηρᾶς ἐλαττώσεως τῆς οὐσίας τοῦ πατρὸς, τηνικαῦτα μὴ πλεῖον ἀναγκάζεσθαι τὸν πατέρα[27]) διδόναι δὶς τὴν θυγατέρα ζευγνύντα, εἰ μὴ καθ' ὅσον ἡ τῆς περι-

24) Ven. πεύσ. 25) Hal. cum Auth. ἀλλὰ πέντε καὶ τεσσαράκοντα. Bas. cum Ven. faciunt. 26) Ven. et Bas. καὶ μένοντος. 27) Ita Hal. Bas. Auth. in Ven. verba τὸν πατ. desunt.

ουσίας αὐτοῦ δύναται δύναμις. ἀλλὰ τὸ μὲν κέρδος τῆς προτέρας προγαμιαίας δωρεᾶς ἔχειν ἀκέραιον, τοσαύτην δὲ λαμβάνειν παρὰ τοῦ πατρὸς κατὰ δευτέραν τάξιν προῖκα, ὁπόσην ἂν τὸ τῆς οὐσίας αὐτοῦ μέτρον ὑπογράψειε.[28]) πρόδηλον γάρ, ὡς τοῦτο τὸ κέρδος (τὸ ἐκ τῆς προγαμιαίας δωρεᾶς φαμεν οὗπερ μόνην αὐτῷ τὴν χρῆσιν δίδομεν) ἐκ πάσης ἀνάγκης τελευτῶν ἀποκαταστήσει τῇ παιδί, τῇ καὶ τῆς δεσποτείας τῆς προγαμιαίας δωρεᾶς κυρίᾳ πᾶσι τρόποις γινομένῃ.

ς'. Κἀκεῖνο δὲ νομοθετῆσαι τῶν ἀναγκαιοτάτων ἡγούμεθα ἐν πολλοῖς καὶ ἀμυθήτοις πράγμασι ζητούμενον. ἐπιδέδωκε γὰρ πατὴρ προῖκα ἢ μήτηρ τυχὸν ὑπὲρ παιδὸς οἰκείας, ἡ δὲ ταύτην ἐπιδέδωκε τῷ ἀνδρὶ καὶ ἐτελεύτησεν ὁ ἀνὴρ ἄπορος. εἶτα τοῦ πατρὸς ἢ τῆς μητρὸς τελευτησάντων ἀπαιτεῖται καὶ ἡ γήμασα συνεισενεγκεῖν τὴν ἑαυτῆς προῖκα ἢ παρὰ τοσοῦτον λαβεῖν. εἰ μὲν οὖν ὁ ἀνὴρ εὐπόρως ἔχοι, τὸ πρᾶγμα πανταχόθεν εὔλυτόν ἐστιν· εἰ δὲ οὐδενὸς ἑτέρου κυρία καθέστηκεν ἐκείνη πλὴν ἢ τῶν ἀγωγῶν τῶν κατὰ τοῦ ἀνδρὸς, αἱ δὲ ἄποροι καθεστήκασι, καὶ ἀντιτίθοιτο τῇ γυναικὶ ὡς ἤδη ἐπιδέδοται προὶξ ὑπὲρ αὐτῆς, ἡ δὲ τὴν ἀγωγὴν συνεισφέροι μηδὲν ἔχουσαν παντελῶς ἀποτέλεσμα, νόμου τὸ πρᾶγμα ἡμῖν ἄξιον ἐνομίσθη. καὶ ἴσμεν ἤδη ἐν πολλαῖς κρίσεσιν ἀπηνέστερον αὐτὸ κριθὲν, καὶ τὴν γυναῖκα ἀναγκασθεῖσαν συνεισενεγκεῖν τὴν προῖκα ἤτοι λογίσασθαι τὴν ὑπὲρ αὐτῆς δεδομένην, ἐξ ἧς οὐδὲν αὐτῇ γέγονε παντελῶς ἀποτέλεσμα ἐν αὐτοῖς τοῖς πράγμασιν ἀπολαβεῖν· ἡμεῖς δὲ ἐξ ἑτέρων νόμων βοηθοῦμεν τῷ πράγματι. ἐπειδὴ γὰρ δεδώκαμεν ταῖς γυναιξὶν αἵρεσιν καὶ συνεστῶτος τοῦ γάμου, εἰ κακῶς τὰ πράγματα ὁ ἀνὴρ διοικοίη, λαμβάνειν αὐτὰ καὶ διοικεῖν κατὰ τὸν πρέποντα τρόπον καὶ καθάπερ ἡ ἡμετέρα λέγει διάταξις[29]), εἰ μὲν αὐτεξουσία καὶ τελεία τὴν ἡλικίαν

28) ἐπιτρέψειε? 29) l. 29 C. de iure dot. 5, 12.

ἡ γυνὴ καθεστήκοι, ἑαυτῇ μέμψιν ἐπαγέτω, τί δήποτε ἄρτι τοῦ ἀνδρὸς ἀρξαμένου κακῶς τῇ περιουσίᾳ χρῆσθαι μὴ καὶ ἀντελάβετο καὶ ἐβοήθησεν ἑαυτῇ· οὕτω γὰρ ἂν ἔμελλεν ἔχειν ἐν τῷ τῆς συνεισφορᾶς λόγῳ τὰ οἰκεῖα πράγματα πανταχόθεν ἀμείωτα καὶ ἐν τῷ παρὰ τοσοῦτον τὴν συνεισφορὰν ποιεῖσθαι. [§. 1.] εἰ δὲ ὑπεξουσία καθεστήκοι καὶ γνώμης τοῦ πατρὸς χωρὶς τοῦτο πράττειν οὐ δύναιτο, εἰ μὲν προσελθοῦσα τῷ πατρὶ ταῦτα εἶπέ τε καὶ ἐξεμαρτύρατο, ὥστε συναινέσαι αὐτῇ καὶ τὰ πράγματα λαβεῖν[30]) καὶ συνεστῶτος ἔτι τοῦ γάμου καὶ τοῖς δευτέροις αὐτὰ καιροῖς φυλάξαι, καὶ τοῦτο ἔπραξεν ὁ πατὴρ, πάλιν κἀντεῦθεν ἀκέραια τὰ οἰκεῖα ἕξει δίκαια τῶν πραγμάτων αὐτῇ πεφυλαγμένων, ὅπου γε καὶ τὰ τῆς προγαμιαίας δωρεᾶς πράγματα ἐκδικεῖν καὶ ἐν συνεστῶτι τῷ γάμῳ δεδώκαμεν αὐτῇ καὶ τοῦ μετὰ ταῦτα κινδύνου παντὸς ἀπηλλάχθαι. εἰ δὲ ἡ μὲν ταῦτα ἐξεμαρτύρατο τὸν πατέρα, ὁ δὲ οὔτε ἐκίνησεν οὔτε συνῄνεσεν καὶ οὐδὲ δέδωκεν ἄδειαν τῇ θυγατρὶ πρᾶξαι τοῦτο, μὴ κινδυνεύειν αὐτὴν, ἀλλὰ καὶ συνεισφέρεσθαι γυμνὴν τὴν ἀγωγὴν τὴν κατὰ τῶν τοῦ ἀπόρου ἀνδρὸς πραγμάτων, καὶ τὴν τύχην εἶναι κοινὴν αὐτῇ τε καὶ τοῖς αὐτῆς ἀδελφοῖς, μὴ μέντοι ἐκ τῆς συνεισφορᾶς ζημιοῦσθαι, ἀλλὰ τὴν ἐπιβάλλουσαν αὐτῇ μοῖραν δίδοσθαι ἐκ τῶν πατρῴων πραγμάτων, τῆς ἀγωγῆς παρ'[31]) ἐκείνης συνεισφερομένης μὲν, παρὰ πάντων δὲ κινουμένης τῶν ἀδελφῶν, καὶ τούτου περιγινομένου ἅπασιν αὐτοῖς ὅπερ ἂν ἡ τῆς τύχης ἔκβασις δοίη. ἀλλ' εἰ μὲν ὁ πατὴρ ἐπὶ τῶν τοιούτων θεμάτων ἐπιδοίη τὴν προῖκα, καὶ περὶ τῆς αὐτοῦ περιουσίας ἐλπίζεσθαι τὰ τῆς συνεισφορᾶς μέλλοι, τοῦτο κρατεῖν. εἰ δὲ μείζων[32]) τυχὸν ἡ ἐπίδοσις εἴη,

30) λαβεῖν omittit Ven. 31) Ita Hal. in notis consentiente Auth. Ven. omittit praepositionem. 32) Ita legunt Ven. Hal. Basil., iisque consentiunt Iulian. et Auth. — Athanasius autem et Theod. legisse videntur εἰ δὲ μητρὸς τυχὸν ἡ ἐπιδ. εἴη. ii tamen illud μητρὸς τυχὸν perperam ita intelligunt,

καὶ ἡ συνεισφορὰ περὶ ἐκείνην στρέφεται την ἐλπίδα, ἐκ[33]) *τῆς τοῦ πατρὸς ἀπειθείας τοῦ μήτε κινῆσαι βουληθέντος μήτε ἐπιτρέψαι αὐτῇ κινῆσαι τηνικαῦτα αὐτὴν καθ' ἑαυτὴν*[34]) *τὴν θυγατέρα κινεῖν καὶ μὴ ἔχειν πρόφασιν τὸ μὴ δυνηθῆναι κινῆσαι, ἀλλ' ἑαυτῇ τε βοηθῆσαι καὶ τὸ ἐσόμενον ἐπὶ τῇ ἀπορίᾳ τοῦ ἀνδρὸς ἀποπέμψασθαι δέος. καὶ ἴσμεν καὶ Οὐλπιανὸν τὸν σοφώτατον*[35]) *τὰ τοιαῦτα ζητήσαντα καὶ ἀπόρου τοῦ ἀνδρὸς εὑρεθέντος βοηθήσαντα τῇ γυναικὶ, καὶ εἰς ὅσον ὁ ἀνὴρ εὐπορεῖ τὴν συνεισφορὰν αὐτῇ γενέσθαι βουλόμενον.* [§. 2.] *ἀλλ' ἐπειδήπερ ἐν πλήθει τῶν νόμων ὄντων πρὶν αὐτοὺς καταστήσαιμεν καὶ εἰς εὐσύνοπτον ἀγάγοιμεν τάξιν πολλὰ καὶ τῶν ἀναγκαίων ἠγνοεῖτο καὶ ψῆφοι τἀναντία βουλόμεναι παρὰ τῶν δικαστῶν ἐτέθησαν, ἵνα μή τις ἐξαπάτη περὶ ταῦτα γένοιτο, διὰ τοῦτο ἀναγκαῖον ἐνομίσαμεν, ἄλλως τε καὶ ἐν μέσῳ τῆς ἡμετέρας τεθείσης διατάξεως τῆς καὶ συνεστώτων τῶν γάμων τῇ γυναικὶ βοηθούσης, ἐπὶ καλλίονα καὶ μᾶλλον ἀκόλουθον ὁδὸν ἐλθόντες*[36]) *τὸν παρόντα θέσθαι νόμον. ἵνα δὲ μὴ κατὰ μέρος ἐξαριθμούμεθα τὰ πρόσωπα ἐφ' ὧν κρατεῖν αὐτὸν δεῖ, γενικῷ λόγῳ διορίζομεν, ὥστε ἐφ' ὧν ἐστὶν ὁ τῆς συνεισφορᾶς λόγος, ἐπὶ τούτων καὶ τὴν διάταξιν κρατεῖν,*

quasi mater exempli gratia appelletur, ut proinde et si alius praeter matrem dotem dederit, idem valeret. et me quidem iudice *μητρὸς* pro *μείζων* reponendum et mox *περὶ ἐκείνης* legendum est. Theodorus verba *περὶ ἐκείνην — τὴν ἐλπίδα* ex superioribus interpretatur, scil. *εἰ περὶ τῆς τοῦ πατρὸς περιουσίας ἐλπίζεσθαι τὰ τῆς συνεισφορᾶς μέλλοι.* verum enimvero de collatione dotis a matre extraneove datae in hereditate patris facienda sermo neutiquam esse potest. Athanasius lectionem *περὶ ἐκείνην* similiter tuetur, sed verba textus retinendo significat quam fuerit ipsi dubius eorum sensus. 33) Ven. *ἐκ δὲ τῆς.* si *δὲ* sustuleris, non erit opus lacunam cum Osenbr. post *αὐτῇ κινῆσαι* statuere. 34) Verba *καθ' ἑαυτὴν* Ven. omittit. 35) l. 24 pr. D. soluto matrim. 24, 3. fortasse verba *καὶ ἴσμεν — τῇ γυναικὶ* parenthesin efficiunt, et pro *βουλόμενα* legendum *βουλόμεθα.* 36) *ἐλθόντας?*

εἴτε πατὴρ εἴτε πάππος εἴτε μήτηρ εἴτε μάμμη εἴτε τῶν ἀνωτέρω τὶ καθεστήκοι προσώπων.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ διὰ προσταγμάτων[37]) οἰκείων φανερὰ πᾶσι γενέσθαι κατὰ τὸ σύνηθες παρασκευασάτω, καὶ εἰς τὸ διηνεκὲς παραφυλάττειν σπευσάτω. Dat. XV.[38]) Kal. Decemb. CP. DN. Iustiniano PP. Aug. ann. XIII Apione V. C. Cons.

Auth. 99. **CXX.** Nov. 98.

In Flor. deest. — Summas habent Iulian. c. 91, Athan. X, 7, Theod. Nov. 98.

Ἡ διάταξις, ὥστε μηδὲ τὸν ἄνδρα τὸ[1]) ἐκ τῆς προικὸς μηδὲ τὴν γυναῖκα τὸ ἐκ τῆς πρὸ γάμου δωρεᾶς κέρδος οἰκειοῦσθαι, ἀλλὰ φυλάττειν τὴν δεσποτείαν τοῖς ἑαυτῶν παισὶ, κἂν εἰς δευτέρους μὴ ἀφίκοιντο γάμους.

Ἐγράφη Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τὸ δεύτερον ἀπὸ ὑπάτων[2]) καὶ πατρικίῳ.

Τὰ μὲν ἀεὶ καὶ ὡσαύτως ἔχοντα νόμων οὐ δεῖται ποικίλων, τὸ ἁπλοῦν τε καὶ πάσης ποικιλίας ἀμιγὲς διηνεκῶς κεκτημένα καὶ χρώμενα νόμοις αἰωνίοις τε καὶ θείοις καὶ οὐδεμιᾶς ἐπανορθώσεως δεομένοις· τὸ δὲ καθ' ἡμᾶς ἐν τῇ τῆς παλιῤῥοίας ἀπειλημμένον ταραχῇ κυβερνητικῆς δεῖται σοφίας ἐκ τῶν νόμων ἐπιγινομένης τοῖς πράγμασιν. ὥστε ἐπειδήπερ οὐδὲ δικάζειν ὀκνοῦσι πολλαὶ προσίασι δίκαι, τὸ μὲν καθ' ἕκαστον ἰώμεθα, ἀπολαμβάνοντες δὲ ἑκάστην ζήτησιν ἀμφισβητουμένην ἑαυτοῖς τε καὶ τοῖς δικασταῖς τοῖς ἡμετέροις διὰ νομοθετικῆς[2a]) ἃ χρὴ πράττειν γενικῶς ἐφ'

37) Hal. cum Auth. προγραμμάτων. forte rectius. 38) Numerum XV non habet Athan. uti nec Auth.

1) Ven. τά. 2) Adde ὀρδιναρίῳ. 2[a]) Scil. σοφίας?

ἑκάστῃ τῶν ζητήσεων ἀποτιθέμεθα. τοιγαροῦν ἐκεῖνο πρὸ τῶν ἄλλων ἔδοξε μὲν ἴσως εἶναι τοῖς πάλαι νενομοθετημένοις οὐκ ἄνευ τινὸς διαιρέσεως, ἡμῖν δὲ ἐνομίσθη καλῶς ἔχειν σώφρονι νόμῳ πρὸς ἁπλότητα τὸ πρᾶγμα μεταγαγεῖν, ἐκ τοῦ νῦν ἀρχομένῳ καὶ οὐδὲν περιεργαζομένῳ τῶν ἔμπροσθεν πεπραγμένων, διότι καὶ ἡμῖν αὐτοῖς πρῴην οὐκ ἀπαρεσκομένοις τοῖς περὶ τούτου νόμοις ἔδοξε τὰ δεύτερα καλλίω. τῶν γὰρ γαμικῶν κερδῶν, εἰ μέν τις τῶν συνοικούντων φυλάξειε τὴν εὐνὴν, μενόντων παρ' αὐτοῖς ἰσχυρῶς καὶ ταῖς ἑαυτῶν περιουσίαις ἐμπηγνυμένων, εἰ δὲ ἔλθοιεν εἰς ἑτέρου προσώπου συνάφειαν[3]), *τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ φυλαττομένων, ἁπλῷ τινι καὶ καλλίονι νόμῳ τὴν διπλόην ταύτην ἔδοξεν ἀνελεῖν. εἰ γὰρ δευτέροις ὁμιλήσασα γάμοις γυνὴ ἢ καὶ ἀνὴρ τυχὸν εἰς δεύτερον ἰδὼν συνοικέσιον τὰ ἐκ τελευτῆς κερδανθέντα καὶ τὰ ἐκ ῥεπουδίου φυλάττει τοῖς παισὶ (καὶ ἑτέρων ἴσως ἐσομένων αὐτοῖς παίδων ἐκ τῶν ἔπειτα γάμων), ποῦ δίκαιόν ἐστι τοὺς ἐπὶ μόνοις τοῖς παισὶ τοῖς ἐκ τοῦ νόμου*[3a]) *σαλεύοντας μὴ φυλάττειν αὐτοῖς τὰ κέρδη τὰ ἐκ τῶν τετελευτηκότων αὐτῶν γονέων, ἀλλ' ἑτέροις αὐτὰ παραπέμπειν; καίτοι τί ἂν γένοιτο τιμιώτερον παίδων παρὰ γονέων οὐκ ἀχαριστουμένων;*

α'. Διὰ τοῦτο τοίνυν θεσπίζομεν, εἰ γυνὴ τελευτήσειε καὶ συμβαίη κέρδος γενέσθαι τῷ ἀνδρὶ τὴν προῖκα, ταύτην πάντως φυλάττεσθαι τοῖς παισὶν, εἴτε δευτέροις ὁμιλήσειε γάμοις εἴτε καὶ μὴ, καὶ τοὐναντίον εἰ τελευτήσειεν ὁ ἀνὴρ ἡ γυνὴ δὲ τῆς προγαμιαίας δωρεᾶς ἀπολαύσειε, καὶ αὐτὴν πᾶσι τρόποις φυλάττειν τὰ ἐκ τῆς προγαμιαίας δωρεᾶς κέρδη τοῖς οἰκείοις παισὶ[3b]) *τῆς μὲν χρήσεως τῶν ἐκ τοῦ γάμου κερδῶν παρ' αὐτοῖς καθεστώσης, τῆς δὲ δεσποτείας τοῖς αὐ-*

3) Ven. in marg. *σῃ. περὶ δευτερογαμίας.* 3[a]) *μόνου?* scil. *συνοικεσίου.* 3[b]) Ven. *παισὶ πᾶσι.* nempe in prototypo scriptum erat *πᾶσι* et a correctore superscriptum *παισὶ*, unde librarius ineptum illud *παισὶ πᾶσι* effecit.

τῶν παισὶν ἐκ τρόπου παντὸς φυλαττομένης, τῶν ἐπὶ τοῖς γονεῦσι τοῖς εἰς δευτέρους ἰοῦσι γάμους νενομοθετημένων ἐπὶ τῆς ἑαυτῶν τάξεως φυλαττομένων. καὶ τοῦτο κρατεῖν ἐπὶ τῶν συνοικεσίων τῶν καθ' οἱονδήποτε τρόπον διαλυομένων ἐκ τῆς σήμερον ἡμέρας καὶ εἰς τὸ ἑξῆς ἅπαν, καὶ τῶν[3c]) ἤδη διαλελυμένων μὲν συνοικεσίων εἴτε τελευτῇ εἴτε καθ' ἕτερον οἱονδήποτε τρόπον, ἔτι[4]) δὲ ἠρτημένων τῷ ἕνα γοῦν περιεῖναι. εἰ γὰρ ἔφθησαν ἄμφω τετελευτηκότες, τοῦτο κληρονόμοις οὐ δίδομεν, ἀλλ' ὡς ἅπαξ πεπερασμένον[5]) τοῖς παλαιοῖς καταλιμπάνομεν νόμοις· ἐκείνου δήλου ὄντος, ὡς ἐπειδὰν ἅπαξ γένοιντο τῶν παίδων καὶ τὴν δεσποτείαν ὁ νόμος ἄγων αὐτοῖς δοίη[6]), τηνικαῦτα τὰ ἐπὶ τῶν διαδοχῶν καὶ τῶν ἄλλων προχωρήσεων οὕτω καὶ ἐπ' αὐτοῖς ἔσται ὡς ἐπὶ τῶν προτέρων νενομοθέτηται παίδων, τῶν διὰ τοὺς δευτέρους γάμους τῶν γονέων κέρδους τινὸς παρὰ τῶν νόμων ἠξιωμένων.

β'. Κἀκεῖνο μέντοι ἔκ τινος δίκης προσαγγελθείσης ἡμῖν εἰς νομοθεσίαν ἀγαγεῖν ᾠήθημεν χρῆναι. ἐπειδὴ γὰρ διελέλυντο μὲν πρὸς ἀλλήλους ὅ τε ἀνὴρ ἥ τε συνοικοῦσα, παῖδες δὲ αὐτοῖς ἦσαν ἐκ τοῦ γάμου, περιεῖδον αὐτοὺς οἱ γονεῖς ἄμφω καὶ περιῄεισαν ἐρανιζόμενοι, διὰ τοῦτο ᾠήθημεν σφοδροτέρῳ μὲν ἴσως, ἐπιστρέφοντι δὲ πρὸς τὸ καλῶς ἔχον χρήσασθαι νόμῳ, ἵνα δέει γοῦν τῶν ποινῶν παύσωνται ἢ κερδῶν ἕνεκεν ἀδίκων τὰ συνοικέσια διασπῶντες ἢ καὶ τῶν ἰδίων ἀμελοῦντες παίδων. [§. 1.] εἰ γὰρ ὅλως ἢ κατὰ διάλυσιν ἢ κατὰ τρόπον ἄλλον διασπασθείη συνοικέσιον, εἰ μὲν μηδένες ὦσι παῖδες, μενέτω τὰ ἔμπροσθεν ἐπὶ τῆς ἑαυτῶν τάξεως. εἰ δὲ παίδων ὑπόντων γένοιτο τοῦτο, καὶ μηδὲ τοὺς παῖδας ἐρυθριῶντες δοῖεν ὅμως[7]) ἀφορμὴν ἑκουσίας διαλύσεως καὶ κατὰ συναίνεσιν γινομένης, ἢ καὶ ἀκουσίου,

3c) Malim ἐπὶ τῶν. 4) Ven. εἴτε. 5) Ven. πεπερασμένην.
6) Iulian. addit: sive ad secundas migraverit nuptias sive non.
7) ὁμοῦ? quamquam ὅμως firmatur Auth.

τυχὸν ἢ τοῦ ἀνδρὸς πταίσαντος ἄξια τῆς ἀπωλείας τῆς πρὸ γάμου δωρεᾶς ἢ τῆς γυναικὸς ἄξια τῆς ἐκπτώσεως τῆς προικὸς, μήτε ὁ ἀνὴρ τὴν προῖκα κερδαινέτω μήτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' αὐτίκα τῆς ἐκπτώσεως γινομένης ἢ τῆς προικὸς ἢ τῆς προγαμιαίας δωρεᾶς τὸ ἐπὶ τῇ δεσποτείᾳ κέρδος εὐθὺς εἰς τοὺς κοινοὺς ἐρχέσθω παῖδας καὶ αὐτῶν γινέσθω, τῆς χρήσεως μόνης παρὰ τοῖς διαλελυμένοις μενούσης, ἀναγκαζομένου μέντοι τοῦ τὴν χρῆσιν κερδαίνοντος τοὺς παῖδας τοὺς ἐκ τοῦ γάμου καὶ ἀποτρέφειν καὶ τὰ ἄλλα πάντα χορηγεῖν αὐτοῖς κατὰ τὸ τῆς κερδανθείσης περιουσίας μέτρον. [§. 2.] ἴσμεν δέ τι καὶ τοιοῦτον γενόμενον, ὅτι βόνα γράτια δόξαντος διαλελύσθαι τοῦ γάμου, καὶ ἀναχωρῆσαι τὴν μὲν πρὸ γάμου δωρεὰν εἰς τὸν γράψαντα τὴν δὲ προῖκα εἰς τὴν ἐπιδοῦσαν, ὅμως προφάσει δῆθεν ζημίας καὶ ἄλλων αἰτιῶν χρυσίου ποσότης οὐ μετρία θατέρῳ δέδοται μέρει, ὥστε μὴ δοκεῖν εἶναι τοῦτο γαμικὸν κέρδος μήτε φυλάττεσθαι τοῖς παισὶ κατὰ τοὺς περὶ τούτου νόμους, ἀλλ' ἔξωθεν προσγενόμενον ὡς ἐξ ἑτέρας αἰτίας κέρδος γίνεσθαι τοῦ λαβεῖν αὐτὸ καταπραξαμένου. ὥστε καὶ τὴν ἐκ τῆς τοιαύτης τέχνης γινομένην θεραπεύοντες βλάβην θεσπίζομεν, κἂν εἴ τι τοιοῦτον γένοιτο καὶ προσέλθοι τὶ θατέρῳ κέρδος, καὶ τοῦτο ὁμοίως φυλάττεσθαι τοῖς παισὶ, τῆς μὲν δεσποτείας εὐθὺς ἀφικνουμένης εἰς αὐτοὺς, τῆς χρήσεως δὲ μόνης παρὰ τῷ κερδάναντι καθεστώσης. οὕτως ἀφέξονται παντὸς ἐλαττώματος, οὕτω πάσης ἐπιθυμίας ἀλόγου, οὕτως οὐδὲ ἄκοντες οὐδὲ ἑκόντες τοὺς ἑαυτῶν βλάψουσι παῖδας, ἀλλ' ἔσονται μετριώτεροι, μάλιστα μὲν περὶ τὴν αὐτῶν σωφροσύνην, ἔπειτα καὶ περὶ τὴν γαμικὴν διάθεσιν, ἣν προσῆκον μέν [7a]) ἐστιν ἔχειν τοὺς ἅπαξ συναφθέντας πρὸς ἀλλήλους, πρᾶγμα καὶ σωφροσύνης μεστὸν καὶ τοῖς ἀγαθοῖς ἤθεσι

7a) Particula *μὲν* delenda est, nisi altius corruptela lateat. Auth. *μὲν* omisso et puncto post *ἀλλήλους* posito *πρᾶγμα γὰρ σωφρ. κτλ.* legisse videtur.

συμβαῖνον καὶ πατρικῆς τε καὶ μητρῴας διαθέσεως πλῆρες, ἵνα ὅπερ αὐτοῖς οἱ γονεῖς ἑκόντες οὐ φυλάττουσι, τοῦτο ὁ μετὰ θεὸν κοινὸς ἅπασι πατὴρ (φαμὲν δὲ ὁ τὴν βασιλείαν ἔχων) διὰ τοῦ νόμου τοῖς παρὰ τῶν γονέων ἠδικημένοις τηρήσῃ. κἀνταῦθα δὲ τὰ περὶ τῶν κερδῶν καὶ τῶν διαδοχῶν ἔμπροσθεν διατεταγμένα[7b]) κρατείτω· οὐδὲν γὰρ αὐτῶν καινίζομεν, πλὴν ἢ ἐκεῖνο μόνον, ὅπερ ῥητῶς ἐν τούτῳ τῷ νόμῳ γεγράφαμεν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XV Kal.[8]) Ian. CP. imp. DN. Iust. PP. A. anno XIII Apione V. C. Cons.[9])

Auth. 97. **CXXI.** Nov. 99.

Basil. XXVI, 2, 2. — Summae: Iulian. c. 92, Athan. XV, 2, Theod. Nov. 99.

Περὶ ἀλληλεγγύων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) καὶ πατρικίῳ.[2])

Ἴσμεν πρῴην τεθεικότες νόμον[3]) περὶ ἐπιλογῆς μανδατώρων τε καὶ ἐγγυητῶν καὶ ἀντιφωνητῶν πολλὰς ἔχοντα καὶ κοινωφελεῖς τοῖς ἡμετέροις ὑποτελέσι νομοθεσίας. ἐπὶ δὲ τοῦ παρόντος καὶ ἑτέρας ἡμῖν ἔδοξε δεῖσθαί τινος ἐπε-

7b) Ven. τῶν ἔμπρ. διατεταγμένων. 8) Athan. πρὸ ιζ' καλ. ἰαν. Iulian.: Kal. Iul. Auth. VII Kal. Ian. 9) Ven. anno XII Iustino v. c. cons. Iulianus: a. XIV Iustino v. c. cons. (Theod. subscriptionem omittit, Auth. in fine mutilam habet.) Athan.: βασιλείας ἰουστινιανοῦ ὑπατείας ἀπίωνος. unde edidi anno XIII Apione v. c. cons. sequutus Bienerum Gesch. p. 520. cf. etiam Heimbach in prolegom. ad Auth. p. CCCXXXVI.

1) Adde ὀρδιναρίῳ. 2) Ven. laudat βι. ιε' τῶν διγ. ἐν τέλει καὶ βι. με' τί. β' διγ. ια'. 3) Const. XI.

ξεργασίας τε καὶ προσθήκης, οὐκ ἀγεννοῦς οὐδὲ τῷ κοινῷ τοῦ πολιτεύματος ἀλυσιτελοῦς καθεστώσης.

α΄. Εἰ γάρ τις ἀλληλεγγύως ὑπευθύνους λάβοι τινὰς, εἰ μὲν μὴ[4]) προσθείη τὸ δεῖν καὶ ἕνα τούτων εἰς ὁλόκληρον ἐνέχεσθαι, πάντας ἐξ ἴσου τὴν ἀγωγὴν ὑφίστασθαι. εἰ δὲ καί τι τοιοῦτο προστεθείη, φυλάττεσθαι μὲν τὸ σύμφωνον, οὐκ εὐθὺς μέντοι τὴν ἀρχὴν ἕκαστον ὁλόκληρον ἀπαιτεῖσθαι, ἀλλὰ τέως μὲν κατὰ τὴν μοῖραν καθ' ἣν ἕκαστος ἐνέχεται, χωρεῖν δὲ αὐτὸν καὶ κατὰ τῶν ὑπολοίπων εἴγε καὶ εὔποροι καθεστᾶσι καὶ ἐνδημοῦσι. καὶ εἰ τοῦτο οὕτως ἔχον φανείη, εἰ μὲν εὐπόρως ἔχουσι καὶ παρόντες τύχοιεν, ἐκείνους κινδυνεύειν ἐκπληρῶσαι ἕκαστον εἰς τὸ οἰκεῖον μέρος τὸ ἀλληλεγγύως δανεισθὲν, ἐξ οὗπερ ὅλως ἔνοχοι γεγόνασι, καὶ μὴ τὸ κοινὸν χρέος ἴδιόν τινος γινέσθω[4a]) βάρος. εἰ δὲ ἀπόρως ἔχοντες οἱ λοιποὶ φανεῖεν, εἴτε πάντες εἴτε τινὲς, εἴτε εἰς μέρος εἴτε εἰς ὁλόκληρον, ἢ καὶ ἀπόντες τυχὸν, καὶ εἰς ἐκεῖνο ἐνέχεσθαι ὅπερ λαβεῖν παρὰ τῶν ἄλλων οὐκ ἠδυνήθη· οὕτω γὰρ κἀκείνῳ[5]) φυλαχθήσεται ὁ τοῦ συμφώνου τρόπος, καὶ οὐδεμίαν ὑποστήσεται ζημίαν ὁ ἐνάγων, κἂν εἴ τι πρὸς ἀλλήλους ἐκεῖνοι συμφωνήσαιεν ἀγνοοῦντος τοῦ τούτους ἔχοντος ὑπευθύνους, καὶ ἕκαστος ἐνέξεται ὥσπερ ἐξ ἀρχῆς συνεγράψατο τέχναις ἢ δόλοις ἢ διαλύσεσιν ὑπερβαίνειν τὰ συγκείμενα μὴ συγχωρούμενος. [§. 1.] εἰ μέντοι τοῖς αὐτοῖς ἐνδημοῖεν ἑκάτεροι ἢ καὶ ἅπαντες τόποις, θεσπίζομεν τὸν τῆς ὑποθέσεως ἀκροώμενον ἄγειν κἀκείνους εὐθὺς, καὶ κοινῇ μὲν ἐξετάζειν τὴν ὑπόθεσιν, κοινὴν δὲ ἐπάγειν ψῆφον. οὕτω γὰρ καὶ οἱ ἔνοχοι πάντες εὐθυνθήσονται, καὶ ἡ τῆς περιουσίας αὐτῶν ποιότης ἐξετασθήσεται, καὶ τὸ χρέος ὁμοίως μὲν κατὰ τὴν τοῦ δικαίου ὁμοίως δὲ κατὰ τὴν τοῦ νόμου[6])

4) Negationem Ven. non habet. mox προστεθείη legerim. 4a) γίνεσθαι? Auth. fieri. 5) Ven. κἀκεῖνο. Hal. κἀκεῖνος φυλ. τοῦ συμφ. τρόπος. Basil. cum Auth. κακείνοις. 6) Verba ὁμοίως δὲ κατὰ τ. τ. νόμου Ven. omittit.

τάξιν προβήσεται. [§. 2.] εἰ δὲ οὐκ ἄρχων εἴη ὁ τῆς δίκης ἀκροώμενος ἀλλ' ἕτερός τις, δίδομεν ἄδειαν ἢ ἐνταῦθα τῷ προσφόρῳ δικαστῇ προσέλευσιν δεχομένῳ, ἢ ἐν ἐπαρχίαις τούτων προσαγγελλομένων τῷ λαμπροτάτῳ ἄρχοντι ἢ καὶ τῷ ἁρμοδίῳ δικαστῇ ἀναγκάζειν διὰ τῆς αὐτοῦ τάξεως κἀκείνους παραγίνεσθαι τῇ δίκῃ καὶ μέρος αὐτῆς γίνεσθαι, ὥστε μηδὲν ἐμπόδισμα τῷδε ἡμῶν τῷ θείῳ νόμῳ γενέσθαι. τούτων ἁπάντων κρατούντων ἐπὶ τῶν συναλλαγμάτων τοῦ μετὰ ταῦτα χρόνου καὶ ἀπὸ τῆς τοῦδε τοῦ νόμου θέσεως· τὸ γὰρ παρῳχηκὸς τοῖς πρὸ αὐτοῦ τεθειμένοις ὑπὲρ τούτου καταλιμπάνομεν νόμοις.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XV. Kal.[7]) Ianuar. CP. DN. Iustiniani PP. A. ann. XIII[8]) Apione V. C. Cons.

Auth. 98. CXXII. Nov. 100.

Bas. XXIX, 3, 1. (cf. Bas. ed. Heimb. II p. 665 schol.) — Summae: Iulian. c. 93, Ath. X, 8, Theod. Nov. 100, αἱ ῥοπαὶ 15, 6. 25, 11 (coll. Epanag. 18 schol. i). 31, 7.

Περὶ τοῦ χρόνου τῆς ἐπὶ τῇ προικὶ ἀναργυρίας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) καὶ πατρικίῳ.

Καὶ τὰς ἀναργυρίας τὰς ἀντιτιθεμένας ἐπί τινων θεμάτων οὐκ ἀνεξετάστους οἱ ἡμέτεροι καταλελοίπασι νόμοι, ἀλλὰ τὸ μακρὸν αὐτῶν καὶ ἐκκεχυμένον συνεστείλαμεν, ἵνα μὴ τῆς ἑαυτῶν ῥᾳθυμίας ἢ κακουργίας ἴσως ἐμπορικώτεροι

7) Athan. πρὸ ιη' καλ. ita etiam apud Iulian. 8) Annum imperii ex Ath. et Theod. supplevi.

1) Adde ὀρδιναρίῳ. — Mox in Ven. laudatur βι. κδ' τί. γ' διγ. νβ' καὶ βι. δ' τοῦ κώδ. τί. λ' διατ. λδ'.

ἀπολαύοιεν ἄνθρωποι καὶ πράγματα παρέχοιεν ἑτέροις. οὐ γὰρ ἐν ἴσῳ διὰ παντὸς τὰ τῶν ἀποδείξεών ἐστι τοῖς δοῦναι ταύτας βουλομένοις, πολλὰς δὲ ὁ χρόνος παραιτεῖται· δι' ἅπερ εὖ ποιοῦντες συνεστείλαμεν ἐπί τινων θεμάτων τὰς ὑπὲρ τῶν ἀναργυριῶν μέμψεις, ἅπερ ἔξεστιν ἐκ τῶν ἤδη παρ' ἡμῶν νενομοθετημένων λαβεῖν. ὁποῖον δή τι κατὰ τὸ παρὸν καὶ ἐπὶ τῆς προικὸς πράττομεν. ἐπειδὴ γὰρ ἅπας ὁ χρόνος τοῦ συνοικεσίου ἐδέδοτο τοῖς ἀνδράσιν ἕως ὁ γάμος συνίστατο μέμφεσθαι τὸ[2]) *μὴ δεδωκέναι τὴν προῖκα, παρενθήκη δὲ μείζων ἐγένετο τὸ καὶ μετὰ τὴν τελευτὴν τῶν ἀνδρῶν ὥσπερ καὶ μετὰ ῥεπούδιον εἴσω ἐνιαυτοῦ δοῦναι τὴν μέμψιν, διὰ τοῦτο ᾠήθημεν βραχεῖ καὶ συντόμῳ νόμῳ ταχυτέραν ποιήσασθαι καὶ τὴν ἐπὶ τῇ τῆς προικὸς ἀναργυρίᾳ μέμψιν, καὶ ἀπαλλάξαι τὰς γυναῖκας τῆς ἐπὶ τοῖς τοιούτοις μετὰ μακροὺς χρόνους ἀποδείξεως.*

α΄. Εἰ μὲν οὖν ἐνιαυτοὺς δύο μόνους συνοικήσειέ τις τῇ γαμετῇ ἢ καὶ τούτων τῶν χρόνων[2a]) *ἐλάττω, καὶ μὴ λάβῃ τὴν προῖκα, μηδὲν ἐκ τῆς σιγῆς ὁ ἀνὴρ ἀδικείσθω, μηδὲ οἱ κληρονόμοι τοῦ ἀνδρὸς κἂν εἰ σιγήσειεν ἐκεῖνος, ἀλλ' εἴσω ἑτέρου ἐνιαυτοῦ τὰ τῆς μέμψεως κινείσθω· τὸ γὰρ βραχὺ τοῦ συνοικεσίου πρὸς ταύτην ἡμᾶς τὴν νομοθεσίαν καλεῖ. εἰ δὲ εἰς πλείονα τῆς διετίας χρόνον, ἐλάττονα δὲ δεκαετίας τὸ συνοικέσιον ἐκταθείη, δίδομεν τῷ ἀνδρὶ μέμφεσθαι καὶ λέγειν, οὐκ εἰσκεκομίσθαι αὐτῷ τὴν προῖκα εἰς μέρος ἢ εἰς ὁλόκληρον, καὶ εἰ τοῦτο ποιήσειε παραπέμπεσθαι τὴν μέμψιν, ἅπαξ τοῦ ἀνδρὸς μεμψαμένου καὶ τῆς γυναικὸς ὅτι δέδωκεν οὐκ ἀποδειξάσης.* [§. 1.] *εἰ δὲ μὴ τῶν δέκα ἐνιαυτῶν εἴσω μέμψηται, τῇ σιωπῇ τοῦ ἀνδρὸς ἀναιροῦμεν τὴν μέμψιν, οὐδὲ αὐτῷ μετὰ τὴν δεκαετίαν τοῦτο πράττειν συγχωροῦντες οὐδὲ τὸν ἐνιαυτὸν διδόντες ἔτι τοῖς αὐτοῦ κληρονόμοις. καὶ ἔστω καὶ τοῦτο οὐχ ἡμετέρα*

2) Ven. *τῷ*. 2a) *χρόνον*? omisso *τῶν*.

κατά τινων ποινή, ἀλλὰ ἀπραγμοσύνης τῶν ὑπηκόων ἐπιμέλεια. ᾧ γὰρ ἔξεστιν ἐπὶ μακρὸν οὕτω χρόνον (τὸν τῆς δεκαετίας φαμὲν) προθεῖναι τὴν μέμψιν, εἰ τὸ σιγᾶν ἕλοιτο, πρόδηλός ἐστι βουλόμενος κἂν εἰ μὴ λάβοι τὴν προῖκα ταύτην πάντως τοὺς αὐτοῦ κληρονόμους διδόναι. τῶν αὐτῶν κρατούντων, καὶ εἰ ῥεπουδίῳ διαλυθῆναι συμβαίη τὸν γάμον· μηδὲν διαφερομένων ἡμῶν, εἴτε ἡ γυνὴ ὡς τὴν προῖκα ἐπενεγκαμένη καταγράψειεν εἴτε πατὴρ εἴτε ἕτερός τις ὑπὲρ αὐτῆς, τοῦ χρόνου ἐπὶ παντὸς θέματος τοιούτου (καθάπερ εἰπόντες ἔφθημεν) τὰ οἰκεῖα δεικνύντος ἀποτελέσματα, καὶ ἢ διδόντος ἢ ἀναιροῦντος τὴν μέμψιν. διαμαρτυρίαν δέ φαμεν οὐ τὴν ἐν ῥήμασι μόνην (πολλάκις γὰρ ἤ τις ὀργὴ ἢ ἄλλη παρεμπεσοῦσα πρόφασις τοιαῦτά τινα τὸν ἄνδρα παρασκευάζει λέγειν, ἢ καὶ ὁ μὲν εἶπεν οὐδὲν μάρτυρες δὲ ἐωνημένοι ταῦτα καταψεύδονται), ἀλλὰ δεῖ τὴν ἐκμαρτυρίαν ἐν γράμμασιν εἶναι. εἰ δὲ καὶ ἐν δικαστηρίῳ τυχὸν ποιήσασθαί τις αὐτὴν βουληθείη, δεῖ πάντως γνωσθῆναι τῇ γυναικὶ ἢ τῷ τὴν προῖκα ὅλως ἐπιδοῦναι καταγράψαντι. ἐπείτοιγε οὐδέν ἐστι τὸ κωλῦον τὸν ἄνδρα αὐτὸν ἐφ' ἑαυτοῦ καὶ τοῦτο πρᾶξαι καὶ μέμψασθαι δῆθεν, καὶ τὸ μὲν μέρος τῆς γυναικὸς τὸ πραττόμενον ἀγνοεῖν, πρόνοιαν δὲ ἑαυτοῦ θέσθαι κατὰ μηδένα δύνασθαι τρόπον, τῷ γε καὶ ὅτι μέμψις αὐτῷ γέγονεν ἀγνοοῦντι.[3])

β'. Συνελόντα τοίνυν εἰπεῖν, εἴσω μὲν διετίας τοῦ γάμου διαλυθέντος εἴτε θανάτῳ εἴτε ῥεπουδίῳ, καὶ αὐτῷ τῷ ἀνδρὶ τὰ περὶ τῆς ἀναργυρίας ἔξεστι μέμφεσθαι καὶ τῷ γε αὐτοῦ κληρονόμῳ εἴσω ἑτέρου ἐνιαυτοῦ. εἰ δὲ ὑπὲρ διετίαν ἄχρι δέκα ἐνιαυτῶν ὁ γάμος ἐκταθείη, τῷ ἀνδρὶ δίδομεν τὴν μέμψιν καὶ τῷ γε αὐτοῦ κληρονόμῳ μηνῶν εἴσω τριῶν. εἰ δὲ παραδράμοι ἡ δεκαετία, τότε οὐδὲ τῷ ἀνδρὶ

3) Osenbrüggen coniecit ἀγνοεῖν. malim τό γε — ἀγνοοῦν.

οὐδὲ κληρονόμοις αὐτοῦ τὰ τῆς μέμψεως ἔσται, τοῦ χρόνου προσάπαξ ἐξαρκοῦντος τῇ γυναικί. εἰ μὲν οὖν ἀφῆλιξ ᾖ ὁ ἀνὴρ καὶ μὴ μέμψηται, τοσοῦτον εἰς ἀποκατάστασιν αὐτῷ δίδομεν χρόνον, ὥστε μὴ ὑπερβῆναι δωδεκαετίαν ἐκ τοῦ καιροῦ τῶν γάμων. ἴσμεν γὰρ τοὺς σφόδρα τάχιστα συναλλάττοντας γάμον οὐκ ἐλάττους τῶν πεντεκαίδεκα ἐνιαυτῶν πρὸς τοῦτο ἰόντας, ὥστε καὶ ὑπερβήσεται τὸν πέμπτον καὶ εἰκοστὸν ἐνιαυτὸν, καὶ ἔσται δυνατὸς εἴσω τοῦ εἰκοστοῦ ἑβδόμου μέμψασθαι τῇ τῆς προικὸς ἀναργυρίᾳ. τελευτήσαντος δὲ αὐτοῦ εἴσω τοῦ ῥηθέντος χρόνου, τοὺς κληρονόμους ἔχειν τὸν ἐνιαυτὸν εἰς τὴν μέμψιν. [§. 1.] *εἰ δὲ ἀφήλικες εἶεν οἱ τοῦ μὴ μεμψαμένου κληρονόμοι, εἴτε τελείου εἴτε ἀτελοῦς, πενταετίαν ἐχέτωσαν μόνην εἰς τὸ κινῆσαι τὴν μέμψιν ἐπὶ τῇ ἀναργυρίᾳ, ἀρκοῦντος τοῦ χρόνου καὶ μὴ ἀναμένοντος τὴν διέξοδον ἁπάντων τῶν ἐλαττόνων χρόνων. οπερ ἡμᾶς πρὸς τὸν παρόντα νόμον ἐκίνησε· τῆς γὰρ γυναικὸς συνοικησάσης τεσσαρεσκαιδέκατον ἐνιαυτὸν μετὰ εἰκοστὸν ἔτος τοῦ θανάτου τοῦ πατρὸς, ἀποχρώμενος τῇ ἀφηλικιότητι ἐκίνει τὶς κατὰ τῆς μητρὸς*[4]) *τὸν τῆς ἀναργυρίας ἀντιτιθεὶς λόγον μετὰ τέταρτον καὶ τριακοστὸν τοῦ συνοικεσίου χρόνον· ὅπερ ἡμεῖς δικάζοντες ἐθεραπεύσαμεν. καὶ διὰ ταύτας τὰς περιστάσεις καὶ τὸν τῶν ἀφηλίκων χρόνον εἰς τὴν πενταετίαν ἐπὶ τοῦ παρόντος ὡρίσαμεν νόμου, ἐκείνου δηλαδὴ τὴν ἀναργυρίαν ἀντιτιθέντος ὃς ἂν γεγραμμένος εἴη τὴν προῖκα ὑποδέχεσθαι, καὶ κατὰ τοὺς οἰκείους χρόνους εἴτε τέλειος εἴη εἴτε ἀτελὴς τοῦ πράγματος κρινομένου. κρατοῦντος δὲ τοῦ νόμου ἐπὶ τῶν ὕστερον ἐσομένων γάμων· ἐπὶ γὰρ τῶν συνεστώτων, εἰ μὲν ὑπόλοιπός ἐστιν ἡ δεκαετία ἢ οὐκ ἐλάττων διετίας, τοῦτον ἐχέτω τὸν χρόνον ἐπὶ τῇ ἀναργυρίᾳ, ἥτις αὐτῷ καὶ τὴν παραπομπὴν δίδωσιν· εἰ*

4) In Ven. verbis *μετὰ εἰκοστὸν ἔτος* et *κατὰ τῆς μητρὸς* puncta subiecta sunt.

δὲ ἢ ἐλάττων αὐτῷ τῆς διετίας ὑπολείπεται χρόνος ἢ καὶ ἐξῆκεν ὁ σύμπας τῆς δεκαετίας καιρὸς, τηνικαῦτα αὐτοῖς μὲν διετίαν δίδομεν εἰς τὸ μέμψασθαι τῇ ἀναργυρίᾳ, τοῖς δὲ αὐτῶν κληρονόμοις μετὰ διάλυσιν τοῦ γάμου εἴσω τῆς τριμήνου, ἵνα διὰ πάντων αὐτοῖς τὸ δίκαιον φυλάξωμεν.

Τὰ παραστάντα τοίνυν ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι[5]) σπευσάτω. Dat. XIII K.[6]) Ianu. CP. DN. Iust. PP. Aug. ann. XIII. Apione V. C. Cons.[7])

CXXIII.

Haec constitutio servata est in Codicibus Paris. lat. 4568 (olim Ranconeti), Utinensi et Mediolanensi, in quibus Iuliani epitomae Novellarum uberior appendix accedit. Cuiacio innotuit (Observ. IV, 28), a Miraeo in appendice Iuliani e Cod. Paris. primum edita est, deinde a Pithoeo repetita.

DE ADSCRIPTICIIS ET COLONIS.

Imp. Iustinianus Aug. Dominico praefecto praet. Illyrici.

Docuerunt nostram serenitatem Ligdinensium[1]) habitatores, et[2]) hoc nos docuerunt, quia ante proposuimus

5) Flor. ἡ σὴ ὑπεροχὴ φανερὰ πᾶσι καταστῆσαι. ita etiam Auth. 6) Sic etiam Athan. Auth. XVI Kal. Ian. videtur autem eadem die data esse qua const. CXX et CXXI. 7) Verba: ann. XIII Apione v. c. cons. Ven. omittit: suppeditaverunt Athan. et Theod. Auth. anno XIV.

1) Miraeus: Lygdunensium. Vulgo: Lugdunensium, quae lectio citatione in concilio Ticinensi de anno 1022 obvia comprobari videtur (v. Savigny Gesch. d. RR. im M. II p. 286). sed Ligdinensium ut habet Pithoeus firmatur Coll. can. Anselmo ded. VII, 5 (v. Savigny cit. p. 293). conf. Λογδοῦνος in Chron. Pasch. ed. Ven. p. 29. 2) Relatio Ligdinensium et imperatoris ad eam decisio plura capitula comprehensa esse videtur, e quibus unum tantum, quod ad adscripticios et colonos pertineret, hoc loco exhibetur. proinde legendum: „habi-

legem[3]), per quam iussimus adscripticios vel colonos commiscentes[4]) se liberis mulieribus procreare filios[5]) ad similitudinem liberorum, et ex hoc detrimentari fundos et eorum functiones, recedentibus agricolis velut ex utero libero procedentibus.[6]) hoc corrigentes sancimus, secundum veterem legem[7]) de adscripticiis et colonis constitutis agricolis quod nascitur adscripticium et colonum fieri. sed si sola fuerit mulier libera constituta quum procreaverit filios, tunc ergo[8]) nullo modo patimur laedi ex hoc penitus liberum uterum, ut quae[9]) talis mulier tali viro sociata fuerit[9a]), neque adscripticio neque colono, in hoc tantummodo casu obtinente lege. sancimus ergo generalem legem[10]), ut qui ex adscripticio et colono natus est patris naturam sequatur. sic ergo[11]) et indemnitas fisci[12]) collatoribus erit, parens carissime. in hoc ergo medentes praesentem dispositionem disposuimus, quam observare tuam celsitudinem sancimus in omnibus Illyricianis partibus, ut non exinde deminutio aliqua dominis inferatur.

Tua igitur gloria quae nobis visa sunt et per hanc legem divinam significata[13]) effectui mancipare festinet, mulcta imminente decem librarum auri qui eam violaverit aut concesserit violandam. *Dat. VII a. Id.*[14]) *April. Constant. imp. DN. Iustiniani Aug. anno XIV. Iustino Cons.*

tatore etc. et hoc nos docuerunt". similiter const. VII. 3) Const. CVII. 4) Cod. Paris. commiscentibus. 5) Utin. liberos. 6) Cod. Paris. procedentes. mox Pithoeus: et hoc. 7) l. 24 C. de agricolis. 8) Fortasse legendum: fieri, nisi sola — filios. tunc enim etc. 9) Cod. Paris. utque. 9 a) non fuerit? 10) generali lege? 11) enim? 12) Cod. Paris. fisco. Utin. fisco a coll. 13) Cod. Paris. significantem. 14) Miraeus ex Cod. Paris. et Pith. „Dat. Sub. Id.".

Auth. 129. **CXXIV.** Nov. 106.

In Cod. Flor. et proinde in Haloandrina editione deest. — Summae: Iulian. c. 99, Athan. XVII, 1, Theod. Nov. 106.

Περὶ τῶν ναυτικῶν δανείων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον.[1])

Μηνύσεως ἠκούσαμεν τῆς σῆς ὑπεροχῆς, ἧς τὴν πρόφασιν ἡμεῖς αὐτοὶ παρεσχόμεθα. ἐδίδαξας γάρ, Πέτρον καὶ Εὐλογητὸν ἱκετεῦσαι τὸ θεῖον ἡμῶν κράτος, καὶ τὰ καθ' ἑαυτοὺς ἀφηγουμένους εἰπεῖν, ὡς εἰώθασι ναυκλήροις ἤτοι ἐμπόροις δανείζειν χρυσίον, καὶ μάλιστα τοῖς ἐν θαλάττῃ τὰς πραγματείας ποιουμένοις, καὶ ταύτην ἔχειν τοῦ βίου τὴν πρόφασιν τὰ τοῖς θαλαττίοις ταῦτα δανείσματα, ἃ καλεῖν ὁ καθ' ἡμᾶς εἴωθε νόμος traiectitia, *δεδοικέναι δὲ αὐτοὺς ὡς ἀμφισβητήσεων ἐντεῦθεν αὐτοῖς ἀνισταμένων, καὶ δεῖσθαι διὰ τοῦτο γενέσθαι φανερὸν τὸ κρατοῦν καὶ ἐπὶ τούτοις ἔθος, ὥστε καὶ θείαν ἡμῶν ἐπὶ τούτῳ προελθεῖν κέλευσιν τὴν τὸ ἔθος εἰς σαφέστατον ἄγουσαν τύπον· τοιγαροῦν ἡμᾶς ἐγκελεύεσθαί σοι τὴν τῆς ἀμφισβητήσεως φύσιν μαθεῖν καὶ ταύτην εἰς ἡμᾶς ἀγαγεῖν, ὥστε φανερᾶς ἡμῖν γενομένης τὸ δοκοῦν νόμῳ περιλαβεῖν διηνεκεῖ· καὶ τὴν σὴν ἐνδοξότητα ταῦτα πρᾶξαι παρ' ἡμῶν κελευσθεῖσαν συναγαγεῖν τοὺς ναυκλήρους οἷς δὴ τὰ τοιαῦτα τῶν δανεισμάτων μέλει, καὶ πυθέσθαι ποῖόν ποτε τὸ ἀρχαῖον ἔθος ἦν, τοὺς δὲ καὶ ὅρκον προσεπιτιθέντας μαρτυρεῖν, τρόπους εἶναι ποικίλους τῶν τοιούτων δανεισμάτων, καὶ εἰ μὲν δόξειε τοῖς δανεισταῖς ἐφ' ἑκάστῳ νομίσματι τῶν χρημάτων ἅπερ ἂν δοῖεν ἕνα σίτου μόδιον ἢ κριθῆς ἐμβαλεῖν τῇ νηῒ καὶ μήτε μίσθωμα τοῖς δημοσίοις παρέχειν ὑπὲρ αὐτοῦ τελώναις, ἀλλὰ*

1) Ven. ad inscriptionem notat: *ταύτην ἀναιρεῖ ἡ ρι´* (nobis const. CXXVIII.)

τό γε ἐπ' αὐτοῖς ἀτελώνητα πλέειν τὰ σκάφη, καὶ τοῦτον ἔχειν καρπὸν ὧν ἐδάνεισαν χρημάτων, καὶ πρός γε καὶ κατὰ δέκα χρυσοὺς ἕνα κομίζεσθαι μόνον ὑπὲρ τόκων καθ' ἑκάστην δεκάδα χρυσίου, αὐτοὺς δὲ τοὺς δανειστὰς ὁρᾶν τὸν ἐκ τῶν ἀποβησομένων κίνδυνον· εἰ δὲ οὐχ ἕλοιντο τὴν ὁδὸν ταύτην οἱ δανείζοντες, τὴν ὀγδόην μοῖραν λαμβάνειν ὑπὲρ ἑκάστου νομίσματος ὀνόματι τόκων οὐκ εἰς χρόνον τινὰ ῥητὸν ἀριθμουμένων, ἀλλ' ἕως ἂν ἡ ναῦς ἐπανέλθοι σεσωσμένη· κατὰ τοῦτο δὲ τὸ σχῆμα συμβαίνειν[2]*), ἴσως καὶ εἰς ἐνιαυτὸν ἐκταθῆναι τὸν χρόνον, εἴπερ τοσοῦτον ἔξω διατρίψειεν ἡ ναῦς ὡς καὶ τὸν ἐνιαυτὸν ἢ πέρας λαβεῖν ἢ καὶ ὑπερβῆναι, θᾶττόν γε μὴν ἐπανιούσης αὐτῆς τὸν χρόνον εἰς ἕνα μόνον ἢ δύο παρελκυσθῆναι μῆνας, καὶ ἐκ τῶν τριῶν κερατίων ὠφέλειαν ἔχειν, κἂν οὕτως βραχὺς διαγένηται χρόνος κἂν εἰ περαιτέρω παρὰ τῷ δανεισαμένῳ μένοι τὸ χρέος· ταὐτὸ δὲ τοῦτο κρατεῖν, ἑτέραν πάλιν τῶν ἐμπορευομένων ἀποδημίαν αἱρουμένων, ὥστε καθ' ἕκαστον φόρτον ὁρίζεσθαι τὸ σχῆμα, καθ' ὃ προσήκει τὸ δάνεισμα ἢ μένειν ἢ ἐναλλάττεσθαι κατὰ τὸ περὶ τούτου συνδοκοῦν τοῖς μέρεσι σύμφωνον· εἰ μέντοι μετὰ τὴν ἐπάνοδον τῆς νηὸς σωθείσης καὶ μηκέτι πλεῖν διὰ τὸν καιρὸν δυναμένης ἐπανέλθοιεν, εἴκοσι καὶ μόνων ἡμερῶν προθεσμίαν δίδοσθαι παρὰ τῶν δανεισάντων τοῖς δανεισαμένοις, καὶ μηδὲν ὑπὲρ τῶν ὀφλημάτων τόκου ἕνεκεν ἀπαιτεῖν, ἕως πραθῆναι συμβαίη τὸν φόρτον· εἰ δὲ μείνοι περαιτέρω τὸ χρέος οὐκ ἀποδιδόμενον, τὸν ἐκ διμοίρου τῆς ἑκατοστῆς τοῖς κυρίοις τῶν χρημάτων διδόναι τόκον καὶ μεταβάλλειν εὐθὺς τὸ δάνεισμα καὶ εἰς τὸν τῶν ἐγγείων μεταχωρεῖν τρόπον, οὐκέτι τῶν θαλαττίων κινδύνων τὸν δανειστὴν ἐνοχλούντων· καὶ ταῦτα ἅπαντας εἰπεῖν, ἔνορκον ποιησαμένους τὴν μαρτυρίαν· ἅπερ εἰς ἡμᾶς ἐμήνυσας, ὥστε ἡμᾶς νομοθετῆσαι τὸ ἡμῖν δοκοῦν, καὶ ἐπὶ τούτοις ἔφασκες ταῦτα τῷ ἡμετέρῳ προσαγγεῖλαι κράτει.*

2) Ven. *συμβαίνει.*

α'. Ἡμεῖς τοίνυν καὶ αὐτοῖς ἐντυχόντες τοῖς πεπραγμένοις καὶ τὸ πρᾶγμα διδαχθέντες θεσπίζομεν, κατὰ τὸ μεμαρτυρημένον ἐπὶ τῆς σῆς ὑπεροχῆς οὕτω νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον τὰ τοιαῦτα κρατεῖν, διότι μηδὲ τοῖς ἤδη τεθειμένοις μάχεται νόμοις, ὥστε δεῖν ἐκ τοῦ λοιποῦ κατά τινα ἰδικὸν νόμον ἐν ταῖς ναυκληρικαῖς ἤτοι ἐμπορικαῖς δίκαις ἐπὶ τῶν τοιούτων αἰτιῶν ταῦτα φυλάττεσθαι, καὶ κατὰ τὸν τρόπον τῶν εἰρημένων συμφώνων οὕτως γίνεσθαι τὰς ἀποβάσεις[3]) καὶ τὰ ἄλλα πάντα ἔθη, ὁπόσα ἐν τοῖς ἔμπροσθεν μεμαρτύρηται παρὰ τῷ θρόνῳ τῷ σῷ, ὥστε κατὰ ἰδικὸν νόμον ταῦτα κρατεῖν ἐπὶ τῶν ναυκληρικῶν[4]) ἤτοι ἐμπόρων (τὸ γὰρ ἐν μακροῖς οὕτω πολιτευόμενον χρόνοις καὶ κρατῆσαν ἀπαραλλάκτως, καθάπερ αἱ μαρτυρίαι παρὰ τῇ σῇ ἐνδοξότητι διώρισαν, πῶς οὐκ ἐστὶ δίκαιον καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων κρατεῖν τῶν μετὰ ταῦτα ἐσομένων;) καὶ εἶναι ταύτην αὐτοῖς τῶν πραγμάτων τὴν διάλυσιν ἐξ ἰδικοῦ νόμου κρατοῦσαν καὶ ἑτέρας τινὸς διατυπώσεως μὴ δεομένην, ἀλλ' ἐπὶ τῶν ναυκληρικῶν ἤτοι ἐμπορικῶν ἀφορμῶν εἰς τὸν ἅπαντα χρόνον κρατοῦσαν, ὡς γενικὴν οὖσαν νομοθεσίαν καὶ ἐπὶ τῶν ναυκληρικῶν ἤτοι ἐμπορικῶν συναλλαγμάτων κρατοῦσαν, ὀφείλουσάν τε καὶ μέρος γενέσθαι τῶν ἤδη παρ' ἡμῶν τεθειμένων νόμων, ὥστε καὶ τοὺς δικάζοντας πρὸς ταύτην ἀποβλέποντας ποιεῖσθαι τὰς κρίσεις.

Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ ὑπεροχὴ εἰς τὸ διηνεκὲς παραφυλάττεσθαι σπευσάτω. Dat. VII Id. Sept. CP. imp. DN. Iust. PP. A. anno XIV. Iustino V. C. Cons.[5])

3) Vulgo ἀποφάσεις. 4) Aut ναυκλήρων aut mox ἐμπορικῶν scribendum. 5) Ven. DVΠIδ. Sept. CP. DN. Iust. PP. Aug. v. c. cons. Auth.: Dat. V Id. Sept. CP. imp. anno Iustino cons. Athan.: ἐγράφη πρὸ καλανδ. CP. Theod. ἐξεφωνήθη μηνὶ σεπτεμβρίῳ ἔτει ιδ' βασιλείας ἰουστινιανου. unde subscriptio qualem dedimus facili negotio componitur.

Nov. 156.

CXXV.

Summae: Athan. XVIII, 5 et Theod. Nov. 156. — Apud Athan. inscribitur *ὁ αὐτὸς βασιλεύς* i. e. Iustinianus, cuius sunt quae ibi praecedunt constitutiones. — In Ven. notatur: *αὕτη οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ ἀλλὰ παρεσιωπήθη.*

Περὶ τῆς μεριζομένης γονῆς τῶν γεωργῶν.

Οἱ τὰ πράγματα πράττοντες τῆς κατὰ Ἀπάμειαν ἁγιωτάτης ἐκκλησίας ἐδίδαξαν γεωργούς τισιν ἑτέροις προσήκοντας γεωργίσσαις αὐτῶν συναφθῆναι καὶ παιδοποιήσασθαι, καὶ ᾔτησαν ἀποδοθῆναι[1] *αὐτοῖς καὶ τοὺς γεωργοὺς καὶ τοὺς τούτων παῖδας τῇ μητρῴᾳ γαστρὶ κατακολουθοῦντας. ἀλλὰ ἐοίκασι ταῦτα αἰτοῦντες μὴ εἰδέναι τὴν ἡμετέραν διάταξιν τὴν ἔναγχος φοιτήσασαν*[2] *ὅ τι βούλεται.*

α'. Εἰ μὲν γὰρ ἐλεύθεροί τινες ἐναπογράφοις συνοικήσαιεν, κατὰ τοὺς τῇ διατάξει περιεχομένους λογισμοὺς ἀκολουθεῖ[3] *τὰ βρέφη τῇ μητρὶ, ἔνθα εἰς ἐλευθερίαν οὐκ ἔρχονται· εἰ δὲ γεωργοὶ εἶεν, οὐκ ἔτι τῇ διατάξει παντελῶς*[4] *ἐκείνῃ γίνεται χώρα, ἀλλὰ καθάπερ ἔναγχος ἐψηφισάμεθα καὶ ἐνομοθετήσαμεν*[5]*, ἡ γονὴ μερίζεται. καὶ εἰ μὲν ἴσός*[6] *ἐστιν ὁ τῶν τεχθέντων ἀριθμὸς, εἰς δύο μερίζεται, εἰ δὲ ἄνισος, ἢ καὶ εἷς μόνος ὁ τεχθεὶς, τηνικαῦτα ἡ γαστὴρ ἔχει τὸ πλέον, διότι καὶ μᾶλλον ἐμόχθησε. καὶ εἷς μὲν ὢν ὁ παῖς ἀκολουθεῖ τῇ μητρὶ, τριῶν δὲ ὄντων τῶν τεχθέντων οἱ δύο ἢ αἱ δύο τῆς μητρὸς ἔσονται*[7]*, ὁ εἷς δὲ τῇ τοῦ δεσπότου τοῦ πατρὸς ἀκολουθήσει δεσποτείᾳ, καὶ οὕτως ἀεὶ*

1) Flor. *ἀποθεῖναι.* 2) Cod. XI, 48, 24. 3) Ita Flor. Hal. *ἀκολουθήσει.* Ven. *ἀκολουθεῖν.* 4) Flor. *παντελῆς.* emendaverat Hal. 5) Athanasius: *ὁ παρὼν τύπος διατάξεως ἐκφωνηθείσης μνήμην ποιεῖται βουλομένης ἐπὶ τῶν γεωργῶν τὴν γονὴν μερίζεσθαι.* videtur indicari const. CVII. 6) Flor. *ἴσως.* emendaverat Hal. 7) Flor. *τῇ μητρὶ ἕπονται.* lectionem Veneti firmat Athan.

τὸ περιττόν, καθάπερ εἰπόντες ἔφθημεν, ἡ γαστὴρ ἕξει. καὶ κατὰ τοῦτο καὶ οἱ[8]) Ἀπαμεῖς μεριστέαν ἔσεσθαι[9]) τὴν γονὴν γινωσκέτωσαν, ἵνα τὸ ἐν πολλοῖς στασιαζόμενον χρόνοις μάθωσιν ὡς ὑφ' ἡμετέραν γέγονε νομοθεσίαν.[10])

Auth. 102. CXXVI. Nov. 107.

Proch. 21, 12, Epan. 29, 18 et Basil. XXXV, 20, 2. — Summae: Iulian. c. 100, Ath. IX, 8, Theod. Nov. 107. — Rubrica in Flor. deest. Ven. ad marginem adscriptum habet: εἰκότως ἐπιγέγραπται περὶ βουλήσεως· ὡς διαθήκη γὰρ οὐ κρατεῖ τὰ μὴ ἔχοντα διαθηκῶν παρατήρησιν, ὥς φησιν βι. α' (lege ς') τοῦ κώδ. τί. κγ' διατ. κγ' ἐν τέλει.

Περὶ βουλήσεων τῶν εἰς τοὺς παῖδας γενομένων.

Ὁ αὐτὸς βασιλεὺς Βάσσῳ τῷ μεγαλοπρεπεστάτῳ κόμητι τῶν καθωσιωμένων δομεστίκων, ἐπέχοντι τὸν τόπον Ἰωάννου τοῦ ἐνδοξοτάτου ὑπάρχου πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) καὶ πατρικίῳ.[2])

Κωνσταντίνῳ τῷ τῆς θείας λήξεως νόμος[3]) γέγραπται τῆς παλαιᾶς ἐστοχασμένος ἁπλότητος, ἡ δὲ τῶν πραγμάτων ποικιλία καὶ ἡ φύσις ταῦτα συχνῶς μεταβάλλουσα δεῖσθαι τὸν νόμον ἐκεῖνον ἐπανορθώσεως ἡμετέρας παρεσκεύασε. λέγει γοῦν ὁ νόμος, δεῖν τὰς τῶν τελευτώντων βουλήσεις, ὅταν ὦσι[4]) γονεῖς, πᾶσι τρόποις μεταξὺ παίδων κρατεῖν, καὶ τοσοῦτον αὐτοὺς αἰσχύνεται γονεῖς ὄντας, ὅτιπερ αὐτοῖς καὶ τὴν ἀσαφῆ τῶν πραγμάτων συγχωρεῖ δήλωσιν, λέγων, εἰ καὶ μὴ ἐναργεῖς εἰσὶν αἱ αὐτῶν διατυπώσεις, εἰσάγονται

8) Flor. οἱ omittit. 9) Flor. μερισθήσεσθαι. 10) Subscriptio deest. secundum coniecturam not. 5 propositam haec nostra constitutio mox post annum 539 data est, fortasse ad eundem comitem Orientis Lazarum, cui const. CXXXIX inscripta est.

1) Adde ὀρδιναρίου. 2) Lege πατρικίου. Ven. addit βι. γ' τοῦ κώδ. τί. λς' διατ. κα' καὶ κς. 3) l. 26 C. famil. ercisc. 3, 36. 4) Hal. εἰσί.

δὲ ἔκ τινων τεκμηρίων καὶ ἐναυσμάτων[5]) καὶ τῆς οἱασοῦν γραφῆς, καὶ οὕτω ταῦτα κρατεῖν· καὶ τοῦτο ἐπί τε σούων καὶ ἐμαγκιπάτων παίδων φησίν· καὶ πρός γε ἡ Θεοδοσίου[6]) προσδιορίζεται, οὐκ ἐπὶ πατέρων μόνων ταῦτα διατυποῦσα, ἀλλὰ καὶ ἐπὶ μητέρων καὶ ἐπὶ ἀνιόντων ἑκατέρας φύσεως. ταύτης ἐπιλαβόμενοι τῆς ἀδείας ἄνθρωποι εἰς τοσαύτην ἀσάφειαν ἐξῆλθον, ὥστε μάντεων μᾶλλον ἢ ἑρμηνέων ταῦτα προσδεῖσθαι· τοιγαροῦν οὔτε πρόσωπα γράφοντες οὔτε πραγμάτων λέγοντες γνωρίσματα, καὶ ἴσως οὐδὲ ποσὸν, ὅμως ἀξιοῦσι στοχασμοῖς καὶ τῷ τῶν εἰκότων λόγῳ τὰ τοιαῦτα ἐπιτρέπειν.

α΄. Ἡμεῖς τοίνυν πάντα σαφῆ τε καὶ ἀναπεπταμένα καθεστάναι βουλόμενοι (οὐδὲν[7]) γὰρ οὕτως ἴδιον νόμων ὡς σαφήνεια, μάλιστα ἐπὶ ταῖς τῶν τελευτώντων διατυπώσεσι) βουλόμεθα, εἴ τις γράμματα ἐπιστάμενος μεταξὺ τῶν αὑτοῦ παίδων βούλοιτο ποιήσασθαι διατύπωσιν, πρῶτον μὲν αὐτῆς[8]) προγράφειν τὸν χρόνον, εἶτα καὶ τὰ τῶν παίδων ὀνόματα οἰκείᾳ χειρὶ, καὶ πρός γε τοὺς οὐγκιασμοὺς εἰς οὓς γράφει κληρονόμους αὐτοὺς, μὴ τοῖς συμβόλοις τῶν ἀριθμῶν σημαινομένους ἀλλὰ δι' ὅλων γραμμάτων δηλουμένους, ὥστε πανταχόθεν σαφεῖς τε καὶ ἀναμφισβητήτους καθεστάναι. εἰ δὲ καὶ πραγμάτων βούλοιτο ποιήσασθαι διαίρεσιν ἤ τισι πράγμασι ῥητοῖς πάσας ἤ τινας τῶν ἐνστάσεων περιστῆσαι, καὶ τὰ τούτων ἐγγραφέτω γνωρίσματα, ὥστε τοῖς αὑτοῦ γράμμασι πάντα δηλούμενα μηδεμίαν ἔτι φιλονεικίαν τοῖς παισὶ καταλιμπάνειν. εἰ μέντοιγε ἢ γαμετῇ ἢ ἐξωτικοῖς τισι προσώποις βούλεται καταλιπεῖν legata ἢ fidicomissa ἢ καὶ ἐλευθερίας, καὶ ταῦτα οἰκείᾳ χειρὶ γραφόμενα, λεγόμενά τε παρὰ τῶν διατιθεμένων ἐπὶ τῶν μαρτύρων, ὡς ἅπαντα ἐφεξῆς τὰ ἐν τῇ διατυπώσει κείμενα αὐτοὶ καὶ ἔγραψαν καὶ βούλονται

5) Sic Flor. Ven. ἐναισμ. 6) l. 21 §. 1. C. de testam. 6, 23. 7) Ven. οὐ. 8) Ven. et Flor. αὐτοῖς, Proch. autem et Epan. rectius αὐτῆς.

κρατεῖν, ἔστω ἰσχυρά, μηδὲν ἐλαττούμενα ἐκ τοῦ δοκεῖν ἐν χάρταις γεγράφθαι τὴν λοιπὴν παρατήρησιν τῶν διαθηκῶν μὴ δεξάμενα, ἀλλὰ τοῦτο μόνον διατάττέτω, τὸ[9]) τὴν αὐτοῦ δεξιάν τε καὶ γλῶτταν ἔχειν τὴν πᾶσαν ἰσχὺν τῷ χάρτῃ παρεχομένην.

β'. Καὶ εἴπερ μέχρι τελευτῆς μείνοι τοῦτο τὸ σχῆμα, οὐδεὶς ὕστερον παρέξει μαρτυρίας, ὡς ἠβουλήθη τυχὸν τὴν τοιαύτην γνώμην ἀμεῖψαι ἢ ἐναλλάξαι ἤ τι τοιοῦτο ποιῆσαι, ᾧ γε ἐξῆν διαῤῥῆξαι τὸ γενόμενον καὶ ἑτέραν ποιήσασθαι βούλησιν δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην, ἣν προσήκει κρατεῖν. τοῦτο γὰρ ἐφίεμεν αὐτῷ πράττειν, αὐτὸ τοῦτο ῥητῶς ἐπισημαινομένῳ ἐπὶ παρουσίᾳ μαρτύρων ἑπτὰ[10]), ὡς καὶ πεποίηταί τινα τοιαύτην βούλησιν, οὐ μὴν κρατεῖν αὐτὴν ἔτι βούλεται, ἀλλ' ἑτέραν ποιήσασθαι. καὶ ταῦτα ἢ ἐν τελείᾳ διαθήκῃ ποιείτω πάντα τὰ τῶν διαθηκῶν ἐχούσῃ σύμβολα, ἢ ἐν ἀγράφῳ τελείᾳ βουλήσει, ὥστε ἐπ' ἐγγράφῳ ἢ ἀγράφῳ βουλήσει δοκεῖν αὐτὸν τελευτῆσαι, τῶν προτέρων ἀκύρων ἐκ τῆς δευτέρας αὐτοῦ κατὰ τὴν τελείαν διαθήκην ἢ βούλησιν διατυπώσεως[11]) γινομένων.

γ'. Ἐπειδὴ δὲ ἴσμεν τινὰς νεμήσεις ποιουμένους μεταξὺ τῶν οἰκείων παίδων καὶ παρασκευάζοντας αὐτοὺς ταύταις ὑπογράφειν, καὶ τὸ τοιοῦτο σχῆμα προσιέμεθα. εἰ γὰρ διανέμοι τὶς τὰ οἰκεῖα πράγματα καὶ αὐτοὺς τοὺς παῖδας προσκαλεσάμενος ποιήσειεν ὑπογράψαι ταῖς νεμήσεσιν αὐταῖς, καὶ κυρίας ταύτας ἡγήσασθαι καὶ ὁμολογῆσαι ταῦτα κατὰ τοῦτον ἔχειν τὸν τρόπον, ἔστω καὶ τοῦτο κύριον ἐπὶ τοιαύτης πραγμάτων διαιρέσεως κατὰ τὴν ἡμετέραν διάταξιν ἣν περὶ τούτου τεθείκαμεν[12]), ἣν ἐπὶ πᾶσι τοῖς αὐτῇ περιε-

9) Ven. διαλλαττέτω habet. Hal. ἀλλὰ τούτῳ μόνον διαλλαττέτω τῷ κτλ. ego Proch. Epan. et Basil. sequutus sum, licet Auth. lectionem διαλλ. commendet. 10) Flor. Proch. Epan. et Bas. addunt ἢ καὶ ε'. 11) Ita Proch. Epan. et Bas. cum Auth. Hal. et Ven. διατυπώσεων. 12) Const. XLII.

χομένοις κυρίαν εἶναι καὶ διὰ τοῦδε τοῦ νόμου θεσπίζομεν. εἰ μέντοιγε καὶ ἐπὶ διανεμήσεων[13] *αὐτὸς ὑπογράψοι καὶ σαφῆ πάντα διὰ τῆς ὑπογραφῆς τῆς αὐτοῦ ποιήσεται, ἔστω καὶ τοῦτο κύριον, ἐπειδὴ καὶ τοῦτο ἤδη τῇ ἡμετέρᾳ νομοθεσίᾳ περιέχεται. πρόδηλον δὲ, ὡς ἐπὶ τῶν τοιούτων θεμάτων ὅδε ὁ νόμος κρατήσει, ὁπόσα μετ' αὐτὸν κινηθῆναι συμβαίη.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης γινώσκουσα ἅπασι ποιησάτω φανερὰ, ὥστε μηδὲν διαλαθεῖν τῶν ὀρθῶς καὶ προνοητικῶς ὑπὲρ τῶν ἡμετέρων ὑπηκόων νενομοθετημένων. Dat. K. Febr. CP. DN. Iustin. PP. Aug. ann. XIV. Basilio[14]) V. C. Cons. Ind. IV.[15])

Nov. 108. **CXXVII.** Auth. 103.

Basil. XXXV, 11, 81. — Summae: Iulian. c. 101, Athan. IX, 9, Theod. Nov. 108.

Περὶ τῶν ἀποκαταστάσεων.

Ὁ αὐτὸς Βασιλεὺς Βάσσῳ τῷ μεγαλοπρεπεστάτῳ κόμητι τῶν καθωσιωμένων δομεστίκων ἐπέχοντι τὸν τόπον Ἰωάννου τοῦ ἐνδοξοτάτου ὑπάρχου τῶν ἱερῶν πραιτωρίων.[1])

Ὑποθέσεως ἠκούσαμεν περὶ διαθήκης ἀμφισβητουμένης, ἣν καὶ ἑρμηνεῦσαι δίκαιον ἡγησάμεθα καὶ νόμῳ περιλαβεῖν ἀκριβεῖ, τοῦτο δὴ τὸ ἡμῖν εἰωθὸς ἐκ τῶν ἐν ταῖς ὑποθέσεσι κινουμένων ζητήσεων νόμων χρηστῶν λαμβάνειν ἀφορμάς. [§. 1.] *παῖδας γάρ τις οἰκείους ἐνστησάμενος κληρονόμους,*

13) *τῶν διανεμ?* 14) Auth. ann. XIII. Ven. ann. XIV omittit et Bilisario legit. Athanasius: *βασιλείας ἰουστινιανοῦ τὸ ιδ' ὑπατείᾳ βασιλείου ἰνδ. δ'* Theodorus corrupte: *ἔτει ιβ' βασιλείας ὑπατείᾳ βελισαρίου.* 15) Indict. IV addo ex Ath.
1) In Ven. adnotatur *βι. ε' τί. γ' διγ. κε'. βι. κη' τί. η' διγ. ζ'. βι. λβ' διγ. λθ' καὶ πδ'.*

εἶτα καὶ ἀλλήλοις αὐτοὺς ἐξ ἀπαιδίας ὑποκαταστῆσαι βουλόμενος ἐκέλευσεν, εἰ συμβῇ τινα τῶν αὐτοῦ παίδων καὶ κληρονόμων μέλλειν ἄπαιδα τὸν ἀνθρώπινον καταλύειν βίον, μετὰ[2]) τὴν ἐξαίρεσιν τῶν ἐκ τοῦ νόμου ὀφειλομένων αὐτῷ ἐκ τῶν παρ' αὐτοῦ καταλιμπανομένων αὐτῷ πραγμάτων τὰ λοιπὰ πάντα πράγματα καὶ δίκαια, ὅσα παρ' αὐτῷ ἐν καιρῷ τελευτῆς εὑρεθείη, ἔρχεσθαι καὶ ἀποκαθίστασθαι τῷ ἐξ αὐτῶν περιόντι ἢ τοῖς αὐτοῦ παισὶν εἴ γε αὐτὸς τελευτήσοι. πάσης ἀργούσης μεταξὺ αὐτῶν διὰ τὴν εἰρημένην ἀποκατάστασιν ἀσφαλείας τε καὶ ἐγγύης. ἐπὶ τούτοις αὐτοῦ τελευτήσαντος, καὶ τοῦ μὲν ἑνὸς τῶν αὐτοῦ παίδων καὶ κληρονόμων παῖδας ἔχοντος, τοῦ δὲ μείναντος ἄπαιδος, κωλύει τὸν ἄπαιδα ὁ τοὺς παῖδας ἔχων κεχρῆσθαι τοῖς πράγμασιν ὡς ταῦτα ἐλαττοῦντα. ὁ δὲ ἀποκεχρημένος τοῖς ῥήμασι τῆς διαθήκης, καὶ ὅτι εἴ τι εὑρεθείη ἐν καιρῷ τελευτῆς παρ' αὐτῷ, τοῦτο αὐτὸν ἀποκαθιστᾶν ἐκέλευσε, κατὰ τοῦτο βούλεται τὸ σχῆμα παῤῥησίαν ἔχειν χρῆσθαι τοῖς πράγμασιν ὡς ἂν βουληθείη, μηδεμιᾶς κωλύσεως περὶ τῆς αὐτῶν διοικήσεως ἐπαγομένης αὐτῷ. [§. 2.] ἡμεῖς τοίνυν λαβόντες ἐκ τούτου πρόφασιν ᾠήθημεν χρῆναι καὶ τὴν παλαιὰν ἀοριστίαν καὶ τὴν ἐφεξῆς διάκρισιν τὴν μὲν ὁρίσαι τὴν δὲ καθαρὰν ἐν ἀνθρώποις ἀποθέσθαι, καὶ διὰ τοῦτο νόμῳ τὸ πρᾶγμα περιλαβεῖν, ὅπως ἂν μάθοιεν ἄνθρωποι τὴν πᾶσαν τοῦ νόμου τάξιν, μεθ' ἧς προσήκει τὰ τοιαῦτα καὶ μανθάνειν καὶ κρίνειν. ἴσμεν τοίνυν Παπινιανῷ[3]) τῷ σοφωτάτῳ ῥηθέν τι ἐν τῷ ιθ' τῶν ἑαυτοῦ quaestionων[4]), ἔνθα ἐπιτρέπει τὰς ἐκποιήσεις ἐπὶ τοιούτου θέματος, ἐκεῖνο μόνον ὥσπερ ἐξεπίτηδες ἐν αἰνίγματι προσθεὶς, τὸ τηνικαῦτα δεῖν κεκωλῦσθαι τὰς ἐκποιήσεις, ἡνίκα ἐπὶ τῷ καταλῦσαι τὸ φιδικόμμισσον ἐξεπίτηδες ὁ τούτῳ βεβαρημένος ἐπὶ τὴν ἐκποίησιν ἦλθε. καὶ ὁ φιλό-

2) Ven. καὶ μετά. 3) Ven. παπιανῷ omissis verbis ἴσμεν τοίνυν, et mox ῥηθέντα. 4) l. 54 D. ad SC. Trebell. 36, 1.

σοφος ἐν βασιλεῦσι Μάρκος, τοιούτου τινὸς ὑποτεθέντος θέματος, ἀνδρὸς ἀγαθοῦ μεσιτείαν δοκεῖν ἐνεῖναι[5]) τοῖς τοιούτοις ῥήμασι διετύπωσεν.[6])

α΄. Ἡμῖν οὖν ὀρθῶς ἔδοξεν ἔχειν οὕτω τυπῶσαι τὴν νομοθεσίαν, ὥστε εἰ μὲν καθόλου τὶς εἴποι ἀποκατάστασιν τοῦ φιδικομμίσσου ταῦτα κρατεῖν, ἅπερ ἐπὶ τῶν τοιούτων διώρισται καὶ παρ᾽ ἡμῶν ἤδη νενομοθέτηται[7])· εἰ δὲ τοιοῦτον ᾖ τὸ φιδικόμμισσον, ὁποῖον ὑπόκειται, καὶ τὰ εὑρισκόμενα ἤτοι περιλιμπανόμενα ἐν καιρῷ τελευτῆς ὁ διαθέμενος ὑπάγει μόνα τῷ φιδικομμίσσῳ, τηνικαῦτα τὸ ἀορίστως εἰρημένον τοῖς ἔμπροσθεν ὑπό τινα νενομισμένην ἀγαγεῖν διαίρεσίν τε καὶ τάξιν. εἰ γάρ τις ταῦτα ἢ καί τι τοιοῦτον ἕτερον φήσειε, θεσπίζομεν ὥστε μέχρι τοῦ φαλκιδίου μόνου τῆς οἰκείας ἐνστάσεως ἀνάγκην ἔχειν φυλάττειν τὸν βεβαρημένον τοῦ φιδικomissou τῇ ἀποκαταστάσει, καὶ μὴ δύνασθαί τι παντελῶς ἐξ ἐκείνου ἐλαττοῦν· ἱκανὸν γάρ, εἰ τῷ μὲν κληρονόμῳ περιέσονται τὰ τρία μέρη, τῷ δὲ ὁ τοῦ τετάρτου μόνου περιλειφθήσεται λόγος. οὐδὲ γαρ ἐφήσομεν τῷ βεβαρημένῳ καὶ δωρεαῖς χρῆσθαί τισι, καὶ ἴσως ἐξεπίτηδες (ὅπερ ὁ Παπινιανὸς ἔλεγεν intervertendi fideicommissi causa) ὥστε καὶ τὸ τέταρτον ἀπομειοῦν τῆς ἐνστάσεως τῆς αὐτοῦ, ἀλλὰ τοῦτο πάντως καταλιμπάνειν τὸ φιδικόμμισσον[7a]), τῶν ἄλλων ἁπάντων ἐπὶ τῇ αὐτοῦ κειμένων ἐξουσίᾳ, ὥστε ἄδειαν ἔχειν αὐτὸν τούτοις ὡς βούλεται χρήσασθαι, καθὰ τελείοις δεσπόταις προσήκει. εἰ μέντοι καὶ αὐτοῦ τοῦ τετάρτου ὁ βεβαρημένος προσάψεται, ἀναγκαῖόν ἐστι πολυπραγμονεῖσθαι τὴν αἰτίαν, καθ᾽ ἣν τοῦτο πέπραχε. καὶ εἴπερ ἢ προῖκα βούλοιτο δοῦναι ἢ προγαμιαίαν δωρεὰν, ἑτέραν[8]) οὐκ ἔχων οὐσίαν, δεῖν αὐτῷ τοῦτο συγχωρεῖσθαι πράττειν, κατὰ τοῦτο δὴ τὸ τῷ ἡμετέρῳ περιεχόμενον ἤδη νόμῳ[9]), εἰς ὅπερ αὐτῷ

5) Ven. εἶναι. 6) l. 54 D. cit. 7) l. 7. 8 C. ad Sc. Trebell. 6, 49. 7a) τῷ φιδικομμισσαρίῳ? 8) Ven. ὑστέραν. 9) Const. L.

παντελῶς οὐκ ἠρνησάμεθα τὴν τοιαύτην ἀπομείωσιν· ει δὲ καὶ εἰς αἰχμαλώτων λύσιν (ταύτην γὰρ ἐξαιροῦμέν τε καὶ ἀνατίθεμεν τῷ θεῷ τὴν αἰτίαν), καὶ τοῦτο ἄδειαν αὐτὸν ἔχειν ποιεῖν, καὶ ἐλαττοῦν καὶ τὸ τέταρτον, τοῦ τῆς εὐσεβείας λόγου πάντων ἡμῖν τιμιωτέρου φαινομένου.

β'. Εἰ δὲ συμβαίη μηδὲ αὐτὸν ἔκ τινων αἰτιῶν ἔχειν ὅθεν ποιοῖτο δαπάνας, ἐκ τῆς τοιαύτης ἀποκαταστάσεως καὶ ταύτας ποιεῖσθαι δίδομεν αὐτῷ παῤῥησίαν (τοῦτο ὅπερ καὶ ὁ διαθέμενος ἐπέτρεψε, τὸ περιλιμπανόμενον ὅλως τοῦτο[10]) βουλόμενος εἰς τὴν ἀποκατάστασιν ἕλκεσθαι, καὶ ὡς ἄν τις εἴποι ἐκ τοῦ περιττεύοντος αὐτῷ τὴν ἀποκατάστασιν γίνεσθαι). εἰ δὲ μηδεμία τοιαύτη τὶς ὑπόκειται πρόφασις, ἀνάγκην ἔχειν πάντως τὸ τέταρτον μέρος τῆς οἰκείας ἐνστάσεως φυλάττειν καὶ τῇ τοιαύτῃ ἀποκαταστάσει χαρίζεσθαι. εἰ μέντοι τὶ δαπανῴη ἔχων ὅθεν τὴν ἀποπλήρωσιν ποιήσεται, ἐξ ἐκείνου καὶ ἀναπληροῦσθαι τὸ τέταρτον καὶ κατὰ μηδεμίαν αἰτίαν αὐτὸ μειοῦσθαι. εἰ δὲ προσάψηται τοῦ τετάρτου καὶ οὐκ ἔχει πρὸς ἀναπλήρωσιν ἑτέραν οὐσίαν, τηνικαῦτα δίδομεν καὶ κατὰ τῶν ἠγορακότων ἢ ἄλλως λαβόντων πράγματα ἰν ῥὲμ καὶ ὑποθήκας ἐκ τῆς αὐθεντίας τοῦδε τοῦ νόμου, ὥστε ἐξεῖναι ἀναπληροῦν τὸν φιδικomissariον ἑαυτὸν ἐκ τῆς τῶν πραγμάτων ἐκδικήσεως, τοῦτο ὅπερ καὶ ἐπὶ τῶν λεγάτων ἤδη δεδώκαμεν, καὶ τὴν ἐκ τῆς διατάξεως in rem αὐτοῖς χαρισάμενοι καὶ τὴν τοῦ fidecommissoυ persecutionα. ὥστε καὶ ἀσφάλειαν ὁ fidecommissarioς[10a]) δώσει τοῦ μὴ ἔλαττον τοῦ τετάρτου φυλάττειν, εἰ μὴ καὶ αὐτὴν ὁ διατιθέμενος συγχωρήσειεν, ὥσπερ ἐπὶ τοῦ προσηγγελμένου ἡμῖν πεποίηκε φάκτου. αὐτοῦ γὰρ τοῦ διατιθεμένου πᾶσαν οὐκ ἐγγύην μόνον ἀλλὰ καὶ ἀσφάλειαν συγχωρήσαντος ἡμᾶς ἀλλοιότερον αὐτὸ διαθεῖναι, οὐκ ἂν εἴη τῆς τοῦ τελευτήσαντος ἐστοχασμένου[11]) γνώμης.

10) τούτῳ (scil. περιλιμπανόμενον)? 10a) ὁ κληρονόμος τῷ fidecommissaríῳ? Theod. ὁ ἀξιωθεὶς ἀποκαταστῆσαι. Iulian.: scriptus heres generali fideicommissario. 11) Ven. ἐστοχασμέ-

Κατὰ ταῦτα τοίνυν ἔστω τοῖς πράγμασι τομὴ, αὐτῷ τε τούτῳ τῷ παρασχομένῳ τὴν ζήτησιν καὶ τοῖς ἄλλοις ἅπασιν ἐφ' οἷς ἠρτῆσθαι συμβαίνει τὰ θέματα, τῶν μὲν διαθηκῶν οὕτω γενομένων καὶ τῶν διαθεμένων ἴσως τελευτησάντων, οὔπω δὲ τοῦ τοιούτου χώραν λαβόντος φιδικομμίσσου, ἀλλ' ἔτι τοῦ βεβαρημένου περιόντος. καὶ ταῦτά φαμεν οὐκ ἐπὶ παίδων μόνων, ἀλλὰ καὶ τῶν ἄλλων συγγενῶν καὶ τῶν ἔξω τοῦ γένους, ἐφ' ὧν ὅλως τοιοῦτο φιδικόμμισσον καταλελεῖφθαι συμβαίνει. ἡ τοίνυν σὴ ἐνδοξότης ἅπασι ταῦτα φανερὰ ποιήσει τοῖς ἡμετέροις ὑπηκόοις, ὥστε εἰδέναι, κατὰ τίνα τρόπον προσήκει καὶ ζῆν αὐτοὺς καὶ τελευτᾶν καὶ διατίθεσθαι, φιδικόμμισσά τε καταλιμπάνειν καὶ τὰ ἄλλα πράττειν, ἅπερ ἐπὶ τῶν τοιούτων νενόμισται. Dat. K. Febr. Const. DN. Iust. PP. Aug. ann. XIV.[12]) Basilio V. C. Cons.

Nov. 110. | CXXVIII. | Auth. 105.

Summas praestant Iulian. c. 103, Athan. XVII, 2 et Theod. Nov. 110.

Περὶ τῶν τόκων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ[1]) *πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων*[2]) *καὶ πατρικίῳ.*

Ἴσμεν ἐκ μηνύσεως τῆς σῆς ὑπεροχῆς νόμον ἤδη πεποιηκότες περὶ τῶν traiecticiων *χρημάτων, ὃς ἐμφανὴς γέγονε τῷ δικαστηρίῳ τῷ σῷ.*[3])

νους. Hal. *ἐστοχασμένον.* 12) Annum suppeditavit Theod. Athanasius: *ἐγράφη ἡμέρᾳ τῇ αὐτῇ* scil. qua c. CXXVI data est.

1) Hal. *τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ.* — inscriptionem firmant Auth. et Ath. nihilo secius Basso vicario inscribenda erit, si c. CXXIX, quae eadem die data est, Athanasio teste ad Bassum directa est. nec sane probabile erat, Iustinianum legem, quam Ioanne suggerente de traiectitiis pecuniis tulerat, Ioanne adhuc in actu posito post paucos menses revocasse. 2) Scil. *ὀρδιναρίῳ.* 3) Const. CXXIV.

α'. Ἀλλ' ἐπειδήπερ ὕστερον προσελεύσεων ἡμῖν γενομένων προσετάξαμεν, τὸν νόμον ἐκεῖνον μὴ κρατεῖν, ἀναληφθῆναι αὐτὸν προστάξαντες ἐκ τοῦ δικαστηρίου τοῦ σοῦ, ἔγνωμεν δὲ αὐτὸν καὶ ἔν τισι τῶν ἐπαρχιῶν ἤδη καταφανῆ γενέσθαι, διὰ τοῦτο θεσπίζομεν, τὸν τοιοῦτον νόμον παντοίως ἀργεῖν, καὶ εἰ συνέβη κατὰ χώραν αὐτὸν πεμφθῆναι, μηδὲ ἐκεῖσε κρατεῖν, ἀλλ' ἀνίσχυρον εἶναι. καὶ οὕτω βουλόμεθα τὸ πρᾶγμα προϊέναι, ὡς εἰ μηδὲ γραφεὶς ἐτύγχανεν ὁ εἰρημένος νόμος, ἀλλὰ κατὰ τοὺς ἤδη περὶ τῶν τοιούτων τεθέντας νόμους παρ' ἡμῶν τὰς ὑποθέσεις ἐξετάζεσθαι καὶ κρίσεως ἀξιοῦσθαι.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. VI[4]) K. Mai. CP. DN. Iust. PP. Aug. ann. XV Basilio[5]) V. C. Cons.

Auth. 104. CXXIX. Nov. 109.

Basil. I, 1, 55 (51). — Summas habent Iulian c. 102, Athan. III, 1, Theod. Nov. 109 et incertus epitomator in Nomocan. XIV titt. 12, 1.

Περὶ αἱρετικῶν τῇ πίστει γυναικῶν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.[1])

Μίαν ἡμῖν[2]) εἶναι βοήθειαν ἐπὶ παντὶ τῷ τῆς ἡμετέρας πολιτείας τε καὶ βασιλείας βίῳ[3]) τὴν εἰς θεὸν ἐλπίδα πιστεύομεν, εἰδότες ὅτι τοῦτο ἡμῖν καὶ τὴν τῆς ψυχῆς καὶ τὴν τῆς βασιλείας δίδωσι σωτηρίαν, ὥστε καὶ τὰς νομοθεσίας τὰς ἡμετέρας ἐκεῖθεν ἠρτῆσθαι προσήκει, καὶ εἰς αὐτὴν

4) Auth. V Kal. 5) Ven. Bilisario. sed annum imperii XV quem Ven. omittit confirmant Auth. Theodorus, ut Basilio legendum sit.

1) Rectius apud Athan. *Βάσσῳ τοποτηρητῇ τῶν ἐπάρχων.* certe post *ἀπὸ ὑπ.* addendum *ὀρδιναρίῳ.* 2) Ven. *ἐστὶν εἶναι* et mox *τό.* 3) Athan. *τόπῳ.*

ἀφορᾶν καὶ ταύτην αὐτῶν ἀρχήν τε εἶναι καὶ μέσαν[4]) καὶ πέρας. ἴσασι τοίνυν ἅπαντες, ὡς οἱ πρὸ ἡμῶν βεβασιλευκότες καὶ μάλιστα Λέων ὁ τῆς εὐσεβοῦς μνήμης καὶ Ἰουστῖνος ὁ τῆς θείας λήξεως ἡμῶν πατὴρ ἐν ταῖς ἑαυτῶν διατάξεσι τοῖς αἱρετικοῖς ἅπασιν ἀπηγόρευσαν, ὥστε μηδεμίαν[5]) αὐτοὺς μετιέναι στρατείαν μήτε δὲ τὴν οἱανοῦν ἐπὶ δημοσίαις φροντίσι μετουσίαν ἔχειν, ὅπως ἂν μὴ προφάσει τῶν στρατειῶν τῶν τε δημοσίων ἐπιταγμάτων[5a]) τῷ τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας μέρει φανεῖεν λυμαινόμενοι. καὶ ἡμεῖς δὲ αὐτὸ τοῦτο πεπράχαμεν ἡμετέραις διατάξεσι ταῦτα κυρώσαντες. αἱρετικοὺς δὲ καὶ ἐκεῖνοι εἰρήκασι καὶ ἡμεῖς λέγομεν τοὺς διαφόρων ὄντας αἱρέσεων, οἷς συνάπτομέν τε καὶ συναριθμοῦμεν καὶ τοὺς τῇ[6]) Νεστορίου Ἰουδαϊκῇ ἀκολουθοῦντας μανίᾳ, καὶ Εὐτυχιανιστὰς καὶ Ἀκεφάλους, οἵτινες τὴν Διοσκόρου καὶ Σεβήρου κακοδοξίαν νοσοῦσι τῶν τὴν Μανιχαίου καὶ Ἀπολιναρίου ἀνανεωσαμένων δυσσέβειαν, καὶ πρός γε πάντας[7]) τοὺς μὴ ὄντας μέλος τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἐν ᾗ πάντες ὁμοφώνως οἱ ἁγιώτατοι πάσης τῆς οἰκουμένης πατριάρχαι, ὅ τε τῆς ἑσπερίας[8]) Ῥώμης καὶ ταύτης τῆς βασιλίδος πόλεως καὶ Ἀλεξανδρείας καὶ Θεουπόλεως καὶ Ἱεροσολύμων, καὶ πάντες οἱ ὑπ' αὐτοὺς τεταγμένοι ὁσιώτατοι ἐπίσκοποι τὴν ἀποστολικὴν κηρύττουσι πίστιν τε καὶ παράδοσιν. τοὺς τοίνυν τῆς ἀχράντου κοινωνίας κατὰ τὴν καθολικὴν ἐκκλησίαν οὐ μεταλαμβάνοντας παρὰ τῶν ταύτης θεοφιλεστάτων ἱερέων αἱρετικοὺς δικαίως καλοῦμεν. κἂν γὰρ ὄνομα Χριστιανῶν ἑαυτοῖς περιτιθέασι, τῆς ἀληθινῆς ἑαυτοὺς τῶν Χριστιανῶν πίστεώς τε καὶ κοινωνίας χωρίζοντες τῷ τοῦ θεοῦ κρίματι ἑαυτοὺς ὑπάγειν γινώσκονται.

α'. Οἱ μὲν οὖν περὶ τῶν αἱρετικῶν φοιτήσαντες νόμοι

4) Ven. μέσα. 5) Ven. μίαν τε. 5a) Auth. collegiorum i. e. ταγμάτων. Hal. ἔτι πραγμάτων. forte ἔτι ταγμάτων. 6) Ven. τήν. 7) Ven. πρό γε πάντων. 8) Ven. ἑσπέρας.

πᾶσίν εἰσι φανεροί. ἡμεῖς δὲ βουλόμενοι τοὺς τὴν ὀρθόδοξον ἀσπαζομένους πίστιν καὶ ταύτης ἀντεχομένους ἔχειν τὶ πλέον προνόμιον τῶν ἀλλοτριούντων ἑαυτοὺς τῆς τοῦ θεοῦ ποίμνης (ἐπειδὴ μήτε δίκαιόν ἐστιν ἴσων τοῖς ὀρθοδόξοις τοὺς αἱρετικοὺς ἀξιοῦσθαι προνομίων), διὰ τοῦτο καὶ νῦν ἐπὶ τὸν παρόντα εἴδομεν νόμον. ἐπειδὴ γὰρ δεδώκαμεν προνομίαν ταῖς γυναιξὶ τῶν προικῶν, ὥστε καὶ προγενεστέρων δανειστῶν προκρίνεσθαι καὶ βελτίω τάξιν ἔχειν αὐτὰς καὶ ταῦτα ὑπὸ τοῦ χρόνου νικωμένας, ἐπὶ δὲ τῶν διὰ τοὺς γάμους δωρεῶν κατὰ τοὺς χρόνους καθ' οὓς ἂν γένοιντο τὰς ὑποθήκας ἔχειν, πᾶσιν ἐπὶ τοῦ παρόντος ποιούμεθα φανερὸν διὰ τοῦδε τοῦ θείου ἡμῶν νόμου, ὅτι καὶ ταύτην τὴν προνομίαν καὶ τὰς σιωπηρὰς ὑποθήκας καὶ τὰ ἄλλα πάντα, ὁπόσα ταῖς γυναιξὶν ἐν διαφόροις προνομίοις παρὰ τῶν ἡμετέρων δέδοται νόμων, ἐκείναις δίδομεν μόναις ἐφ' ᾧ τούτων ἀπολαύειν τε καὶ χρῆσθαι ταῖς ἐξ αὐτῶν[9]) εὐεργεσίαις, αἳς ἐπιμελές ἐστι τὴν ὀρθὴν καὶ προσκυνουμένην ἡμῶν πίστιν κρατεῖν (τὴν τῆς καθολικῆς φαμεν καὶ ἀποστολικῆς ἐκκλησίας) καὶ μετέχειν τῆς ἐν αὐτῇ σωτηριώδους κοινωνίας. τὰς γὰρ χωριζούσας ἑαυτὰς τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τῆς ἀχράντου κατ' αὐτὴν κοινωνίας μεταλαμβάνειν οὐκ ἀνεχομένας παρὰ τῶν ταύτης θεοφιλεστάτων ἱερέων οὐ βουλόμεθα παντελῶς τῶν τοιούτων ἀπολαύειν προνομίων. εἰ γὰρ ἑαυτὰς χωρίζουσι τῶν τοῦ θεοῦ δωρεῶν καὶ τῆς ἁγίας καὶ ἀχράντου κοινωνίας ἀλλοτρίας ποιοῦσι, πολλῷ μᾶλλον καὶ ἡμεῖς οὐκ ἂν αὐτὰς ἀξιώσαιμεν προνομίων καὶ τῆς ἐκ τῶν ἡμετέρων νόμων ἀπολαῦσαι συγχωρήσαιμεν συγκροτήσεως, ἀλλ' ἔστωσαν αὐταῖς ἄβατοι παντοίως[10]) αἱ παρὰ τῶν νόμων εὐεργεσίαι, καὶ παντὸς προνομίου ἐκ τῶν ἡμετέρων διατάξεων αὐταῖς δεδομένου στερηθήσονται.

9) Ven. ταῖς ἑαυτῶν. 10) Hal. παντελῶς. quod forsan praestat.

β'. Ἔξεστι δὲ αὐταῖς τῆς βελτίονος γινομέναις γνώμης, καὶ τὴν ὀρθὴν καὶ ἀληθινὴν ἀσπαζομέναις πίστιν καὶ ταύτης μέχρι παντὸς ἀντεχομέναις, τῶν τοιούτων ἀπολαύειν δωρεῶν τε καὶ προνομίων. τούτων ἐν ἁπάσῃ τῇ ὑπηκόῳ κρατούντων καὶ παραφυλαττομένων, πρωτοτύπως μὲν παρὰ τῶν θεοφιλεστάτων ἱερέων, ἔπειτα δὲ καὶ παρὰ τῶν ἡμετέρων ἀρχόντων καὶ δικαστῶν, εἴτε μείζους εἴτε ἐλάττους καθεστᾶσι, καὶ πρός γε παρὰ τῆς σῆς ὑπεροχῆς, πρὸς ἣν καὶ τὸν παρόντα ποιούμεθα νόμον. ὥστε προσῆκόν ἐστι τοὺς δικαστὰς, παρ' οἷς τινες κινοῦνται κατὰ γυναικῶν δίκαι ἢ παρὰ γυναικῶν τινὰ προνόμια ἐκδικεῖν ἑαυταῖς βουλομένων, ἀποβλέπειν εἰς τὴν τοῦ παρόντος ἡμῶν νόμου δύναμιν, καὶ εἰ μὴ εὕροιεν αὐτὰς τῆς ὀρθοδόξου πίστεως οὔσας καὶ μεταλαμβανούσας τῆς ἀχράντου καὶ προσκυνητῆς κοινωνίας ἐν τῇ ἁγιωτάτῃ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ παρὰ τῶν σεβασμιωτάτων ταύτης ἱερέων, ταύταις μὴ συγχωρεῖν ἀπολαύειν τῶν ἐκ τῶν ἡμετέρων διατάξεων προνομίων.[11])

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ γινώσκουσα ἐν ταῖς παρ' αὐτῇ[12]) *κινουμέναις δίκαις παραφυλάττειν καὶ ἔργῳ καὶ πέρατι παραδοῦναι φροντισάτω, διά τε τῶν εἰωθότων ἰδίκτων καὶ προσταγμάτων οἰκείων πᾶσι ποιησάσθω φανερὰ ἔν τε τῇ εὐδαίμονι ταύτῃ πόλει καὶ ἐν ταῖς ἐπαρχίαις πάσαις, ὥστε γινώσκειν πάντας, ὁπόση τίς ἡμῖν ἐστι φροντὶς καὶ τῆς ἀληθοῦς περὶ τὸν δεσπότην Χριστὸν τὸν ἀληθινὸν θεὸν πίστεως καὶ τῆς τῶν ἡμετέρων ὑπηκόων σωτηρίας.* Dat. VI K. Mai.[13]) CP. Iust. PP. Aug. ann. XV[14]) Basil. V. C. Cons.

11) In Ven. adscribitur *ἕως ὧδε τὸ βασιλικόν.* 12) Ven. *αὐτῶν.* 13) Ven. IIK Mai. unde VI K. effeci, ut eodem die constitutio data sit qua c. CXXVIII. *ε' νωνῶν μαΐων* Athan. et Iulian. 14) Annum addo ex Ath. Theod. Iulian.

Edict. 5. CXXX. Nov. 111.

Summas praestant Iulian. c. 104, Ath. II, 5, Theod. Nov. 111, αἱ ῥοπαὶ 42, 7.

Ὅπερ[1]) τὰ φάρμακα ταῖς νόσοις, τοῦτο παρέχουσι τὰ νόμιμα τοῖς πράγμασιν. ὅθεν ἀκόλουθόν ἐστι γινώσκειν, ὅτι πολλάκις τὰ δοκιμασθέντα παρά τινος ἐναντίον ἔσχε τὸ ἀποτέλεσμα, καὶ ὅπερ ἑκάστου στοχασμὸς ἐνόμισεν ἐπωφελὲς εἶναι, ἐξ αὐτῆς τῆς πείρας εὑρέθη ἄχρηστον.[2]) δεικνύει[3]) τοῦτο καὶ ἡ τῆς παρούσης νομοθεσίας ἀνάγκη, ἐφ᾽ ἧς[4]) τὸ πρὸ βραχέος χρόνου προνόμιον τὸ παρασχεθὲν ἔναγχος ἐξ εὐσεβοῦς σκοποῦ ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς μονα-

Auth. 106.

HAEC CONSTITUTIO INNOVAT CONSTITUTIONEM QUAE PRAESCRIPTIONEM CENTUM ANNORUM VENERABILIBUS LOCIS DEDERAT.

Idem Aug. Theodoto P. P.[5])

Quod medicamenta morbis, hoc exhibent iura negotiis. unde consequitur, ut nonnunquam a iudicio discordet effectus, et quod credebat coniectura prodesse, experimento inveniatur inutile. probat praesentis hoc etiam necessitas sanctionis, in qua privilegium, ex religioso proposito san-

1) Ven. et Flor. in coll. 168 Novv. nonnisi summam Theodori habent: textum graecum Ven. inter Edicta praestat. ibi inscribitur: ε. **περὶ λιτιγιόσων καὶ περὶ ἀσφαλείας ἣν δεῖ ποιεῖν τοὺς ἐνάγοντας πρὸ τῆς τῶν ἐναγομένων ὑπομνήσεως**, quae est rubrica constitutionis sequentis; proinde etiam haec inter Edicta Iustiniani olim collocata fuisse, in Veneto autem una cum rubrica et inscriptione nostrae constitutionis excidisse videtur. caeterum licet verbum *nuper* in prooemio in graecis duplici modo, **πρὸ βραχέος χρόνου** et **ἔναγχος**, reddatur, tamen graeca non interpreti sed ipsi imperatori sive officio praefecti tribuerim. 2) Ven. **ὅπερ ἑκάστου στόματος ἐν. ἐπωφελῆς εἶναι ἐξ αὐτ. τ. π. εὑρεθῆ ἄχρηστος**. 3) Ven. **δεικνύειν**. 4) Ven. **ἐφ᾽ οἷς**, quod licet ferri poterat, tamen ex exemplari latino corrigendum videbatur. 5) Apud Athan. inscribitur Eliae P. P. Illyrici.

στηρίοις καὶ τοῖς ἄλλοις σεβασμίοις τόποις ἐκ τῆς ἡμετέρας διατάξεως, ἀναγκαίᾳ τινὶ διορθώσει διασφαλίζομεν·[6]) εἰ γὰρ καὶ ἤδη πάλαι ἐκεκελεύκειμεν ἐπὶ ἑκατὸν ἐνιαυτοὺς τοῖς σεβασμίοις τόποις τοὺς τῆς παραγραφῆς δρόμους ἐπεκτείνεσθαι, καθ' ἣν ἄδειαν[7]) τῆς τοιαύτης νομοθεσίας πολλαὶ μὲν ἤδη κεκίνηνται ὑποθέσεις, καὶ ὥσπερ ἀρχαίων τραυμάτων αἱ ἐπικαλυφθεῖσαι ὠτειλαὶ πάλιν ἡπλώθησαν καὶ ἡ τούτων θεραπεία προσελθεῖν οὐκ ἠδυνήθη, δηλαδὴ ταῖς δυσκολίαις τῶν ἀποδείξεων ἐμποδισθεῖσα, ἐπειδὴ[8]) διὰ τοσούτου διαστήματος τοῦ αἰῶνος μᾶλλον ἤπερ τοῦ χρόνου οὔτε ἡ ἀκεραιότης τῶν ἀποδείξεων οὔτε ἡ πίστις τῶν πεπραγμένων οὐδὲ ἡ ἡλικία ἰσχύει βοηθῆσαι τοῖς μάρτυσιν.

α'. Ὅθεν ἐπειδὴ τῇ ἡμετέρᾳ φιλοτιμίᾳ οὐ συνέδραμεν ἡ τῶν ὑποθέσεων στενότης, μετὰ λογισμοῦ ἅμα δὲ καὶ ὁσιότητος τρακταΐζοντες τὸ εἰρημένον προνόμιον μέχρι τοῦ δυνα-

ctis ecclesiis et monasteriis aliisque religiosis locis constitutione nostra nuper indultum necessaria correctione distinguimus. dudum siquidem iusseramus, ad centum illis annos exceptionis propagari curricula, per cuius licentiam sanctionis negotia quidem multa commota sunt, et velut antiquorum vulnerum obductae patuerunt iterum cicatrices, sed eorum sanitas provenire non potuit, probationum scilicet difficultatibus impedita, quoniam per tantum saeculi magis quam temporis spatium nec documentis integritas nec actis fides nec aetas valet testibus suffragari.

I. Unde quia largitati[9]) nostrae causarum non occurrit angustia, cum ratione simul ac religione tractantes prae-

6) Ven. *διασφαλιζομένου*. innuit l. 23 C. de SS. ecclesiis. 7) Ven. *ἄδεια*, quod in *ἀδείᾳ* mutare voluerunt editores. caeterum graeca ut nunc leguntur (*εἰ γὰρ κτλ.*) a textu latino paululum recedunt. 8) Ven. *ἐπειδὴ δέ*. particula *δὲ* delenda fecit utpote quae plane abundaret. 9) Heimbachii Codices „largitatis" habent.

τοῦ μέτρου ἀγαγεῖν ἐκ τῆς πείρας αὐτῆς εἱλκύσαμεν, καὶ κελεύομεν, ὥστε ἐπὶ τῶν ὑποθέσεων, ἃς πρὸ τούτου ἡ τῶν τριάκοντα ἐνιαυτῶν ἀπεκίνει παραγραφὴ, νῦν ταῖς σεπταῖς[10]) ἐκκλησίαις καὶ μοναστηρίοις καὶ ξενῶσιν, ἔτι γε μὴν καὶ ὀρφανοτροφείοις καὶ βρεφοτροφείοις καὶ πτωχείοις ἡ τῶν τεσσαράκοντα ἐνιαυτῶν ἐπέκτασις ἐπαγέσθω, ὑγιοῦς δηλαδὴ περὶ τὰ ἄλλα πρόσωπά τε καὶ πράγματα τῆς ἰσχύος μενούσης ἥντινα δὴ ἡ τῶν τριάκοντα ἐνιαυτῶν ἐξεδίκησε παραγραφὴ, ἐπειδὴ ταύτην τὴν τῶν δέκα ἐνιαυτῶν προσθήκην μόνοις ὡς εἴρηται τοῖς σεβασμίοις τόποις καὶ τῷ δικαίῳ αὐτῶν καὶ τοῖς συναλλάγμασι χαριζόμεθα, ἵνα σχολάσαντος τοῦ χρονικοῦ τούτου διαστήματος[11]) τοῦτο μὲν αἱ περσονάλιαι τοῦτο δὲ καὶ αἱ ὑποθηκαρίαι ἀγωγαὶ εἰς τὸ διηνεκὲς ἐφησυχάσωσιν·[12]) οὐδὲν παντελῶς τῶν ἄλλων παραγραφῶν ἀπομειοῦντες, ἀλλὰ τοῦτο μὲν τῇ ἐνιαυσιαίᾳ καὶ τῇ τῆς τριετίας παραγραφῇ καὶ ταῖς ἄλλαις, αἵτινες εἰς μείζονας ἢ

dictum privilegium usque ad possibilem modum ducere experimento retraximus, et iubemus, in negotiis, quae antehac triginta annorum removebat exceptio, nunc venerabilibus ecclesiis monasteriis et xenonibus, nec non orphanotrophiis et brephotrophiis et ptochiis quadraginta annorum protelatio conferatur, salva scilicet circa alias personas et causas virtute quam semper tricennalis sibi praescriptio vindicabat, quoniam hanc decem annorum adiectionem solis ut dictum est religiosis locis eorumque iuri vel contractibus indulgemus, ut sopitae hoc temporis spatio tam personales quam hypothecariae actiones in perpetuum conquiescant; nihil penitus aliis exceptionibus derogantes, sed tam in aliis[13]) quam triennio .... vim

10) Ven. *ταῖς ἐπὶ ταῖς.* 11) Legendum videtur: *σχολάσαντες τῷ χρονικῷ τούτῳ διαστήματι.* id textus latinus suadet. 12) Ven. *ἐπὶ ἡσυχ.* 13) annali?

ἐλάττονας ἕλκονται χρόνους, τὴν ἰδίαν δύναμιν καὶ τὸ κράτος ἐχόντων.[14]) *καὶ γὰρ ὡς εἴρηται ἐν μόναις ταῖς ὑποθέσεσι τῶν σεπτῶν τόπων τὰ θεῖα συναλλάγματα τῷ μνημονευθέντι προνομίῳ τῶν μ΄ ἐνιαυτῶν βουλόμεθα ἐναπολαύειν, ἐφ' ὧν αὐτοῖς τὸ τῶν ρ΄ ἐνιαυτῶν προνόμιον ἡ διάταξις ἡμῖν ἐδίδου. ὁμολογηθέντος οὖν*[15]), *εἴ τινας ὑποθέσεις πρὸ ταύτης ἡμῶν τῆς διατάξεως ὑπὸ τῶν ἐκκλησιῶν καὶ τῶν λοιπῶν ἱερῶν τόπων ὁπουδήποτε κινηθείσας δικαστικὴ ψῆφος ἢ σύμφωνον διαλύσεως ἐπεραίωσεν, οὐ βουλόμεθα ἀνακαινίζεσθαι, ἀλλ' εἰς τὸν ὑπόλοιπον χρόνον αὐταῖς*[16]) *ταύτην ἐπιτίθεσθαι*[17]) *τὴν νομοθεσίαν, ἅστινας πρὸ τούτου παυθείσας τῇ σιωπῇ τῶν ὀκτὼ πενταετηρίδων κινηθῆναι μέχρι τοῦ νῦν ἢ κινηθείσας περαιωθῆναι οὐ συνέβη.*

Ἡ ἔνδοξος τοίνυν καὶ μεγαλοπρεπής σου αὐθεντία ἅτινα διὰ τούτου τοῦ γενικοῦ νόμου ὥρισεν ἡ ἡμετέρα γαληνότης ἰδίκτων προτεθέντων εἰς τὴν πάντων γνῶσιν ἐλθεῖν ποιησάτω.

roburque tenentibus.[18]) in illis namque ut dictum est tantum negotiis religiosos contractus memorato quadraginta annorum privilegio volumus perfrui, in quibus eis centum annorum praerogativam constitutio nostra contulerat. si quas plane causas ante hanc nostram constitutionem ab ecclesiis ceterisque sacris locis ubicunque commotas iudicialis sententia aut transactionum conventio terminavit, nolumus refricari, sed in reliquum tempus illis hanc obiici sanctionem, quas antehac sopitas octo lustrorum silentio moveri hactenus aut motas terminari non contigit.

Illustris igitur et magnifica auctoritas tua quae per hanc generalem legem nostra statuit aeternitas edictis propositis ad omnium notitiam faciat pervenire. Dat. Kal. Iun. DN. Iust. PP. Aug. anno XV Basilio V. C. Cons.[19])

14) Legerim *νέμοντες*. 15) Videtur excidisse *ὡς*, nisi forte *ὅλως* (plane) pro *ὁμολογηθέντος* legendum sit. 16) Ven. *αὐτός*. 17) *ἀντιτίθεσθαι* (obiici)? 18) tuentes? 19) Athanasius sub-

CXXXI.

Nov. 112.

Cap. 1 in Basil. XXVII, 1, 5, cap. 2. 3 in Basil. VII, 4, 2. — Hanc constitutionem tam graeco quam latino sermone editam et textum latinum in Auth. c. 107 servatum esse suspicatus est Bienerus: idque Osenbrüggen verisimillimum esse iudicavit ex oratione latina constitutionis (coll. ipso initio et epilogo). Heimbachius ad Auth. p. CCLXXIII contra: potissimum ideo quod cap. 2 in fine legatur „ut undique nostro imperio superna maiestate divinitate crediti pro sua indemnitate laetentur", ubi interpretem prodat duplex versio vocis graecae ῥοπή quam incertus haeserit verbo *maiestate* an verbo *divinitate* redderet. quid tamen si dicamus, verbo *divinitate* glossema contineri? equidem Bienero accedere malui: nam sunt ubi textus latinus a graeco tantopere recedit, ut interpreti qui *κατὰ πόδα* vertere sit solitus, omnino tribui non possit. adde, quod in Codice Iuliani Vercellensi Matritensi et Paris. constitutio *latina* esse dicitur. cf. ed. Haenel. p. 122 not. — Summas praestant Iulian. c. 105, Athan. V, 2, Theod. Nov. 112, *αἱ ῥοπαί* 8, 1. 11, 17, 28, 15.

Περὶ τῶν λιτιγιόσων[1]*), καὶ περὶ τῆς ὀφειλούσης γενέσθαι παρὰ τῶν ἐναγόντων ἀσφαλείας πρὸ τῆς τῶν ἐναγομένων ὑπομνήσεως. καὶ πηνίκα οὐ δύναται ὁ ἄκτωρ ἀποχρήσασθαι τῷ προνομίῳ τοῦ μὴ ἐνάγειν αὐτὸν μὴ βουλόμενον.*

Ὁ αὐτὸς βασιλεὺς Θεοδότῳ ἐπάρχῳ πραιτωρίων.[2]

Πολλὰ μὲν περὶ τῶν litigiosωv *τοῖς τε σοφοῖς τῶν παλαιῶν νομοθέταις ταῖς τε βασιλικαῖς εἴρηται διατάξεσιν, ἐπὶ*

Auth. 107.

DE LITIGIOSIS ET DE DECIMA PARTE LITIS AB ACTORE CAUTELA PRAESTANDA.

Idem Aug. Theodoto P. P. per Orientem.

Multa quidem de litigiosis tam antiqua legislatorum prudentia quam imperialis dispositio promulgavit, sed in

scriptionem habet: *ἐγράφη καλ. ἰουν. βασιλείας ἰουστινιανοῦ τὸ ιε´ μετὰ τὴν ὑπατείαν* (alii rectius *ὑπατείᾳ*) *βασιλείου*. Theodorus: *ἐξεφωνήθη μηνὶ ἰουνίῳ* (al. *ἰουλίῳ*) *ἔτει ιε´ τῆς βασιλείας ἰουστινιανοῦ ἐπὶ ὑπατείας βασιλείου.*

1) Hal. *ἐπιδίκων* et ita in seqq. ut et Bas. 2) Hal. *ὑπάρχῳ*

δὲ τοῦ παρόντος τινὲς τῶν δικαστῶν τὴν ἡμετέραν ᾔτησαν γαληνότητα, ὥστε τὴν ἀμφισβήτησιν διακρῖναι τὴν ἔτι καὶ νῦν ὑπὲρ τῶν τοιούτων αἰτιῶν ἐν τοῖς δικαστηρίοις κινουμένην, καὶ τούς τε νόμους τάς τε διατάξεις τὰς περὶ τούτων κειμένας φανερώτερον σαφηνίσαι, ὥστε λοιπὸν ἀναμφίβολον εἶναι, οἷα προσήκει πράγματα litigiosa *καλεῖσθαι.*

α΄. Διά τοι τοῦτο θεσπίζομεν, litigioson *λέγεσθαί τε καὶ νοεῖσθαι πρᾶγμα κινητὸν ἢ ἀκίνητον ἢ αὐτοκίνητον, οὗτινος περὶ τῆς δεσποτείας ζήτησις μεταξὺ τοῦ ἐνάγοντος καὶ νεμομένου*[3]) *κινεῖται ἢ διὰ ἀρχικῆς ὑπομνήσεως ἢ διὰ δεήσεων βασιλεῖ προσενεχθεισῶν καὶ τῷ δικαστῇ ἐμφανισθεισῶν καὶ δι' αὐτοῦ τῷ ἀντιδίκῳ τοῦ προσελθόντος γνωσθεισῶν. ἐπὶ τούτων γὰρ τῶν θεμάτων καὶ τὴν προτέραν τῆς ἡμετέρας ἡμερότητος διάταξιν*[4]) *μετὰ ταῦτα κρατεῖν βου-*

praesenti quidam iudices a nostra clementia petierunt, ut dubietatem discernamus, quae adhuc pro huiusmodi causis in iudiciis commovetur, et leges nec non constitutiones super his positas apertius explanemus, ut iam manifestissimum sit, quas res vocari litigiosas oporteat.

I. Ideoque sancimus, litigiosam dici et intelligi rem mobilem vel immobilem seseque moventem, de cuius dominio causa inter petitorem et possidentem movetur aut per iudiciariam conventionem aut per preces principi oblatas et insinuatas iudici ac per eum adversario interpellatoris cognitas. in his enim casibus etiam praeteritam constitutionem mansuetudinis nostrae posthac volumus ob-

τῶν ἀνατολικῶν πραιτωρίων. apud Athan. est *τῷ αὐτῷ*, quo ex praecedentibus Ioannes P. P. significatur; sed fortasse legendum *Θεοδότῳ*. — Ven. ad inscriptionem notat: *περὶ λιτιγιόσων βι. ν΄ τί. ια΄ διγ. α΄. βι. δ΄ τί. ζ΄ διγ. δ΄ καὶ η΄.* 3) Ita Ven. cui adstipulantur Bas. Iulian. Flor. *ἐναγομένου.* 4) l. 4 C. de litigiosis.

λόμεθα, ἐν ᾗ τοὺς εἰδότας καὶ ἀγνοοῦντας ἀγοραστὰς διεκρίναμεν. ἀλλὰ καὶ τοῦτο προσθεῖναι συνείδομεν, ὥστε εἴπερ δίκης περὶ litigiosou ἠρτημένης συμβῇ τὸν ἐναγόμενον τελευτῆσαι, τοὺς δὲ αὐτοῦ κληρονόμους βούλεσθαι διελεῖν τὰ πράγματα, ἀνεμποδίστως ἐξεῖναι αὐτοῖς τοῦτο διαπράττεσθαι. ἡνίκα γὰρ litigiosa πράγματα κατὰ διαδοχὴν εἰς κληρονόμους περιέρχεται, οὐκ ὀφείλει ἐκποίησις νοεῖσθαι ἡ τούτων μεταξὺ τῶν συγκληρονόμων διαίρεσις. καὶ τοῦτο δὲ διὰ τοῦ παρόντος ἡμῶν νόμου θεσπίζομεν, ὥστε εἰ συμβαίη ἕνα τῶν περὶ τοιούτων πραγμάτων δικαζομένων τῶν ἀνθρωπίνων ἀπιόντα πραγμάτων[5]) διὰ τελευταίας βουλήσεως πράγματά τινα, περὶ ὧν δεσποτείας ἀμφισβήτησις κινεῖται, ὀνόματι λεγάτου τινὶ καταλιπεῖν, εἰ μὲν ὁ κληρονόμος κατὰ δικαστικὴν ψῆφον δεσπότης αὐτῶν ἀποδειχθείη, τηνικαῦτα τὸν λεγατάριον ὅπερ αὐτῷ καταλέλειπται πᾶσι τρόποις κομίζεσθαι· εἰ δὲ ὁ κληρονόμος ἐν δικαστηρίῳ τὴν ἥττονα ψῆφον

tinere, in qua scientes et ignorantes emtores discrevimus. et hoc adiiciendum esse perspeximus, ut si lite de re litigiosa pendente pulsatum contigerit ab hac luce recedere, heredes autem eius velle divisionem rerum facere, sine ullo obstaculo liceat eis hoc agere. quando enim res litigiosae per successionem ad heredes perveniunt, non debet alienatio intelligi earum inter coheredes divisio. et hoc autem praesenti nostra lege decernimus, ut si contigerit unum pro tali causa litigantem ab humano consortio recedentem per ultimam voluntatem res aliquas, de quibus dominii dubitatio vertitur, legati nomine cuicunque relinquere, si quidem heres iudiciali sententia dominus earum fuerit demonstratus, tunc legatarius quod ei relictum est modis omnibus consequatur. si vero heres

5) ταγμάτων? Vox πράγματος ter repetita displicet, et Auth. habet *consortio*.

ἀπενέγκοιτο, μὴ ἔχειν χώραν τὸν λεγατάριον ἕτερον πρᾶγμα ὑπὲρ τοῦ αὐτοῦ λεγάτου τὸν κληρονόμον εἰσπράττειν, ἐπειδήπερ εἰδὼς ὁ διαθέμενος τὸ πρᾶγμα litigioson εἶναι τὴν τῆς δίκης ἔκβασιν τῷ λεγαταρίῳ κατέλιπεν· ὅθεν δίδομεν ἄδειαν τῷ legataríῳ, εἰ τοῦτο συμφέρον ἑαυτῷ ἡγήσαιτο, μέτοχον γίνεσθαι τῆς δίκης, ὥστε μή τινα τυχὸν ἀμέλειαν ἢ προδοσίαν αὐτὸν δύνασθαι τῷ κληρονόμῳ ἀντιτιθέναι. ἐκ ταύτης δὲ τῆς τοῦ litigiosou προσηγορίας τὰς ὑποθήκας κεχωρίσθαι θεσπίζομεν, καὶ ἐν ταύταις ταύτην κρατεῖν τὴν διάστιξιν, ὥστε εἰ μὲν ἰδικὰ πράγματα κινητὰ ἢ ἀκίνητα ἢ αὐτοκίνητα ὀνομαστὶ ταῖς ὑποθήκαις ἐμφέροιτο, ἐξεῖναι μὲν τῷ χρεώστῃ ταῦτα ᾧ δ' ἂν καὶ ὅτε ἄρα βουληθείη πιπράσκειν, οὕτω μέντοι ὥστε ἐκ τοῦ τιμήματος τούτων μέχρι τῆς τοῦ χρέους ποσότητος τὸ ἱκανὸν αὐτὸν ποιῆσαι τῷ δανειστῇ· εἰ δὲ τοῦτο μὴ πράξειεν ὁ χρεώστης, δίδομεν ἄδειαν τῷ δανειστῇ τῷ ἔχοντι τὴν ὑποθήκην τοῦ διαπεπραμένου[6]) πράγματος τοῦτο διεκδικεῖν, μέχρις ὅτου τὸ ἱκανὸν αὐτῷ

in iudicio victus exstiterit, non habeat legatarius locum aliam rem pro eodem legato heredem exigere, quoniam sciens testator rem litigiosam esse litis eventum legatario dereliquit. unde damus licentiam legatario, si hoc prodesse sibi putaverit, litis participem fieri, ne aliquam forte negligentiam seu proditionem heredi possit obiicere. ab hoc autem litigiosi vocabulo hypothecas separari decernimus, et in his hanc distinctionem tenere, ut si quidem speciales res mobiles vel immobiles aut se moventes nominatim fuerint hypothecae suppositae, liceat quidem debitori eas cui et quando voluerit vendere, sic tamen ut ex pretio earum usque ad debiti quantitatem satisfaciat

6) Sic Bas. et Auth. Ven. et Hal. *διαπεπραγμένου*.

ὑπὲρ τοῦ χρέους γένηται. ταῦτα δὲ προστάττομεν παραφυλάττεσθαι, εἰ μὴ τυχὸν πρότερον ἢ διὰ ἰδικῆς ὀνομαστὶ ἢ διὰ γενικῆς ὑποθήκης τὸ αὐτὸ πρᾶγμα ἔτυχεν ἄλλοις δανεισταῖς ὑποτεθειμένον·[7]) τότε γὰρ κατὰ τὴν τῶν ἡμετέρων νόμων δύναμιν τὰ προνόμια τῶν χρόνων ἑνὶ ἑκάστῳ τῶν δανειστῶν φυλαχθῆναι θεσπίζομεν. ὅθεν σαφὲς καθέστηκεν, ὅτι τὰς γενικὰς ὑποθήκας πολλῷ μᾶλλον τῇ τοῦ litigiosou προσηγορίᾳ οὐ βουλόμεθα περιέχεσθαι, ἀλλὰ τὰς τούτων ἐναγωγὰς κατὰ τοὺς τῶν παλαιῶν νόμων ὅρους ἐξετάζεσθαι καὶ τὴν ἰδίαν δύναμιν ἔχειν παρακελευόμεθα. καὶ ταῦτα μὲν περὶ τῶν litigiosων καὶ τῆς ἰδικῆς, οὐ μὴν ἀλλὰ καὶ γενικῆς ὑποθήκης διετυπώσαμεν, ὥστε λοιπὸν μηδεμίαν περὶ τούτων ἐν τοῖς δικαστηρίοις ἀμφισβήτησιν τίκτεσθαι, ἀλλὰ κατὰ τὴν εἰρημένην διαίρεσιν τοὺς τοιούτους ἀγῶνας πέρατι παραδίδοσθαι.

creditori. si autem hoc debitor non fecerit, damus creditori licentiam qui rem venditam suppositam habet eandem rem vindicare, donec ei satis pro debito fiat. haec autem praecipimus observari, si non forte ante aut per generalem aut per specialem nominatim hypothecam eadem res aliis fuerit creditoribus obligata; tunc enim secundum nostrarum legum tenorem temporum privilegia unicuique creditorum servari decernimus. ex quo iam claret, quod generales hypothecas multo magis litigiosi vocabulo nolumus contineri, sed earum actiones secundum veterum legum constituta examinari et vim praecipimus obtinere. et haec quidem de litigiosis et speciali nec non et generali hypotheca disposuimus, ut iam nulla de his in iudiciis dubitatio generetur, sed secundum dictam distinctionem huiusmodi certamina terminentur.

7) Ven. ὑποθημένων.

β'. Πρὸς δὲ τὸ ἀποκλεῖσαι τὰς τῶν κατὰ συκοφαντίαν κινούντων ἐναγωγὰς καὶ τοὺς τῶν ἐκβιβαστῶν δόλους καὶ ἄλλην ἐφεῦρεν ἡ ἡμετέρα πρόνοια θεραπείαν. θεσπίζομεν γάρ, πάντας τοὺς δικαστάς, εἴ ποτέ τινας συσχεθῆναι ἤγουν ὑπομνησθῆναι βουληθεῖεν, ταύτην τὴν αἵρεσιν ταῖς ἑαυτῶν διαλαλιαῖς προστιθέναι, ὥστε μὴ ἄλλως τὰ τῶν αἰτιάσεων βιβλία τοῖς ἐναγομένοις ἐπιδίδοσθαι ἢ σπόρτουλα τοῖς ἐκβιβασταῖς παρέχεσθαι, εἰ μὴ πρότερον καὶ ἐν τῷ βιβλίῳ ὁ ἐνάγων ἢ δι' ἑαυτοῦ ἢ διὰ ταβουλαρίου ὑπογράψοι, καὶ πράξεως ὑπομνημάτων συνισταμένης ἐγγυητὴν ἀξιόπιστον παράσχοι κινδύνῳ τῆς ἁρμοδίας τάξεως ὁμολογοῦντα ὅτιπερ καὶ μέχρι πέρατος τῆς δίκης προσεδρεύει καὶ τὰς ἰδίας ἐναγωγὰς ἢ δι' ἑαυτοῦ ἢ διὰ νομίμου ἐντολέως ἐγγυμνάζει, καὶ εἰ μετὰ ταῦτα δειχθείη ἀδίκως τὴν δίκην κινήσας, ὀνόματι ἀναλωμάτων καὶ δαπανημάτων δέκατον μέρος τῆς περιεχομένης τῷ βιβλίῳ ποσότητος ἀποκαταστήσει τῷ αἰτιαθέντι. εἰ δὲ εἴποι μὴ εὐπορεῖν ἐγγυητὴν δοῦναι, τηνικαῦτα

II. Ad excludendas autem calumniose moventium intentiones et exsecutorum fraudes et aliud invenit providentia nostra remedium. sancimus enim, omnes iudices, si quando aliquos teneri vel admoneri voluerint, hanc conditionem suis interlocutionibus adiicere, ut non aliter conventionales libelli pulsatis porrigantur aut sportulae exsecutoribus dentur, nisi prius et in libello actor per se aut per tabularios subscripserit et actis intervenientibus fideiussorem idoneum periculo competentis officii praestiterit confitentem, quod et usque ad finem litis permanet et suas intentiones aut per se aut per legitimum procuratorem exercet, et si postea fuerit approbatus iniuste litem movisse, sumtuum et expensarum nomine decimam partem eius quantitatis quae libello continetur pulsato restituet. si autem dixerit non valere fideiussorem dare,

παρὰ τῷ δικαστῇ, παρ' ᾧπερ ἡ ὑπόθεσις μέλλει ἐξετάζεσθαι, τῶν ἁγίων εὐαγγελίων προκειμένων δι' ὅρκου τοῦτο αὐτὸ διαβεβαιώσασθαι, καὶ οὕτως ἐνώμοτον αὐτὸν ἐκτίθεσθαι ὁμολογίαν καὶ δι' αὐτῆς ἅπερ ἀνωτέρω εἴρηται ὁμολογῆσαι. [§. 1.] εἰ δὲ μὴ ταῦτα ἅπαντα κατὰ τὸν εἰρημένον πραχθείη τρόπον, οὐδεμίαν τὸν ἐναγόμενον ἀπόκρισιν τῷ ἐκβιβαστῇ ποιήσασθαι συγχωροῦμεν. εἰ δὲ παρὰ τὴν μνημονευθεῖσαν διατύπωσιν ἢ τῶν δικαστῶν τις ἢ ἡ τάξις αὐτοῦ ἢ ὅστις δήποτε τῶν ἐκβιβαστῶν ὑπομνῆσαί τινα τολμήσει, ὁ μὲν δικαστὴς καὶ ἡ τάξις αὐτοῦ ἀνὰ δέκα χρυσοῦ λίτρας ποινὴν εἰσπραχθήσονται, αὐτὸς δὲ ὁ ἐκβιβαστὴς τῆς ὑποθέσεως καὶ δημεύσει ὑποβληθήσεται καὶ ἐξορίᾳ πενταετίας κατακριθήσεται, τῆς ποινῆς δηλονότι τῆς ἐκ τοῦ νόμου ἁρμοζούσης κινδύνῳ τοῦ κατὰ καιρὸν ἐνδοξοτάτου κόμητος τῶν θείων ἡμῶν πριβάτων εἰσπραττομένης καὶ τῷ ἡμετέρῳ φίσκῳ εἰσκομιζομένης. πᾶσα δὲ ζημία, ἣν ὁ αἰτιαθεὶς ἐκ ταύτης τῆς παρὰ τὴν δύναμιν τοῦ παρόντος νόμου μεθοδείας ὑπο-

tunc apud iudicem a quo causa examinanda est sanctis propositis evangeliis per sacramentum hoc ipsum affirmet, et sic iuratoriam cautionem exponat et per eam haec quae superius dicta sunt profiteatur. §. 1. si vero non haec omnia quae praediximus secundum antelatum modum processerint, nullatenus pulsatum responsum facere exsecutori concedimus. nam si citra memoratam dispositionem aut aliquis iudicum aut officium eius vel quilibet exsecutor aliquem convenire praesumserit, iudex quidem et officium eius denarum librarum auri poenam sustinebit, ipse autem exsecutor negotii et confiscationem suae substantiae patietur et exsilio quinquennali damnabitur, poena videlicet ex hac lege competente periculo viri magnifici pro tempore comitis rerum privatarum exigenda et nostri fisci viribus inferenda. omne autem dispendium, quod

μείνοι, ἐκ τῆς οὐσίας τοῦ ἐνάγοντος τῷ ἐναχθέντι θεραπευθήσεται κινδύνῳ τοῦ δικαστοῦ οὗτινος ὑπὸ τοῦ ἐκβιβαστοῦ συνεσχέθη, οὐ μὴν ἀλλὰ καὶ τῆς τάξεως τῆς αὐτῷ πειθομένης, ὥστε πανταχόθεν τοὺς τῷ ἡμετέρῳ κράτει παρὰ τῆς ἄνωθεν ῥοπῆς καταπιστευθέντας ἀβλαβεῖς φυλαχθῆναι. τὰς δὲ δίκας τὰς κατὰ συναίνεσιν ἑκατέρου μέρους ἐν δικαστηρίῳ κινουμένας τῆς ποινῆς τῆς τῇ παρούσῃ διατάξει ἐγκειμένης ἐλευθέρας εἶναι θεσπίζομεν, καὶ καθ' ἃ ταῖς ἄλλαις ἡμῶν διατάξεσι περιέχεται διατυποῦσθαι.

γ'. Πασῶν δὲ τῶν ὑποθέσεων τὸ πέρας βουλόμενοι συντόμως προϊέναι καὶ ταῖς ἐκείνων πανουργίαις ἐναντιούμεθα, οἵπερ ἐναγωγὰς μόνον προτιθέασιν, οὐ βούλονται δὲ μέχρι πέρατος τῆς δίκης ταύταις ἐπεξιέναι, λέγοντες νόμον[8]) *εἶναι τὸν διαγορεύοντα, μηδένα τὰς οἰκείας ἐναγωγὰς ἀναγκάζεσθαι ἄκοντα ἐγγυμνάζειν. καὶ ταύτην τοίνυν τὴν πανουρ-*

pulsatus ex hac conventione praeter tenorem nostrae legis factum[8a]) perpessus fuerit, ex petitoris substantia pulsato resarcietur periculo iudicis, cuius ab exsecutore detentus est, nec non et officii quod eius iussionibus obsecundat, ut undique nostro imperio superna maiestate divinitate[9]) crediti pro sua indemnitate laetentur. causas vero, quae ex consensu utriusque partis in iudicio moventur, a poena huius constitutionis liberas esse decernimus et sicut aliis nostris constitutionibus continetur terminari.

III. Omnem vero causarum finem volentes celeriter pervenire et illorum malignitatibus obviamus, qui tantummodo proponunt actiones, nolunt autem usque ad finem exercere iudicium, dicentes legem esse quae decernit neminem compelli actiones suas exercere nolentem. et hanc igitur pravitatem exstinguere festinantes iubemus,

8) l. un. C. ut nemo invitus 3, 7. 8[a]) facta? 9) Vide quae supra de hoc loco diximus.

γίαν ἀποσβέσαι σπουδάζοντες κελεύομεν, τῇ τοῦ μνημονευθέντος νόμου βοηθείᾳ μὴ κεχρῆσθαι τοὺς κατά τινος τὰς οἰκείας ἐναγωγὰς προτιθέντας, εἴτε δι' ἀρχικῆς μεθοδείας εἴτε διὰ δεήσεων βασιλεῖ προσφερομένων καὶ τῷ δικαστῇ ἐμφανιζομένων καὶ δι' αὐτοῦ εἰς γνῶσιν τοῦ ἀντιδίκου φερομένων, καὶ[10]) ὑπὸ νομίμῳ τοῦ δικαστοῦ ἐξετάσει ἀρχομένων. οὐ δικαίως γὰρ ἐνάγειν παραιτεῖται ὅστις ὡς ἕτοιμος τὸν αὑτοῦ ἀντίδικον εἰς δίκην ἐκάλεσεν, ὁπότε ἡ τοιαύτη παραίτησις τῷ ἐναγομένῳ μᾶλλον ἤπερ τῷ ἐνάγοντι ἁρμόζει. διὸ θεσπίζομεν, τὸν ἐνάγοντα τὸ ἀρχθὲν πρᾶγμα μέχρι πέρατος τῆς δίκης ἐγγυμνάζειν. εἰ δὲ ἐπεξελθεῖν τῷ πράγματι ὑπέρθηται, δίδομεν ἄδειαν τῷ ἐναχθέντι τὸν δικαστὴν αἰτεῖν παρ' ᾧ ἡ δίκη προκατήρχθη, ὥστε δι' αὐτοῦ τὸν ἐνάγοντα ὑπομιμνήσκεσθαι εἰς τὸ δικαστήριον ἢ δι' ἑαυτοῦ ἢ διὰ νομίμου ἐντολέως παραγίνεσθαι, καὶ εἰ τοῦτο μηδαμῶς ποιήσοι, προτιθεμένων τριῶν ἰδίκτων[11]) αὐτὸν

memoratae legis auxilio non eos uti, qui contra aliquem suas proposuerint actiones sive per iudiciariam conventionem sive per preces principi oblatas et iudici insinuatas et per eum ad scientiam adversarii deductas, vel sub legitimo iudicis coeptas examine. iniuste enim agere recusat, qui paratus adversarium suum ad iudicium vocavit, quum excusatio haec pulsato magis, quam actori conveniat. quamobrem sancimus actorem coeptum negotium usque ad finem litis exercere. si vero causam persequi distulerit, damus pulsato licentiam iudicem apud quem lis coepta est postulandi, ut ab eodem actor ad iudicium aut per se aut per legitimum procuratorem venire moneatur, et si hoc minime fecerit, propositis tribus vocetur edictis, unaquaque vocatione non minus quam

10) ἢ καί? 11) Ven. inter lineas ἤτοι προγραμμάτων.

καλεῖσθαι, μιᾶς ἑκάστης κλήσεως οὐκ ἔλαττον ἢ τριάκοντα ἡμερῶν διαστήματι περικλειομένης. κελεύομεν γὰρ τοὺς ὀρδιναρίους δικαστὰς[12]*) μὴ μόνον ταῖς τῶν κηρύκων φωναῖς, ἀλλ' ἔτι μὴν καὶ ἰδίκτων προτιθεμένων οἱονδήποτε τῶν δικαζομένων μέρος ἀπολιμπανόμενον καλεῖν εἰς τὸ δικαστήριον· τῆς γὰρ τῶν κηρύκων φωνῆς ὀλίγοι παρόντες εὑρισκόμενοι ἀκοῦσαι δύνανται, τὰ μέντοιγε ἴδικτα ἐπὶ πολλὰς ἡμέρας προτιθέμενα πάντες σχεδὸν γινώσκειν δύνανται· πᾶσι δὲ τοῖς ἄλλοις δικασταῖς τοῖς κατὰ βασιλικὴν κέλευσιν τὰς ὑποθέσεις ἐξετάζουσιν ἐκ τοῦ παρόντος νόμου ἐπιτρέπομεν τὰ μέρη τὰ μὴ τῷ δικαστηρίῳ προσεδρεύοντα προτιθεμένοις ἰδίκτοις καλεῖν, ἵνα μὴ ἀπέραντα διαμείνῃ τὰ πράγματα.* [§. 1.] *εἰ δὲ παρὰ δικαστῇ προοίμιον ἡ δίκη οὐκ ἐδέξατο, ἀλλὰ μόνον διὰ βιβλίου ὑπομνήσεως ἐνήχθη τὶς, ἢ δεήσεων τῇ ἡμετέρᾳ γαληνότητι προσενεχθεισῶν κέλευσις ἡμῶν περὶ τούτου προῆλθεν εἴτε ἐγγράφως εἴτε*

triginta dierum spatio concludenda. iubemus enim ordinarios iudices non solum praeconum vocibus sed etiam edictis propositis quamcunque litigatorum partem absentem in iudicium vocare. vocem enim praeconum pauci possunt qui praesentes inveniuntur audire, edicta vero per multos dies sic posita possunt paene omnes agnoscere. aliis autem omnibus iudicibus, qui per imperialem iussionem causas examinant, ex praesenti lege permittimus partes, quae in iudicio non permanent, propositis edictis vocare, ne causae infinitae permaneant. §. 1. si vero apud iudicem initium lis non accepit, sed tantum conventionali libello quicunque pulsatus est aut precibus nostrae oblatis clementiae iussio nostra super hoc prolata sive scriptis sive per mandata iudici fuerit intimata, et ea ad-

12) In Ven. glossema accedit *ἤγουν τοὺς ἐμβάθμους.*

διὰ μανδάτου καὶ τῷ δικαστῇ γέγονεν ἐμφανὴς καὶ τῷ ἀντιδίκῳ ἐγνώσθη, καὶ οὕτως ἐξέσται τῷ ἐναχθέντι πρὸς τὸν ἁρμόδιον ἰέναι δικαστὴν, καὶ δι' αὐτοῦ τὸν ἴδιον ἀντίδικον κατὰ τὸν ὅμοιον καλεῖν τρόπον, ὥστε εἰ μὲν τὴν ἑαυτοῦ παρουσίαν ὁ ἐνάγων ποιήσοιτο, τὸ πρᾶγμα κατὰ τὴν τῶν νόμων τάξιν ἐξεταζόμενον πέρας νόμιμον δέχεσθαι. [§. 2.] εἰ δὲ προτιθεμένων τῶν ἰδίκτων κληθεὶς εἰς τὸ δικαστήριον ἐλθεῖν καὶ τὰς ἰδίας ἐναγωγὰς ἢ δι' ἑαυτοῦ ἢ διὰ νομίμου (καθάπερ εἴρηται) ἐντολέως προθεῖναι μὴ βουληθείη, τηνικαῦτα ἑτέραν ἑνὸς ἐνιαυτοῦ προθεσμίαν αὐτῷ συγχωροῦμεν· ἧς ἐντὸς εἰ μὴ τῇ ἰδίᾳ ἐπεξέλθοι ἐναγωγῇ[13]), δίδομεν ἄδειαν τῷ δικαστῇ καὶ ἀπόντος τοῦ ἀντιδίκου τὰς τοῦ προσεδρεύσαντος μέρους δικαιολογίας κατὰ τοὺς ἡμετέρους νόμους ἐξετάζειν καὶ τῆς ἀληθείας ἀκριβῶς ζητουμένης νόμιμον προφέρειν ψῆφον. εἰ δὲ ἐντὸς τῆς εἰρημένης τοῦ ἑνὸς ἐνιαυτοῦ προθεσμίας παραγένηται καὶ τὰς ἰδίας ἐναγωγὰς

versario per eum cognita, etiam sic licebit pulsato ire ad competentem iudicem, et per eum suum adversarium simili modo vocare, ut si quidem sui praesentiam actor fecerit, causa secundum legum ordinem examinata finem legitimum sortiatur. §. 2. si vero propositis edictis vocatus ad iudicium venire et suas intentiones aut per se aut per legitimum (sicut dictum est) procuratorem proponere noluerit, tunc aliud unius anni spatium ei concedimus, intra quod, nisi suam intentionem fuerit persecutus, damus licentiam iudici et absente adversario partis permanentis allegationes secundum nostras leges examinare et veritate subtilius requisita legitimam proferre sententiam. si vero intra praedictum anni spatium venerit et suas intentiones exercere voluerit, iubemus iudicem modis

13) Ven. et Hal. ἐπεξέλθοιεν ἀγωγῇ.

ἐγγυμνάσαι βουληθείη, κελεύομεν τὸν δικαστὴν πᾶσι τρόποις τὰ ἀναλώματα ἤγουν δαπανήματα, ἅπερ διὰ τὴν δίκην ὁ ἐναχθεὶς προσεδρεύων τῷ δικαστηρίῳ ὑπέμεινε, πρὸ πάντων εἰσπράξαι τὸν ἐνάγοντα καὶ τῷ αἰτιαθέντι παρασχεῖν, καὶ οὕτω τὸν ἐνάγοντα προσεδρεῦσαι μέχρις ὅτου τὸ πρᾶγμα πέρας δέξηται κατὰ τοὺς νόμους. εἰ γὰρ μόνον παραγένηται καὶ τῶν δαπανημάτων εἴτε ζημιωμάτων διδομένων μόνον τὸν ἐνιαυσιαῖον χρόνον διακόψαι βουληθείη, καὶ πάλιν ἀναχωρῶν τοῦ δικαστηρίου μέχρι πέρατος τῆς ὑποθέσεως μὴ παραμείνοι, κελεύομεν αὐτὸν μετὰ τὰς εἰρημένας τῶν ἰδίκτων καὶ τοῦ ἐνιαυσιαίου διαστήματος παρατηρήσεις πάσης ἀγωγῆς ἐκπίπτειν ἣν ἁρμόζειν αὐτῷ κατὰ τοῦ ἐναχθέντος ὑπελάμβανε. χείρων γὰρ ὁ ἐκείνου δόλος γινώσκεται, ὅστις ἐγκοπεῖσαν αὖθις τὴν δίκην καταλέλοιπεν, ἤπερ ἐκείνου, ὅστις ἅπαξ τῆς προκαταρχθείσης δίκης ἀπέστη. τῷ δὲ τοῦ νόμου προνομίῳ τοῦ μὴ ἐπιτιθέντος ἀνάγκην τοῖς μὴ βουλομένοις τὰς ἰδίας ἐναγωγὰς κινεῖν ἐκείνοις καὶ μόνοις συγχωροῦμεν κεχρῆσθαι, τοῖς οὐδεμίαν

omnibus expensas vel sumtus, quos propter litem pulsatus permanens in iudicio sustinuit, ante omnia exigere actorem et pulsato dare, et sic actorem permanere, donec causa finem accipiat secundum leges. nam si tantummodo venerit et expensis sive sumtibus datis solum annale tempus interrumpere voluerit et iterum a iudicio recedens usque ad exitum causae non permanserit, iubemus eum post praedictas edictorum et annalis spatii observationes ab omni cadere actione, quam sibi competere contra pulsatum existimabat. deterior namque dolus eius agnoscitur, qui interruptam iterum litem deseruit, quam qui semel coeptam dereliquit. legis autem privilegio, quae nolentibus non imponit necessitatem proprias actiones movere, illis tantummodo uti concedimus,

ζήτησιν κατὰ τοὺς εἰρημένους τρόπους κατὰ τῶν ἀντιδίκων κινοῦσι.

Ταῦτα δὲ πάντα κρατεῖν θεσπίζομεν ἐπὶ τῶν ὑποθέσεων τῶν μήπω ἢ κατὰ δικαστικὴν ψῆφον ἢ κατὰ φιλικὴν σύμβασιν ἢ καὶ καθ' ἑτέραν τῷ νόμῳ ἐγνωσμένην τομὴν πέρας δεξαμένων.[14])

qui nullam secundum praedictos modos adversario moverint quaestionem.

Haec autem omnia obtinere decernimus in causis, quae necdum vel iudiciali sententia vel amicali conventione vel alia iuri cognita decisione finitae sunt, Theodote parens carissime atque amantissime. illustris itaque et magnifica auctoritas tua praesentem nostri numinis legem in perpetuum valituram edictis in hac regia urbe propositis et praeceptionibus in universas provincias sub tua constitutas iurisdictione directis faciat manifestam, ut omnes ea quae pro utilitate eorum sanximus a se custodienda cognoscant. *Dat. III. Id. Sept. CP. imp. DN. Iust. PP. Aug. anno XV Basilio V. C. Cons.*

14) Hal. notat *λείπει.* et sane praeter subscriptionem et alia deesse videntur. Athan.: *ἐγράφη δ' εἰδῶν σεπτεμβρίων βασιλείας ἰουστινιανοῦ τὸ ιε' ὑπατείας βασιλείου.* consentit Theodorus et Iulianus.

CXXXII.

Hoc rescriptum edidit Pithoeus a. 1576. ad exemplar Pithoeanae editionis Haenelius varietatem lectionis ex Codice Iuliani Utinensi adscripsit idque exemplar in bibliothecam universitatis Lipsiensis legato Haenelii transiit.

IUSSIO [1]) IUSTINIANI IMPERATORIS PRO PRIVILEGIIS [2]) CONCILII VIZACENI.

Imperator Iustinianus Alamannicus Gotticus Francicus Germanicus Anticus Alanicus Wandalicus Africanus felix inclitus victor ac triumphator semper Augustus Daciano metropolitano Vizatii et omni concilio Vizaceno.

Restitutus et Heracleus [3]) reverendissimi viri omnium quodammodo [4]) vestri concilii sacerdotum non relationem tantum sed sua [5]) visi sunt adtulisse praesentiam: relucebat namque in eis puritas vestrae auctoritatis et vitae. nec solum ecclesiasticis causis sed totius provinciae utilitatibus profuerunt: dicentes et [6]) quibus iam beneficiis gaudeatis et quae a nostra sunt mansuetudine conferenda. unde precibus eorum summa cum benignitate susceptis ad universa respondimus: et quantum apud nos eorum legatio valuit, ipsa testatur exhibitio praestitorum. quaecunque igitur ad privilegia vestra vestrique concilii pertinent, iuxta [7]) veterem firmamus disciplinam. orate igitur divinam misericordiam, ut et nos reipublicae et ipsam nobis servet incolumem, et quos a iugo subripuimus Wandalorum [8]) ultro [8a]) florem felicitatis antiquae sicut volumus erigamus. *Dat. prid. Non. Octobris Constantinopoli imperii Domini Nri Iustiniani Augusti anno XV.*

1) In Utin. praecedit: Hic habetur. 2) Utin. privilegia. Pith. privilegio. 3) Utin.: Hereacleus. 4) Pith. quod ad modo. Utin. quod ad modum. 5) ipsam? mox Utin. *usi.* 6) Pith. *et* omittit. 7) Pith. iusta. sed Utin. iuxta. 8) Pith. Vandalicorum. sed Utin. ut in textu. 8 [a]) ultra?

Auth. 109. CXXXIII. Nov. 114.

Ven. et Flor. nonnisi summam Theodori exhibent. — Summas praestant Ath. XXII, 6 et Theod. Nov. 114.

UT DIVINAE IUSSIONES SUBSCRIPTIONEM HABEANT GLORIOSI QUAESTORIS.

Idem Aug. Theodoto P. P.

Nostrae serenitatis sollicitudo remediis invigilat subiectorum, nec cessamus inquirere, si quid sit in nostra republica corrigendum; ideo namque voluntarios labores appetimus, ut quietem aliis praeparemus. unde ad universorum utilitatem pertinere perspeximus, si sacras etiam iussiones cum competenti iubeamus cautela procedere, ne aliquibus liceat eas pro sua voluntate confiteri.[1])

I. Nam praesenti lege decernimus, nullam divinam iussionem neque per viri magnifici quaestoris adiutores neque per aliam cuiuslibet militiae aut dignitatis aut officii personam cuicunque iudici confectam a quolibet suscipi cognitore, cui magnifici viri quaestoris adnotatio subiecta non fuerit, qua continetur, et inter quos et ad quem iudicem vel per quam fuerit directa personam, quatenus omni posthac ambiguitate submota nulla cuilibet excusationis relinquatur occasio; scientibus iudicibus vel administratoribus universis, quod si in quolibet negotio sacram susceperint iussionem, nisi cui quaestoris viri magnifici fuerit subiecta adnotatio, mulcta viginti librarum auri[2]) et officium eorum simili poena plectetur. quibus iubemus, si qua ad eos iussio talis advenerit, mox ad praedictum virum magnificum quaestorem referre aut cum illo qui haec ingerit destinare, ut in eum vindicta procedat, quam in falsarios iura nostra constituunt, Theodote parens carissime atque amantissime.

1) conficere? 2) Supple: imminebit.

Quam legem perpetuo valituram celsitudo tua ad universorum faciat pervenire notitiam. *Dat. Kal. Nov. CP. DN. Iust. PP. A. anno XV. Basilio V. C. Cons.*[3])

Nov. 113. **CXXXIV.** Auth. 110.

Basil. VII, 1, 17 et II, 6, 23—26. — Summas habent Iulian. c. 106, Athan. IV, 16 et Theod. Nov. 113.

Ἡ διάταξις ὥστε ἐν μέσῳ δίκης μὴ γίνεσθαι θείους τύπους ἢ θείας κελεύσεις, ἀλλὰ κατὰ τοὺς γενικοὺς νόμους τέμνεσθαι τὰς ὑποθέσεις, καὶ ὥστε τὴν παροῦσαν διάταξιν πρὸ τῆς τῶν προσώπων βεβαιώσεως ἐντάττεσθαι τοῖς πραττομένοις.[1])

Πάντα κατὰ τοὺς ἡμετέρους νόμους πράττεσθαι βουλόμενοι καὶ τὴν τούτων δύναμιν φυλάττεσθαι σπουδάζοντες συνείδομεν τὸν παρόντα γράψαι νόμον εἰς τὴν αὐτῶν τῶν νόμων τήρησιν. ἔγνωμεν γάρ, ὥς τινες τῶν δικαστῶν, βουλόμενοι τοὺς τὰς δίκας λέγοντας διαστρέφειν καὶ ἐπικρύπτειν τὰς ἑαυτῶν σπουδάζοντες ἀναβολάς, προφασίζονται πολλάκις λέγοντες, ὅτι θεῖοι τύποι ἢ θεῖαι κελεύσεις ἢ καταθέσεις τῶν περιβλέπτων ἡμῶν ῥεφερενδαρίων ἐμφανεῖς αὐτοῖς γίνονται, ὡς δὴ διατυποῦσαι ὅπως δέοι τὰς ὑποθέσεις αὐτοὺς ἐξετάζειν ἢ κρίνειν.

α'. Καὶ διὰ τοῦτο θεσπίζομεν, ὥστε δίκης ἐξεταζομένης εἴτε ἐπὶ χρηματικαῖς ἢ ἐγκληματικαῖς ἢ ἑτέραις οἵαι-

3) In hac subscriptione cum Auth. plane consentit Athan. Theodorus autem *μηνὶ σεπτεμβρίῳ* habet.

1) Hal. et Scr. ex Auth. addunt inscriptionem ὁ *αὐτὸς βασιλεὺς θεοδότῳ κτλ.* et sic in Auth. est. in Flor. et Ven. inscriptio deest. Athan. Ioanni P. P. inscribit. latina quae praestat Auth. veteri interpreti deberi arbitratur Heimbach p. CCLXXIV. CCCLXXXV. et sane oratio adeo barbara est, ut imperatori tribui non possit.

σοῦν ἀναφυομέναις αἰτίαις παρὰ δικασταῖς, εἴτε ἐνταῦθα εἴτε ἐν ἐπαρχίαις, μήτε πραγματικὸν τύπον μήτε ἑτέραν ἀντιγραφὴν μήτε θείαν ἡμῶν τινα ἔγγραφον ἢ ἄγραφον κέλευσιν ἢ κατάθεσιν ἐν ταύτῃ τῇ βασιλίδι πόλει παρὰ τῶν περιβλέπτων ἡμῶν ῥεφερενδαρίων ἢ ἑτέρου τινὸς, διατυποῦσαν αὐτοῖς ὅπως δέοι τὴν ἀρχθεῖσαν ἐξετάζειν ἢ κρίνειν ὑπόθεσιν, καταφανῆ γίνεσθαι τοῖς δικάζουσιν ἢ καταφανῆ γενομένην[2]) κρατεῖν, ἀλλὰ κατὰ τοὺς γενικοὺς ἡμῶν νόμους τὰς δίκας ἐξετάζεσθαί τε καὶ τέμνεσθαι· τὸ γὰρ ἐπὶ τῇ τῶν νόμων κρινόμενον ἐξουσίᾳ οὐκ ἂν δεηθείη τινὸς ἔξωθεν διατυπώσεως. εἰ γάρ τις εἰς ἡμᾶς ὑπόθεσις ἔλθοι ἢ παρὰ δικαστῇ ἤδη λεγομένη ἢ πρὸ τοῦ ταύτην προοίμιον λαβεῖν, καὶ συνίδωμεν[3]) ταύτην ἡμεῖς δι' οἰκείας ἡμῶν κρίσεως διατυπῶσαι καὶ τεμεῖν, τοῦτο οὐκ ἔτι τῆς ἑτέρου δικαστοῦ δέεται κρίσεως· τὰ γὰρ παρ' ἡμῶν διὰ θείας ὡς εἴρηται κρίσεως διατυπούμενα ἢ τεμνόμενα οὐ προσδέεται τῆς ἑτέρων ἐξετάσεως ἢ κρίσεως ἢ ἀναψηλαφήσεώς τινος. ἡμεῖς γὰρ, οἷς ὁ θεὸς καὶ τὴν τοῦ νομοθετεῖν ἐξουσίαν ἐδωρήσατο, εἴ τινα κρίσιν ἐπί τινι ὑποθέσει προσενέγκωμεν, οὐχ ἑτέρῳ δικαστῇ ταύτην ἐπιτρέπομεν εἴτε διὰ τύπων εἴτε διὰ καταθέσεων τῶν περιβλέπτων ἡμῶν ῥεφερενδαρίων ἢ ἑτέρου τινὸς ὅπως δέοι ταύτην τὴν ὑπόθεσιν ἐξετάζεσθαι ἢ κρίνεσθαι, οἷα παρ' ἡμῶν ἅπαξ κεκριμένην καὶ ἀναψηλαφᾶσθαι παρ' οὐδενὸς δυναμένην. τούτων δηλονότι κρατούντων ὅταν ἐγγράφως τοιαύτη τὶς ἡμῶν προέλθῃ κρίσις. εἰ μέντοιγέ τις ἀμφισβήτησις τῷ δικαστῇ περί τινος γένηται νόμου, μηνυέτω πρὸς τὸ ἡμέτερον κράτος, καὶ τὴν ἐξ ἡμῶν ἐκδεχέσθω τοῦ πράγματος ἔγγραφον σαφήνειαν ἢ ἑρμηνείαν, καὶ κατ' αὐτὴν τεμνέτω τὴν δίκην. [§. 1.] εἰ δὲ δίκης λεγομένης ἢ πραγματικὸς ἡμῶν τύπος ἢ κατάθεσις τῶν περιβλέπτων ἡμῶν ῥεφερενδαρίων ἢ ἑτέρου τινὸς ἢ ἄλλο τὶ τῶν εἰρημένων πάντων τῷ δικάζοντι ἐμφανισθείη διατάττον

2) Ven. *γινομ.* 3) Ven. *συνείδομεν.*

τὴν αὐτοῦ ἐξέτασιν ἢ κρίσιν, κελεύομεν τὸν δικαστὴν τούτοις παντελῶς μὴ προσέχειν, ἀλλὰ τούτων ἀργούντων καὶ μηδεμίαν παντελῶς ἐχόντων ἰσχὺν κατὰ τοὺς γενικοὺς ἡμῶν νόμους τὸ πρᾶγμα ἐξετάζειν τε καὶ νομίμῳ πέρατι παραδιδόναι. εἰ δὲ ταῦτα μὴ παραφυλάξει ὁ δικαστής, decem librarum auri αὐτὸν ὑποκεῖσθαι ποινῇ μετὰ τοῦ καὶ ἑτέρας ἡμῶν μείζονος ἀγανακτήσεως πειρᾶσθαι· τῇ αὐτῇ ποινῇ ὑποκειμένου καὶ τοῦ τολμῶντος τοιοῦτόν τινα ὑπαγορεῦσαι τύπον, καὶ τῶν ὑπουργούντων αὐτῷ καὶ τῶν τοιαύτην τινὰ κατάθεσιν ποιουμένων περιβλέπτων ἡμῶν ῥεφερενδαρίων. καὶ ταῦτά φαμεν, εἴτε ἐκ θείου ἡμῶν θεσπίσματος δικάζειν τὶς ἐτάχθη εἴτε ἐκ προστάξεως ἀρχικῆς εἴτε κατὰ τὸ τῶν αἱρετῶν ἢ κομπρομισσαρίων διαγνωμόνων σχῆμα τῆς ζητήσεως ἀκροᾶται, εἴτε ἐγγράφως εἴτε γραμμάτων χωρίς. ἀλλὰ κἂν εἴ τις τῶν δικαστῶν τῆς ἰδίας περιφρονῶν σωτηρίας ἔκ τινος τοιούτου τολμήσειε ψῆφον ἐνεγκεῖν, ταύτην οὕτως ἄκυρον εἶναι βουλόμεθα, ὡς μηδὲ ἐκκλήτου προσδεῖσθαι μηδὲ τὴν ἐκ τῶν κομπρομίσσων ἐπάγειν ποινήν· ἡμεῖς γὰρ ἅπαντας τοὺς δικαστὰς κατὰ τοὺς γενικοὺς ἡμῶν νόμους τάς τε ἐξετάσεις τάς τε κρίσεις ποιεῖσθαι βουλόμεθα. ἐκεῖνο δὲ τῶν ἀνωμολογημένων ἐστὶν, ὡς οὐδὲ ἀρχική τις κρατήσει κέλευσις παρὰ τὸ διατεταγμένον τῷδε ἡμῶν τῷ νόμῳ.

β'. Πρὸς τούτοις δὲ κἀκεῖνο τοὺς δικάζοντας εἰδέναι χρεὼν, ὡς προσῆκόν ἐστιν αὐτοὺς καὶ τὰς ἔτι καὶ νῦν κινουμένας ζητήσεις κατὰ τοὺς γενικοὺς ἡμῶν τέμνειν νόμους, κἂν εἴ τις ἤδη θεῖον ἔφθασεν πορισάμενος θέσπισμα διατάττον τὴν τοῦ δικαστοῦ ἐξέτασιν ἢ κρίσιν. τὸν γὰρ τοιοῦτό τι πορισάμενον ἤδη, ψήφου τε[4]) αὐτοτελοῦς οὔπω τετυχηκότα, οὐδὲν ἐκ τῶν αὐτῷ πεπορισμένων ὠφελεῖσθαι βουλόμεθα. εἰ γὰρ ἅπαξ ἔφθασε ψῆφος αὐτοτελὴς δοθεῖσα, οὐδαμῶς ταύτην ἐκ τοῦδε ἡμῶν πολυπραγμονεῖσθαι τοῦ νόμου κελεύομεν, κἂν ἢ[5]) ἔγκλητος ἐπηκολούθησεν ἢ καὶ

4) δέ? 5) εἰ? in Bas. ἢ deest.

ἀναψηλαφήσεώς ἐστί τις ἐλπὶς κατὰ τῆς ψήφου. τὴν δὲ μὴ τυποῦσαν μὲν τὸν δικάζοντα ἢ δικάζειν μέλλοντα κέλευσιν ὅπως δέοι τὴν ζήτησιν ποιεῖσθαι ἢ κρίσιν ἐπάγειν, τὴν δὲ δίκην σπουδῇ παραδοθῆναι νομίμῳ βουλομένην ἢ τὴν τῶν πεπραγμένων ἐπειγουσαν[6]) ἔκδοσιν ἢ τὸν δικαστὴν ἀναγκάζουσαν νόμιμον ἐνεγκεῖν ψῆφον ἢ συνδικαστὴν κατὰ τοὺς ἡμετέρους παρεχομένην νόμους, γίνεσθαί τε καὶ κρατεῖν ἐγγράφως τε καὶ ἀγράφως οὐ κωλύομεν.

γʹ. Ὥστε δὲ[7]) πάντας τοὺς ἡμετέρους ὑπηκόους καὶ μάλιστα τοὺς δίκαις ἐπιτριβομένους τὴν ἡμετέραν ὑπὲρ αὐτῶν εἰδέναι πρόνοιαν, καὶ μηδένα τόνδε ἡμῶν τὸν θεῖον παραπροσποιήσασθαι[8]) νόμον μηδὲ ἄγνοιαν ἐπ' αὐτῷ προτείνεσθαι, θεσπίζομεν ἐφ' ἑκάστης ὑποθέσεως ἀρχὴν παρὰ δικαστῇ λαμβανούσης ἐκ προοιμίων εὐθὺς καὶ πρὸ αὐτῆς τῆς τῶν προσώπων βεβαιώσεως ἐγγράφεσθαί τε αὐτὸν καὶ τῶν ὑπομνημάτων γίνεσθαι μέρος. οὕτω γὰρ ἂν τῶν πραττομένων προλάμπων κωλύσῃ τὰ παρὰ τὴν αὐτοῦ δύναμιν ἐγχειρούμενα περί τε τὰ ἄλλα, περί τε αὐτὴν ὡς εἰκὸς τὴν τῶν προσώπων βεβαίωσιν, καὶ τοῖς παραβαίνειν αὐτὸν ἐπιχειροῦσι διὰ τῶν ἐπιτιμίων ἀπειλῶν ἀναχαιτίσειέ τε τῶν τοιούτων αὐτοὺς τολμημάτων καὶ ταῖς οἰκείαις καιρὸν οὐκ ἐάσει γίνεσθαι ποιναῖς. ἵνα γὰρ παρανομίαν ὁμοῦ καὶ ἀδικίαν διὰ πάντων ἐκβάλωμεν, διὰ τοῦτο τὸν παρόντα τεθείκαμεν νόμον πανταχόθεν αὐτόν τε καὶ δι' αὐτοῦ τοὺς ἄλλους ἀσφαλεῖς τε καὶ ἀνεπιβουλεύτους φυλάττοντες τῇ πολιτείᾳ νόμους, καθ' οὓς ἡμεῖς τε αὐτοὶ τὴν βασιλείαν θεοῦ δόντος παρελάβομεν, φυλάττεσθαί τε τὴν ἡμετέραν πολιτείαν καὶ ὑπ' αὐτῶν φρουρεῖσθαι διὰ παντὸς εὐχόμεθα.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ παραφυλάξαι μὲν σπευσάτω, πᾶσι δὲ δῆλα καταστησάτω, προτιθεῖσα μὲν αὐτὸν κατ' αὐτὴν τὴν εὐδαίμονα πόλιν, προστάγμασι δὲ τοῖς ἐξ

6) Flor. (cum Auth.) ἐπάγουσαν. Veneti lectionem firmant Ath. et Theod. 7) Ven. δεῖ. 8) Hal. ἀποπροσπ.

ἔθους χρωμένη πρὸς τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους, ὥστε πάντας ἀνθρώπους γνῶναι καὶ δι' αὐτοῦ ἣν ἐπ' αὐτοῖς ἔχομεν πρόνοιαν. Dat. X. Kal. Decemb. Constant. Imp. DN. Iustin. PP. Aug. ann. XV. Basilio[9]) V. C. Cons.

Nov. 153.

CXXXV.

Cap. 1 in Basil. XXXIII, 2, 4. — Summae: Athan. XVIII, 7, Theod. Nov. 153, *Ἀνέκδ.* p. 222.

Περὶ τῶν χαμευρετῶν βρεφῶν.

Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ[1]) *τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τοῦ Ἰλλυρικοῦ.*

Ἔγκλημα τῆς ἀνθρωπίνης γνώμης ἀλλότριον καὶ οὔτε παρὰ[2]) *πάντων βαρβάρων ἀξιόπιστον Ἀνδρέας ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς τῶν Θεσσαλονικέων ἁγιωτάτης*[3]) *ἐκκλησίας προσήγγειλεν, ὥς τινες τὰ προϊόντα εὐθὺς ἐκ κοιλίας ἀποῤῥίπτονται βρέφη, καὶ ἐν ταῖς ἁγίαις αὐτὰ καταλιμπάνοντες ἐκκλησίαις μετὰ τὸ ταῦτα παρὰ τῶν εὐσεβούντων ἀνθρώπων ἀναγωγῆς καὶ τροφῆς ἀξιωθῆναι ἐκδικοῦσι καὶ δούλους προσαγγέλλουσι, καὶ ἐπιθυμοῦσι τῇ οἰκείᾳ ὠμότητι τοῦτο προσθεῖναι, ὥστε οὓς ἐν αὐτοῖς τοῖς τῆς ζωῆς προοιμίοις θανάτῳ παραδεδώκασιν, αὐξήσαντας στερῆσαι τῆς ἐλευθερίας. ἐπειδὴ τοίνυν τὸ τοιοῦτον ἀτόπημα πολλὰ κατὰ ταὐτὸν περιέχει ἐγκλήματα, φόνον τε καὶ συκοφαντίαν καὶ ὅσα ἄν τις ἐν τῇ τοιαύτῃ πράξει εὐκόλως ἀπαριθμήσαιτο, ἔδει τοὺς τὰ τοιαῦτα διαπραξαμένους τὴν ἐκ τῶν νόμων μὴ διαφεύγειν ἐκδίκησιν, ἀλλ' ὥστε*[4]) *τοὺς ἄλλους σωφρονεστέρους γενέσθαι ταῖς ἐσχάταις αὐτοὺς ὑποβληθῆναι ποιναῖς, οἷα ἐκ τῆς ἀναιδείας τῆς ἐναγωγῆς ἴδια ἐγκλήματα προσαγγείλαντας, ὅπερ τοῦ λοιποῦ φυλαχθῆναι θεσπίζομεν.*

9) Athan. *ἀπίωνος*, licet annum imperii XV referat. cum Ven. faciunt Iulian. et Theod. Ath. falsa inscriptione in errorem inductus esse videtur.

1) Athan. *Ἠλίᾳ.* quod forsitan praestat. cf. c. CXXX not. 5. 2) Ven. *περί.* 3) Flor. *ἁγίας.* Hal. omittit. 4) Flor. *εἰς*

α'. Ὅσοι τοίνυν οὕτως ἐν ἐκκλησίαις ἢ ῥύμαις ἢ ἄλλοις τόποις ἀποῤῥιφθέντες δειχθῶσι, τούτους πᾶσι τρόποις ἐλευθέρους εἶναι παρακελευόμεθα, κἂν εἰ ἀκριβής τις ἀπόδειξις ὑπάρχοι τῷ ἐνάγοντι εἰς τὸ δεῖξαι τὸ τοιοῦτον πρόσωπον τῇ αὐτοῦ διαφέρειν δεσποτείᾳ. εἰ γὰρ τοῖς ἡμετέροις προστέτακται νόμοις, ὥστε τοὺς νοσοῦντας οἰκέτας παρὰ τῶν δεσποτῶν καταφρονηθέντας καὶ ὡς τῆς αὐτῶν ὑγιείας ἀπελπισθείσης[5]) ἐκ τῶν κεκτημένων ἐπιμελείας μὴ ἀξιουμένους πάντως[6]) εἰς ἐλευθερίαν ἀναρπάζεσθαι, πόσῳ μᾶλλον τοὺς ἐν αὐτῇ τῇ τῆς ζωῆς ἀρχῇ τῇ τῶν ἄλλων ἀνθρώπων καταλειφθέντας εὐσεβείᾳ καὶ παρ' αὐτῶν ἀνατραφέντας ἀνεξόμεθα εἰς ἄδικον δουλείαν καθέλκεσθαι; ἀλλὰ τούτοις τόν τε ὁσιώτατον ἀρχιεπίσκοπον τῆς[7]) Θεσσαλονικέων καὶ τὴν ὑπ' αὐτὸν[8]) ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν καὶ τὴν σὴν ἐνδοξότητα βοηθεῖν καὶ τὴν ἐλευθερίαν αὐτοῖς ἐκδικεῖν θεσπίζομεν, μήτε τὰς ἐκ τῶν ἡμετέρων νόμων τῶν ταῦτα πραττόντων διαφευγόντων ποινὰς, οἷα πάσης ἀπανθρωπίας καὶ ὠμότητος πεπληρωμένων, καὶ τοσοῦτον πάσης μιαιφονίας χείρονος, ὅσον ταύτην τοῖς ἀθλιωτέροις ἐπάγουσι.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα τύπου ἥ τε σὴ ἐνδοξότης καὶ ὁ κατὰ καιρὸν τὴν αὐτὴν παραληψόμενος ἀρχὴν, καὶ ἡ πειθομένη ὑμῖν τάξις ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ παραφυλαχθῆναι σπευσάτω. καὶ ποινὴ γὰρ ἐπισκείσεται ε' χρυσίου λιτρῶν κατὰ τῶν ταῦτα παραβαίνειν ἐπιχειρούντων ἢ παραβαίνεσθαι συγχωρούντων.[9]) Dat. prid. Id.[10]) Decemb. Constantinop. DN. Iustiniano PP. Aug. anno XV[11]) Basilio V. C. Cons.

τό. non male. 5) Ita Flor. Ven. illud ὡς male postponit: ὡς ἐκ τῶν. 6) Ven. πάντας. 7) Ven. τόν. forte τῆς τῶν ut supra. 8) Ven. αὐτῶν. 9) Ven. in marg. αὕτη ἐξεφωνήθη περὶ οὗ νόμος οὐκ ἦν. 10) Ven. vel sic vel K. Athan. Δατ. ιδ. δεκεμβρ. Theod. μηνὶ δεκεμβρ. 11) Annum imperii XV quem Ven. omittit addunt Ath. (βασιλείας ἰουστ. τὸ ιε') et Theod. (ἔτει ιε').

Nov. 115. **CXXXVI.** Auth. 111.

Cap. 1 est in Basil. IX, 2, 7, cap. 2 in Bas. VII, 4, 4, cap. 3—5 pr. in Proch. 33, 1—3. 5—29. Epanag. 34, 4—7. Bas. XXXV, 8, 36. 37. XLI, 5, 2, cap. 5 §. 1 in Proch. 37, 1—3. Epan. 35, 1. 2. Basil. XXIII, 2, 2; cap. 6 in Bas. XXVI, 2, 3. forte textus latinus quem praestat Auth. ab ipso Iustiniano profectus est (cf. not. 50[a]. 25[b]): Heimbach tamen p. CCLXXIV. CCCXLIV. CCCLXXXV in alia omnia abit. — Summae: Iulian. c. 107, Athan. VII, 7, Theod. Nov. 115; capitis 2 in libro *αἱ ῥοπαί* 15, 7, c. 3 §. 3 ibid. 36, 4: c. 3 §. 12—14 et c. 4 in Ecloga priv. aucta 7, 16—20: c. 3 §. 14 et c. 4 §. 8 in Nomoc. XIV titt. 10, 8: c. 5 §. 1 in libro *αἱ ῥοπαί* 7, 1—3: denique c. 6 in App. Ecl. 29 et *Ἀνεκδ.* meis p. 215.

Ἡ διάταξις ἓξ κεφάλαια ἔχει. τὸ α΄. ἐν τῇ ἐξετάσει τῶν ἐγκλήτων καὶ τῶν ἀναψηλαφήσεων καὶ τῶν ἐκ τῶν δικαστῶν ἀναφορῶν κατ᾽ ἐκείνους τοὺς νόμους τέμνεσθαι τὰς ὑποθέσεις κατὰ τοὺς κρατοῦντας ἐν τῷ καιρῷ τῆς ψήφου ἢ τῆς μηνύσεως, οὐ μὴν τοὺς ὕστερον τεθέντας. β΄. εἰ τῶν δικαζομένων τὸ ἓν μέρος ἀποτάξηται ταῖς δικαιολογίαις ἀρκούμενον, τὸ δὲ ἕτερον ὑπερτίθεται ὡς οὐκ ἀρκούμενον, ὁ δικαστὴς διδότω ἕνα καὶ δεύτερον καὶ τρίτον μῆνα προθεσμίαν, τούτων δὲ παρελθόντων μηκέτι ἀναμενέτω, ἀλλὰ ψῆφον διδότω. γ΄. αἰτίαι τοῖς γονεῦσι τῆς κατὰ τῶν παίδων εὐλόγου ἀχαριστίας. δ΄. αἰτίαι τοῖς παισὶ τῆς κατὰ τῶν γονέων εὐλόγου ἀχαριστίας. ε΄. ὥστε τοὺς πενθοῦντας καὶ τοὺς προσήκοντας αὐτοῖς ἐντὸς τῶν ἐννάτων ἐκ μηδεμιᾶς αἰτίας συνέχεσθαι ἢ ὑπομιμνήσκεσθαι. ϛ΄. περὶ ἀντιφωνήσεων καὶ ὁμολογιῶν, εἴ τις ἀντιφωνήσει ἢ ὁμολογήσει· τὸ ἱκανόν σοι ποιῶ, ἢ τὸ ἱκανόν σοι γενήσεται παρ᾽ ἐμοῦ καὶ τοῦδε καὶ τοῦδε, ἢ καὶ τὸ ἱκανόν σοι γενήσεται παρ᾽ ἐμοῦ ἢ τοῦδε ἢ τοῦδε.

Ὁ αὐτὸς βασιλεὺς Θεοδότῳ[1]) ἐπάρχῳ τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων.

Ἦλθεν εἰς γνῶσιν τῆς ἡμετέρας γαληνότητος, ὡς δίκης κινηθείσης μεταξὺ Εὐσταθίου τοῦ θεοφιλεστάτου ἐπισκόπου

1) In Cod. Ambrosiano Ioanni inscriptam esse auctor est

τῆς Τλῶ πόλεως καὶ Πίστου διακόνου τῆς Τελμησσέων[2]) ἐκκλησίας ψῆφος αὐτοτελὴς προῆλθε παρὰ τοῦ τῆς ἐπαρχίας ἡγουμένου, καθ' ἧς ἔκκλητος ἐπεδόθη. οἱ δικασταὶ τοίνυν, παρ' οἷς ἡ ἔκκλητος ἐξητάζετο, ἀμφιβάλλοντες πρὸς τὴν ἡμετέραν ἀνήγαγον ἡμερότητα, πότερον ἄρα κατὰ τοὺς κρατοῦντας νόμους ἡνίκα προῆλθεν ἡ αὐτοτελὴς ψῆφος ἢ κατὰ τὴν δύναμιν τοῦ νόμου τοῦ μετὰ τὴν αὐτοτελῆ ψῆφον παρ' ἡμῶν φοιτήσαντος τὴν αὐτὴν ὑπόθεσιν ὤφελον ἐξετάσαι. ἡμεῖς τοίνυν δίκαιον εἶναι συνείδομεν κατὰ τοὺς νόμους τοὺς ἐν τῷ καιρῷ τῆς δεδομένης ψήφου κρατοῦντας τὴν προλεχθεῖσαν τῆς ἐκκλήτου αἰτίαν ἐξετασθῆναι καὶ κατ' αὐτοὺς πέρας λαβεῖν. συνείδομεν δὲ καὶ εἰς τὰ μετὰ ταῦτα, ἡνίκα τοιαύτη τὶς ἀμφισβήτησις ἀναφυῇ, κατὰ τὴν ὁμοίαν τάξιν ταύτην περαιοῦσθαι.

α'. Καὶ διὰ τοῦτο θεσπίζομεν, εἴ ποτε περί τινος ὑποθέσεως προέλθοι ψῆφος αὐτοτελὴς καὶ ἔκκλητος ἐπακολουθήσοι, τοὺς τὴν ἔκκλητον ἐξετάζοντας κατὰ τοὺς νόμους, οἵτινες κατὰ τὸν καιρὸν τῆς αὐτοτελοῦς ψήφου ἐκράτουν, πέρας διδόναι τῷ πράγματι· τούτου αὐτοῦ δηλονότι παραφυλαττομένου καὶ ἐν τῷ ἀναψηλαφᾶσθαι τὰς τῶν ἐνδοξοτάτων ἐπάρχων ψήφους, καὶ ἐπὶ ταῖς ἀναφοραῖς τῶν δικαστῶν, ὅτε ἀμφότερα τὰ μέρη πάσαις ταῖς ἰδίαις ἀποτάξονται δικαιολογίαις καὶ οἱ δικασταὶ δι' οἰκείων ἀναφορῶν ἐρωτήσουσι, τί ἄρα ὤφειλε διατυπωθῆναι. ἐν πᾶσι γὰρ τοῖς εἰρημένοις θέμασιν ἐκείνους τοὺς νόμους παρὰ τῶν διαγνωμόνων φυλάττεσθαι θεσπίζομεν, οἵπερ κατὰ τὸν χρόνον τῆς ψήφου ἢ δηλαδὴ τῆς ἀναφορᾶς ἐκράτουν, κἂν εἰ συμβαίη μετὰ ταῦτα νόμον φοιτῆσαι νέον τὶ διατυποῦντα καὶ τὴν ἑαυτοῦ δύναμιν καὶ εἰς τὰ παρεληλυθότα πράγματα ἀναφέροντα.

β'. Ἀλλὰ καὶ τοῦτο τῷ παρόντι προστίθεμεν νόμῳ. ἐπειδὴ γὰρ μεταξὺ τῶν δικαζομένων ἔσθ' ὅτε συμβαίνει

Heimbach. Ἀνέκδ. I p. LXXVII. 2) Hal. Τελμισσέων.

θάτερον μὲν[3]) τῶν μερῶν ταῖς ἰδίαις ἀποτάξασθαι δικαιολογίαις, τὸ δὲ ἄλλο γινώσκον ἑαυτὸ[4]) κακὸν ἔχειν πρᾶγμα μετὰ τοὺς διαγνωστικοὺς ἀγῶνας καὶ τὰς προθεσμίας, ἃς[5]) οἱ νόμοι τῶν ἀποδείξεων ἕνεκεν συγχωροῦσι, μὴ βούλεσθαι ὁμολογεῖν ἀρκεῖν ἑαυτῷ τὰς δικαιολογίας πρὸς τὸ μὴ ταχέως τὴν τοῦ πράγματος γνωσθῆναι ποιότητα, κελεύομεν, ὥστε ἡνίκα τὸ ἓν τῶν μερῶν ταῖς ἰδίαις ἀποτάξεται δικαιολογίαις, τὸ δὲ ἄλλο μέρος εἴποι ἔχειν τὶ ὅπερ ὀφείλει προθεῖναι[6]), τὸν τοῦ πράγματος δικαστὴν πᾶσι τρόποις τὸ μέρος τὸ χρώμενον τῇ ὑπερθέσει καταναγκάζειν ἐντὸς τριάκοντα ἡμερῶν μετὰ τὸ ἀποτάξασθαι τὸ ἕτερον μέρος ὅπερ ἂν βούληται δίχα τινὸς ὑπερθέσεως προτιθέναι. ὅπερ εἰ μὴ ποιήσοι, τηνικαῦτα πρὸς τὸ νικῆσαι[7]) τὴν αὐτοῦ πονηρίαν ἄλλον ἕνα μῆνα παρὰ τοῦ δικαστοῦ φιλοτιμεῖσθαι· εἰ δὲ καὶ οὕτως ὑπέρθηται, ἑνὸς ἑτέρου μηνὸς προθεσμίαν αὐτῷ παρέχεσθαι, οὕτως μέντοιγε ὥστε εἰ μέχρι τῶν εἰρημένων τριῶν μηνῶν, οὓς τοῖς ὑπερτιθεμένοις litigatorσι[8]) συνεχωρήσαμεν, τὰς ἰδίας δικαιολογίας μὴ προθήσει, τηνικαῦτα τὸν δικαστὴν μὴ πλέον ἀναμένοντα πᾶσι τρόποις ψῆφον προφέρειν τοῖς νόμοις συμβαίνουσαν ἢ εἴπερ βούλοιτο ἀναφέρειν, πρὸς τὸ μὴ τοῖς δικαζομένοις κακῶς φιλονεικοῦσιν ἐξεῖναι τὰς τῶν δικῶν ἐκβάσεις περαιτέρω παρέλκειν.

γʹ. Ἄλλο πρὸς τούτοις κεφάλαιον τῷ παρόντι νόμῳ προσθεῖναι συνείδομεν.[9]) θεσπίζομεν τοίνυν, μὴ ἐξεῖναι παντελῶς πατρὶ ἢ μητρὶ ἢ πάππῳ ἢ μάμμῃ ἢ προπάππῳ ἢ προμάμμῃ τὸν ἴδιον υἱὸν ἢ θυγατέρα ἢ τοὺς λοιποὺς παῖδας praeteritos[10]) καταλιμπάνειν ἢ ἀπὸ κληρονόμων ἐν τῇ ἰδίᾳ ποιεῖν διαθήκῃ, κἂν εἰ δι' οἱασδήποτε δωρεᾶς ἢ ληγά-

3) In Ven. μὲν deest. Bas. μὲν μέρος. 4) Hal. ἑαυτῷ κακῶς. 5) Ven. ὡς. 6) Hal. προσθεῖναι. quod praetulerim nisi Auth. et Bas. cum Veneta lectione faciant. 7) Bas. πρὸς τὸ μὴ νικ. 8) Ven. inter lineas ἤτοι διαδίκοις. 9) Ven. καὶ συνείδ. 10) Ven. inter lineas ἀμνημονεύτους.

του ἢ φιδεϊκομμίσσου ἢ ἄλλου οἱουδήποτε τρόπου τὴν ἐκ τῶν νόμων αὐτοῖς ὀφειλομένην μοῖραν παράσχοιεν, εἰ μὴ τυχὸν ἀχάριστοι ἀποδειχθεῖεν, καὶ αὐτὰς ὀνομαστὶ τὰς τῆς ἀχαριστίας αἰτίας οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψαιεν διαθήκῃ. ἀλλ' ἐπειδὴ τὰς αἰτίας, ἐξ ὧν οἱ παῖδες ἀχάριστοι ὤφειλον κρίνεσθαι, ἐν διαφόροις νόμοις διεσπαρμένας καὶ οὐ φανερῶς εἰρημένας εὕρομεν, ὧν αἱ μὲν οὐδὲ ἄξιαι ἡμῖν πρὸς ἀχαριστίαν ἔδοξαν, ἄλλαι δὲ καίτοι ἄξιαι οὖσαι παρελείφθησαν, διὰ τοῦτο ἀναγκαῖον εἶναι συνείδομεν ταύτας ὀνομαστὶ τῷ παρόντι νόμῳ περιλαβεῖν, ὥστε παρὰ ταύτας μηδενὶ ἐξεῖναι ἐξ ἑτέρου γόμου ἀχαριστίας αἰτίαν ἀντιτιθέναι, εἰ μὴ τὰς τῷ ὕφει τῆς παρούσης διατάξεως περιεχομένας. αἰτίας δὲ δικαίας τῆς ἀχαριστίας ταύτας εἶναι ψηφιζόμεθα. [§. 1.] εἴ[11]) τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλοι. [§. 2.] εἰ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν αὐτοῖς ἐπαγάγοι. [§. 3.] εἰ ἐπὶ ἐγκληματικαῖς αἰτίαις αὐτῶν κατηγορήσοι ταῖς μὴ οὔσαις κατὰ βασιλέως ἢ πολιτείας. [§. 4.] εἰ μετὰ φαρμακῶν ὡς φαρμακὸς συναναστρέφεται. [§. 5.] εἰ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας ἢ ἄλλῳ τρόπῳ ἐπιβουλεῦσαι πειραθείη. [§. 6.] εἰ τῇ ἰδίᾳ μητρυιᾷ ἢ τῇ τοῦ πατρὸς παλλακίδι ὁ υἱὸς ἑαυτὸν συμμίξοι. [§. 7.] εἰ συκοφάντης κατὰ τῶν γονέων ὁ υἱὸς γένηται, καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσοι. [§. 8.] εἰ συμβῇ τινα τῶν ἰδίων γονέων ἐγκεκλεῖσθαι, οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου ἐπὶ τὴν τούτου διαδοχὴν ἐλθεῖν αἰτηθέντες παρ' αὐτοῦ ἤγουν ὁ εἷς ἐξ αὐτῶν μὴ βουληθεῖεν εἰς τὴν ἑαυτῶν ἐγγύην τοῦτον ἀναδέξασθαι ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους, εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται. τοῦτο μέντοιγε, ὅπερ περὶ τῆς ἐγγύης ἐθεσπίσαμεν, εἰς τοὺς ἄῤῥενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεθα. [§. 9.] εἰ ἐλεγχθείη τὶς τῶν παίδων, ὅτι ἑκώ-

11) Singulis causis Ven. numeros α' — η' praeponit.

λυσε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην, ὥστε εἰ μὲν μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἀποκληρονόμον ποιεῖν. εἰ δὲ καὶ ἐν αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τὶς τελευτήσοι, καὶ ἄλλοι εἴτε ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετ᾽ αὐτοῦ τοῦ παιδὸς τοῦ τὴν διαθήκην γενέσθαι κωλύσαντος ἢ μετ᾽ αὐτὸν καλούμενοι, εἴτε οὓς κληρονόμους ἢ ληγαταρίους ἔχειν ἠβούλετο, εἴτε οἱ βλάβην τινὰ ἐκ τῆς κωλύσεως τῆς διαθήκης ὑπομείναντες τοῦτο αὐτὸ ἀποδείξαιεν, κατὰ τοὺς ἄλλους νόμους τοὺς περὶ τούτου κειμένους τὰ τοιαῦτα πράγματα περαιούσθω. [§. 10.] εἰ παρὰ γνώμην τῶν γονέων μεταξὺ κυνηγῶν ἢ μίμων ἑαυτὸν ὁ υἱὸς ἐγκαταλέξοι καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμείνοι, εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τῆς[12]) τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν. [§. 11.] εἴ τινι ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ τῇ ἰδίᾳ θυγατρὶ ἢ ἐγγόνῃ ἄνδρα δοῦναι καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς παρασχεῖν, ἐκείνη μὴ συναινέσει ἀλλ᾽ αἰσχρὸν βίον ἐπιλέξηται. εἰ δὲ μέχρι εἴκοσι πέντε ἐνιαυτῶν ἡλικίας ἡ θυγάτηρ γένηται καὶ οἱ γονεῖς ὑπέρθωνται ταύτην ἀνδρὶ συνάψαι, καὶ ἴσως ἐκ τούτου συμβαίη εἰς τὸ ἑαυτῆς σῶμα ταύτην ἁμαρτῆσαι ἢ δίχα συναινέσεως τῶν γονέων ἀνδρὶ ἑαυτὴν, ἐλευθέρῳ μέντοιγε, συζεῦξαι, τοῦτο εἰς ἀχαριστίαν τῇ θυγατρὶ λογίζεσθαι οὐ βουλόμεθα, ἐπειδὴ οὐ τῇ ἑαυτῆς ἀλλὰ τῇ τῶν γονέων αἰτίᾳ τοῦτο γινώσκεται πλημμελήσασα. [§. 12.] εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ, καὶ οἱ παῖδες αὐτοῦ ἤ τινες ἐξ αὐτῶν ἢ παίδων αὐτῷ μὴ ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγγενεῖς οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ κλῆρον καλούμενοι ὑπηρεσίαν καὶ φροντίδα προσήκουσαν αὐτῷ μὴ παράσχοιεν, εἰ μὲν τῆς τοιαύτης ἀπαλλαγείη νόσου, ἔσται αὐτῷ ἄδεια πότερον βούλεται τὸν

12) Ven. τῆς omittit.

παῖδα ἢ τοὺς παῖδας ἢ συγγενεῖς τοὺς ἠμεληκότας ἀχάριστον ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτὸν κατεχόμενον ἐξωτικός τις ἴδοι ἀπὸ τῶν ἰδίων ἀμελούμενον παίδων ἢ συγγενῶν ἢ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, καὶ διὰ συμπάθειαν βουληθείη αὐτοῦ φροντίσαι, δίδομεν αὐτῷ ἄδειαν διαμαρτυρίαν τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἤδη γενομένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἔγγραφον στέλλειν, ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν. εἰ δέ γε καὶ μετὰ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσειαν, καὶ ἐξωτικὸς ἐν τῷ αὐτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενος δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίσας δειχθείη, τὸν τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι θεσπίζομεν, ἀνατρεπομένης τῆς αὐτῶν ἐνστάσεως ἅτε δὴ ἀναξίων ὄντων τῷ[13]) μεμηνότι καθάπερ εἰρήκαμεν φροντίδα παρασχεῖν ἀμελησάντων, οὕτω μέντοι ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ. [§. 13.] εἰ ἕνα τῶν προλεχθέντων γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη, καὶ οἱ τούτου παῖδες εἴτε πάντες εἴτε εἷς μὴ σπουδάσαιεν τοῦτον ἀναῤῥύσασθαι, ὥστε εἰ μὲν δυνηθείη τὴν τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ πότερον ταύτην ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ· εἰ δὲ διὰ τῆς τῶν παίδων ἀμελείας ἢ καταφρονήσεως μὴ ἐλευθερωθείη, ἀλλ' ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα οἵτινες οὐκ ἐσπούδασαν τῆς ἀναῤῥύσεως αὐτοῦ φροντίσαι, ἀλλὰ πάντων τῶν παίδων ἐπὶ τούτῳ ἀμελησάντων πάντα τὰ πράγματα τὰ παρ' αὐτοῦ καταλιμπανόμενα τῇ ἐκκλησίᾳ τῆς πόλεως ἐξ ἧς ὥρμηται προσκυροῦσθαι, inventariou[14]) δηλαδὴ ἐπὶ δημοσίου ἐκμαρτυρίου γινομένου, ὥστε

13) Hal. τῶν τῷ. non male. 14) Ven. inter lineas ἀπογραφῆς.

μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν περιέλθοι εἰς αἰχμαλώτων ἀνάῤῥυσιν προχωρεῖν. ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ τοῖς προσώποις εἴρηται, ἅπερ ἀπὸ κληρονόμων ποιεῖν οὐκ ἔξεστιν, εἰ μὴ τὰς τῆς ἀχαριστίας αἰτίας γραφῆναι καὶ ἀποδειχθῆναι συμβαίη. πρόφασιν δὲ ἡμῖν πρὸς τὸ γενικὸν ποιήσασθαι νόμον ἡ παροῦσα ὑπόθεσις δέδωκε. καὶ διὰ τοῦτο γενικῶς κελεύομεν, ὥστε εἴπερ ἐκεῖνος ἐν αἰχμαλωσίᾳ ληφθείη καὶ παῖδας μὴ ἔχοι καὶ τῶν ἄλλων τῶν εἰς τὴν τούτου κληρονομίαν ἐξ ἀδιαθέτου καλουμένων ἀναῤῥύσασθαι αὐτὸν μὴ σπουδαζόντων ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι, μηδένα ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι, εἰ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκη τυχὸν παρ' αὐτοῦ ἐγεγόνει ἐν ᾗ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους, ἀλλὰ καὶ ἐνταῦθα τῆς ἐνστάσεως τῶν κληρονόμων ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύϊ αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων ἐξ ὧν ὥρμηνται προσκυρούσθωσαν· καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων ἀναῤῥύσεσι δαπανάσθωσαν, ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνεῤῥύσθησαν τὰς ἄλλων ἀναῤῥύσεις φροντίζεσθαι, καὶ τὰς ἐκείνων ὁμοίως ψυχὰς ἐκ ταύτης τῆς εὐσεβοῦς πράξεως ἐπικουφίζεσθαι. αὐτοῦ τούτου παραφυλαττομένου, κἂν εἰ ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψῃ κληρονόμον, κἀκεῖνος εἰδὼς ἑαυτὸν ὑπ' ἐκείνου γεγράφθαι κληρονόμον, ἀναῤῥύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσοι. ταύτην δὲ τὴν ποινὴν κατ' ἐκείνων κρατεῖν θεσπίζομεν, οἵτινες τὸν ὀκτωκαιδέκατον τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν. ἐν δὲ ταῖς τοιαύταις αἰτίαις, ἡνίκα δὴ ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖον εἴη χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι χρήματα, ἄδειαν ἐχέτω εἴπερ τῆς εἰρημένης ὑπάρχει ἡλικίας δανείζεσθαι χρήματα καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι, εἴτε ἴδια

ἔχει εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου, ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας ὄντος γινόμενα βέβαια εἶναι παρακελευόμεθα, μηδενὸς τοῖς μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις καθάπερ εἴρηται συναλλάττουσι προκρίματος γινομένου· ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπανερχομένου τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι. [§. 14.] εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοτάτην πίστιν κηρύσσουσι καὶ τὰς ἁγίας τέσσαρας συνόδους, τὴν ἐν Νικαίᾳ καὶ τὴν ἐν Κωνσταντινουπόλει τὴν τε ἐν Ἐφέσῳ πρώτην καὶ τὴν ἐν Χαλκηδόνι, περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμείνωσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ αὐτῇ ἀπιστίᾳ, δίδομεν τοῖς αὐτῶν γονεῦσιν ἄδειαν ὑπὲρ ταύτης μάλιστα τῆς αἰτίας ἀχαρίστους αὐτοὺς καὶ ἀπὸ κληρονόμων ἐν τῇ ἰδίᾳ γράφειν διαθήκῃ. καὶ τοῦτο μὲν ἐπὶ ἀχαριστίας αἰτίᾳ διετυπώσαμεν. γενικὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδόξοις παρέχοντες κελεύομεν, σώων φυλαττομένων τῶν νόμων τῶν ἤδη περὶ τῶν ἄλλων αἱρετικῶν προενεχθέντων, καὶ περὶ τοὺς Νεστοριανοὺς καὶ τοὺς Ἀκεφάλους ταῦτα φυλάττεσθαι, ὥστε εἴ ποτε γονεῖς εὑρεθεῖεν εἴτε τῇ Ἰουδαϊκῇ Νεστορίου μανίᾳ ἐκδεδομένοι εἴτε τὴν τῶν Ἀκεφάλων ἄνοιαν περιπτυσσόμενοι καὶ διὰ τοῦτο ἐκ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας κεχωρισμένοι, μὴ ἐξεῖναι αὐτοῖς ἄλλους κληρονόμους ἑαυτοῖς ἐνιστᾶν εἰ μὴ παῖδας ὀρθοδόξους καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντας, ἢ παίδων μὴ ὑπόντων τοὺς ἐξ ἀῤῥενογονίας καὶ ἐκ θηλυγονίας συγγενεῖς, καθολικοὺς δηλαδὴ τυγχάνοντας. εἰ δὲ ὡς εἰκὸς

ἐκ τῶν παίδων τινὲς μέν εἰσιν ὀρθόδοξοι καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντες, ἄλλοι δὲ ἐκ ταύτης κεχωρισμένοι, πᾶσαν τὴν τῶν γονέων περιουσίαν εἰς τοὺς παῖδας καὶ μόνον τοὺς καθολικοὺς περιέρχεσθαι θεσπίζομεν, εἰ καὶ τελευταίας βουλήσεις τὰ τοιαῦτα πρόσωπα ποιήσοιντο παρὰ τὴν δύναμιν ταύτης ἡμῶν τῆς διατάξεως διατυπούσας. εἰ δὲ μετὰ ταῦτα οἱ ἀδελφοὶ οἱ τῆς ἐκκλησίας κεχωρισμένοι ἐπὶ ταύτην ἀναστρέψουσι, τὸ ἁρμόζον αὐτοῖς μέρος ἐν τῷ σχήματι, ἐν ᾧ εὑρεθείη κατὰ τὸν χρόνον καθ' ὃν ἀποδίδοται, τούτοις παρέχεσθαι, ὥστε μηδεμίαν περὶ τῶν καρπῶν ἢ τῆς διοικήσεως τοῦ μέσου χρόνου ὄχλησιν ἢ ἐπάχθειαν τοὺς καθολικοὺς ὑπομένειν τοὺς πρῴην τὰ μνημονευθέντα πράγματα διακρατήσαντας, ἐπειδὴ τῶν τοιούτων πραγμάτων, ἅτινα ἐκ τῆς μοίρας τῶν ἀδελφῶν τῶν μὴ κοινωνούντων οἱ ὀρθόδοξοι ἐκτήσαντο, ὥσπερ τὴν ἐκποίησιν κωλύομεν, οὕτω καὶ τῶν παρελθόντων χρόνων τοὺς καρποὺς ἢ τὴν διοίκησιν οὐδαμῶς παρὰ τούτων ὑφ' ὧν διεκρατήθη εἰσπράττεσθαι ἢ ἀναψηλαφᾶσθαι κελεύομεν. εἰ δὲ μέχρι τοῦ πέρατος τῆς ἰδίας ζωῆς ἐν τῇ αὐτῇ πλάνῃ οἱ μὴ κοινωνοῦντες διαμείνοιεν, τότε τοὺς ὀρθοδόξους ἀδελφοὺς ἢ κληρονόμους αὐτῶν πληρεστάτῳ δεσποτείας δικαίῳ τὰ αὐτὰ πράγματα κεκτῆσθαι θεσπίζομεν. εἰ δὲ οἱ παῖδες μὲν πάντες[15]) διεστραμμένοι καὶ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας ἀλλότριοι εὑρεθεῖεν, ἄλλοι δὲ ἐγγύτατοι συγγενεῖς ἐξ ἀῤῥενογονίας ἢ ἐκ θηλυγονίας τὴν ὀρθόδοξον πίστιν τιμῶντες καὶ κοινωνικοὶ εἶναι ἀποδειχθεῖεν, τούτους τῶν παίδων τῶν αἱρετικῶν προτιμᾶσθαι καὶ τὴν αὐτῶν διαδέχεσθαι κληρονομίαν. εἰ δὲ καὶ οἱ παῖδες καὶ οἱ ἐγγύτατοι ἀδγνάτοι ἢ κογνάτοι τῆς κοινωνίας τῆς ὀρθοδόξου πίστεως ξένοι τυγχάνοιεν, τηνικαῦτα εἰ μὲν σχῆμα κληρικῶν οἱ γονεῖς αὐτῶν ἔχοιεν, τῇ ἐκκλησίᾳ τῆς πόλεως ὅπου τὴν οἴκησιν εἶχον τὰ

15) Ven. verbum *πάντες* omittit.

αὐτὰ πράγματα βουλόμεθα διαφέρειν, οὕτω μέντοιγε, ὥστε εἰ[16]) οἱ ἐκκλησιαστικοὶ ἐντὸς ἐνιαυτοῦ προθεσμίας τὰ τῶν τοιούτων προσώπων πράγματα διεκδικῆσαι ἀμελήσειαν, τὴν αὐτῶν δεσποτείαν τῷ ἡμετέρῳ φίσκῳ ἐκδικεῖσθαι· εἰ δὲ λαϊκοὶ ὦσι, δίχα τινὸς διακρίσεως τὰς αὐτῶν περιουσίας εἰς τὰ θεῖα ἡμῶν πριβάτα ὁμοίως περιέρχεσθαι. ἅτινα κρατεῖν θεσπίζομεν, κἂν εἰ χωρὶς διαθήκης τὰ τοιαῦτα πρόσωπα τελευτήσοι· πάντων τῶν κατὰ τῶν λοιπῶν αἱρετικῶν ἐν ταῖς ἄλλαις διατάξεσι διατυπωθέντων καὶ κατὰ τῶν Νεστοριανῶν καὶ Ἀκεφάλων καὶ τῶν ἄλλων ἁπάντων τῶν μὴ κοινωνούντων τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ αἱ προλεχθεῖσαι[17]) ἅγιαι τέσσαρες σύνοδοι καὶ πατριάρχαι ἀναφέρονται, καὶ κατὰ τῶν κληρονόμων αὐτῶν ὁμοίως φυλαττομένων. εἰ γὰρ ὑπὲρ κοσμικῶν αἰτιῶν μεριμνῶμεν, πόσῳ μᾶλλον ὑπὲρ τῆς τῶν ψυχῶν σωτηρίας προνοητικωτάτην φροντίδα δεῖ συνεισφέρειν; εἴτε τοίνυν πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας εἴτε φανερὰς ἐξ αὐτῶν εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψαιεν διαθήκῃ, καὶ οἱ γραφόμενοι κληρονόμοι τὴν ὀνομασθεῖσαν ἢ τὰς ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι δείξειαν, τὴν διαθήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα. εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, μηδὲν γίνεσθαι πρόκριμα τοῖς ἀπὸ κληρονόμων γραφεῖσι παισὶν, ἀλλ' ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἀνήκει τῆς διαθήκης ἀκυρουμένης εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι, ὥστε μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι ἤ τινα περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν. εἰ μέντοιγε συμβαίη ἔν τισι τοιαύταις διαθήκαις ληγάτα τινὰ ἢ φιδεϊκόμμισσα ἢ ἐλευθερίας ἢ ἐπιτρόπων δόσεις[18]) καταλειφθῆναι ἢ ἄλλα οἱαδήποτε κεφά-

16) Deest in Ven., qui mox habet εἰς (εἰ?) τὰ τῶν τοιούτων κτλ. 17) Ven. πραχθεῖσαι. 18) Ven. τὰς δόσεις.

λαια τοῖς νόμοις ἐγνωσμένα ὀνομασθῆναι, ταῦτα πάντα κελεύομεν πληροῦσθαι καὶ δίδοσθαι ἐκείνοις οἷς κατελείφθη, ὡς εἰ κατὰ τοῦτο τὸ μέρος μὴ ἀνατραπεῖσα ἡ διαθήκη ἐκράτει. καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν.

δʹ. Δίκαιον δὲ εἶναι συνείδομεν καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστίξεως διατυπῶσαι. θεσπίζομεν τοίνυν μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς praeteritους καταλιμπάνειν ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων ἐν οἷς ἐξουσίαν ἔχουσι διατίθεσθαι τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας ἃς ἀριθμοῦμεν ἐν ταῖς ἰδίαις ἰδικῶς ἐγγράψοιεν διαθήκαις. ταύτας δὲ εἶναι κελεύομεν. [§. 1.] εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας παραδοῖεν, δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης. [§. 2.] εἰ φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύσαντες ἀποδειχθεῖεν. [§. 3.] εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ τῇ παλλακίδι τοῦ οἰκείου παιδὸς συμμιγείη. [§. 4.] εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιῆσαι κωλύσειαν ἐν τοῖς πράγμασιν, ἐν οἷς ἔχουσιν ἄδειαν τοῦ διατίθεσθαι· πάντων δηλαδὴ τῶν ἐπὶ τῇ κωλύσει τῶν τοιούτων διαθηκῶν φυλαττομένων, ἅπερ ἐπὶ τῷ τῶν γονέων προσώπῳ διεστίξαμεν. [§. 5.] εἰ συμβαίη τὸν ἄνδρα τῇ ἑαυτοῦ γαμετῇ εἰς ἀναίρεσιν ἢ ἔκστασιν τῆς διανοίας δοῦναι φάρμακον, ἢ τὴν γαμετὴν τῷ ἀνδρί, ἢ ἄλλῳ τρόπῳ τὸν[19]) ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι. τὸ μὲν τοιοῦτον ἔγκλημα οἷα publicον ὑπάρχον κατὰ τοὺς νόμους ἐξετάζεσθαι καὶ νομίμως[19a]) ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν, τοῖς δὲ παισὶν ἄδειαν εἶναι ἐν ταῖς ἰδίαις διαθήκαις μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν, τῷ τὸ τοιοῦτο μῦσος πεπραχέναι γινωσκομένῳ. [§. 6.] εἰ

19) Ven. τό. 19a) Hal. νομίμης.

τῶν παίδων ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος οἱ γονεῖς φροντίσαι αὐτῶν ἀμελήσειαν, πάντα καὶ ἐνταῦθα παραφυλάττεσθαι προστάττομεν, ἅτινα περὶ τῶν μαινομένων γονέων ἀνωτέρω ἐθεσπίσαμεν. [§. 7.] τούτοις τοῖς θέμασι καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τοὺς παῖδας κρατεῖσθαι καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσθέντας τελευτῆσαι συμβαίη, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων ἐφ' αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι, ἅπερ καὶ περὶ γονέων καὶ κογνάτων καὶ adgnatων τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τούτων δίκαια καλουμένων ἢ περὶ τῶν ἐξωτικῶν γραφομένων κληρονόμων ἀνωτέρω διετυπώσαμεν. [§. 8.] εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων αἴσθηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι καθολικούς, ταῦτα καὶ ἐπὶ τῶν ἐκείνων προσώπων κρατεῖν, ἅπερ ἀνωτέρω περὶ τῶν γονέων διετυπώσαμεν. [§. 9.] εἰ τὰς τοιαύτας τοίνυν αἰτίας ἢ φανερὰς ἐξ αὐτῶν ἢ μίαν οἱ παῖδες ἐν ταῖς ἰδίαις γράψαιεν διαθήκαις καὶ οἱ γραφόμενοι παρ' αὐτῶν κληρονόμοι ἢ πάσας ἢ[20]) φανερὰς ἢ μίαν ἐκ τούτων ἀποδείξειαν, τὴν διαθήκην ἐν τῇ ἰδίᾳ ἰσχύϊ διαμένειν προστάττομεν. εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, μηδεμίαν δύναμιν τὴν τοιαύτην διαθήκην τό γε εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἔχειν θεσπίζομεν, ἀλλὰ ἀνατρεπομένης τῆς διαθήκης τοὺς ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλοῦμεν, καὶ πρὸς αὐτοὺς τὰ ἐκείνου πράγματα δίδοσθαι διατυποῦμεν, τῶν ληγάτων δηλονότι εἴτε φιδικομμίσσων καὶ ἐλευθεριῶν καὶ τῶν δόσεων τῶν ἐπιτρόπων καὶ τῶν ἄλλων κεφαλαίων καθάπερ ἀνωτέρω εἴρηται τὴν ἰδίαν ἐχόντων ἰσχύν. εἴ τι δὲ ἢ περὶ ληγάτου ἢ φιδικομμίσσου ἢ ἐλευθεριῶν[20a]) ἢ ἄλλων οἱωνδήποτε κεφαλαίων ἐν ἄλλοις νόμοις εὑρεθείη

20) Particulam ἢ omittit Ven. 20a) Auth. addit: et tutorum dationibus.

ταύτῃ τῇ διατάξει ἐναντίον, τοῦτο κρατεῖν κατ' οὐδένα βουλόμεθα τρόπον. καὶ αὗται μὲν τῆς exheredationos *ἢ* praeteritionos[21]) *αἱ ποιναὶ τό γε εἰς τὰς τῆς ἀχαριστίας αἰτίας κατὰ τῶν εἰρημένων προσώπων διετυπώθησαν· εἴ τινες δὲ ἐξ αὐτῶν εἰς ἐγκλήματα ἀναφέρονται, τοὺς τούτων πράκτορας καὶ τὰς ἄλλας ὑπομένειν ποινὰς τὰς τοῖς νόμοις διωρισμένας.*

ε'. Ταῦτα δὲ διετυπώσαμεν, ἵνα καὶ τοὺς γονεῖς καὶ τοὺς παῖδας ἀπὸ τῆς τῶν διαθηκῶν ὕβρεως ἐλευθερώσωμεν. εἰ δέ τινες κληρονόμοι ὀνομασθεῖεν, κἂν εἰ ῥητοῖς πράγμασιν ἀρκεσθῆναι προσταχθεῖεν, ἐν τούτῳ τὴν μὲν διαθήκην μὴ ἀνατρέπεσθαι προστάττομεν, ὅπερ δ' ἂν ὑπέλαττον αὐτοῖς τῆς ἐκ τῶν νόμων μοίρας καταλειφθῇ, τοῦτο κατὰ τοὺς ἄλλους ἡμῶν νόμους παρὰ τῶν κληρονόμων ἀποπληροῦσθαι. μία γάρ ἐστι τῆς ἡμετέρας γαληνότητος φροντὶς, τὸ τὴν ὕβριν τῆς praeteritionos *καὶ* exheredationos *τῶν γονέων καὶ τῶν παίδων ἀνελεῖν. σκοπεῖν γὰρ ὀφείλουσιν οἱ γονεῖς, ὅτι καὶ αὐτοὶ παῖδες γεγόνασι καὶ τὰ αὐτὰ παρὰ τῶν οἰκείων γονέων ἐσχήκασι καὶ παραπλησίως οἱ νῦν ὄντες υἱοὶ σπουδάζουσι*[22]) *τοὺς τῶν γονέων λογισμοὺς θεραπεύειν, ἐπειδὴ καὶ αὐτοὶ γονεῖς ἐπιθυμοῦσι γενέσθαι καὶ ὑπὸ τῶν ἰδίων εὔχονται τιμηθῆναι παίδων. ὅθεν δῆλον καθέστηκεν, εἰς τὴν τῶν ἀμφοτέρων ὠφέλειαν καὶ ἀσφάλειαν τὸν παρόντα ἀφορᾶν νόμον, ὃν οὐ χωρὶς αἰτίας, ἀλλὰ προφάσεως γενομένης συνείδομεν προενεγκεῖν. εὕρομεν γὰρ Πουλχερίαν*[23]) *εὐχάριστον μὲν θυγατέρα παρὰ τῆς ἰδίας μητρὸς λεχθεῖσαν,*

21) Ven. inter lineas *ἀποκληροσύνης* et *ἀμνημοσύνης*. 22) Ven. *σπουδάζειν*, quod et Auth. ob oculos habet. sed ineptum est: Iustinianus nimirum liberos non potuit hortari, ut ne parentes in *ultimis* voluntatibus praetereant, quum et ipsi *posthac* (i. e. post mortem!) liberos habere et ab iis amari cupiant. itaque recte Hal. Proch. Epan. *σπουδάζουσι*. 23) Hal. *Πολυσκερίαν*.

ἀπὸ κληρονόμων δὲ κατὰ τὴν διαθήκην ὀνομασθεῖσαν, τοῦτο μὲν ἐπὶ τοῖς πατρῴοις τοῦτο δὲ καὶ ἐπὶ τοῖς μητρῴοις πράγμασιν. καὶ τὸν μὲν τοιοῦτον χάρτην, ἐπείπερ δόλῳ καὶ μηχανῇ συντεθέντα ἔγνωμεν, κατ' οὐδένα τρόπον κρατεῖν συνεχωρήσαμεν, τὴν δὲ θυγατέρα κληρονόμον τοῦ πατρὸς καὶ τῆς μητρὸς γενέσθαι παρεκελευσάμεθα, καθάπερ καὶ ἡ ἔγγραφος προελθοῦσα περὶ τοῦ αὐτοῦ πράγματος ἡμετέρα κρίσις δηλοῖ. [§. 1.] μεμνήμεθα πρὸς τούτοις νόμον[24]) παρ' ἡμῶν φοιτῆσαι, δι' οὗ παρεκελευσάμεθα, μηδενὶ παντελῶς ἐξεῖναι τὰ τῶν τελευτώντων σώματα χρέους ὀνόματι κρατεῖν ἢ ἐμπόδισμα τῇ τούτων ποιεῖσθαι ταφῇ. ἀλλ' ἐπὶ τοῦ παρόντος ἔγνωμέν τινας τελευτήσαντός τινος τὸν πατέρα ἐκ τῆς ταφῆς τοῦ οἰκείου παιδὸς ἀναλύοντα ὀνόματι χρέους κρατῆσαι, καὶ διὰ τοῦτο εὐσεβὲς καὶ φιλάνθρωπον εἶναι συνείδομεν τὴν τοιαύτην ὠμότητα τῷ παρόντι εὐσεβεστάτῳ νόμῳ κωλῦσαι. θεσπίζομεν τοίνυν, μηδενὶ παντελῶς ἐξεῖναι τοὺς κληρονόμους τοῦ τελευτῶντος ἢ τοὺς γονεῖς ἢ τοὺς παῖδας ἢ γαμετὴν ἢ adgnatous ἢ cognatous ἢ ἄλλους αὐτοῦ προσγενεῖς ἢ ἐγγυητὰς πρὸ τῆς τῶν ἐννέα ἡμερῶν προθεσμίας, ἐν αἷς πενθεῖν δοκοῦσιν, αἰτιᾶσθαι ἢ καθ' οἱονδήποτε τρόπον παρενοχλεῖν ἤ τινα ὑπόμνησιν αὐτοῖς ἐπιφέρειν, ἢ ἐν δικαστηρίῳ αὐτοὺς καλεῖν εἴτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου εἴτε ἄλλης οἱασοῦν αἰτίας χάριν εἰς τὰ μνημονευθέντα ἰδικῶς ὁρώσης πρόσωπα. εἰ δὲ ἐντὸς τῶν ἐννέα ἡμερῶν τολμήσοι τίς τινα τῶν εἰρημένων κρατῆσαι προσώπων ἢ μεθοδεῦσαι ἤ τινα ὁμολογίαν ἢ ὑπόσχεσιν ἢ ἐγγύην παρ' αὐτοῦ κομίσασθαι, ταῦτα πάντα ἀνίσχυρα εἶναι θεσπίζομεν. μετὰ δὲ τὴν τῶν ἐννέα ἡμερῶν παραδρομὴν εἴ τις κατὰ τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν ἀγωγάς, ταύτας κατὰ τοὺς νόμους ἐγγυμναζέτω, μηδενὸς δηλαδὴ τοῖς ἐνάγουσι προκρίματος ἐκ ταύτης τῆς

24) Const. LXXVII.

προθεσμίας περὶ χρονίαν παραγραφὴν ἢ ἐν ἄλλῃ οἱᾳδήποτε νομίμῳ δικαιολογίᾳ παντελῶς γινομένου.

ϛʹ. Πρὸς τούτοις καὶ ἄλλο κεφάλαιον πρὸς τὰς ἀντιφωνήσεις ἤγουν ὑποσχέσεις ἀποβλέπον τῷ παρόντι νόμῳ συνείδομεν διατυπῶσαι. θεσπίζομεν τοίνυν, εἴ ποτέ τις ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἄλλου προσώπου ἀντιφωνήσοι, λέγων τυχόν τινι· τὸ ἱκανόν σοι ποιῶ, τοῦτον ἐπὶ τῇ ποσότητι ἣν ἂν εἴποι τρόποις ἅπασιν ὑποκεῖσθαι, καὶ τὴν ἀντιφώνησιν τὴν ἰδίαν πληροῦν καὶ τὸ χρέος ἀναγκάζεσθαι καταβάλλειν. εἴ τις δὲ εἴποι· τὸ ἱκανόν σοι γενήσεται, τοῦτον οἷα τοῦ τοιούτου λόγου ἀπροσώπως εἰρημένου ὡσανεὶ μηδὲν εἰπόντα οὕτως ἐκ πάσης εἰσπράξεως ἐλεύθερον φυλάττεσθαι. εἰ δέ τις εἴποι· γενήσεταί σοι τὸ ἱκανὸν παρ' ἐμοῦ καὶ παρὰ τοῦδε καὶ τοῦδε, ἐκείνοις μὲν οὓς ἂν ὀνομάσειεν εἰ μὴ συναινέσουσι μηδὲν ἐκ τῆς τοιαύτης φωνῆς γίνεσθαι πρόκριμα, ἀλλὰ μηδὲ αὐτὸν τὸν τοῦτο εἰπόντα ὑπὲρ ἐκείνων τῶν προσώπων ἅπερ ὀνομάσοι ἀπαίτησίν τινα ὑπομένειν, ὑπὲρ ἑαυτοῦ δὲ ὅπερ ἐκ τοῦ κατὰ τοὺς νόμους ἀποδεικνυμένου χρέους ἐποφείλων φανείη κατὰ τὸ ἐπιβάλλον αὐτῷ μέρος μόνον καταβάλλειν. εἰ δὲ εἴποι· γενήσεταί σοι τὸ ἱκανὸν παρ' ἐμοῦ ἢ παρὰ τοῦδε ἢ τοῦδε, τηνικαῦτα τοῖς μὲν ὀνομασθεῖσι προσώποις κατὰ τὸν ὅμοιον τρόπον μὴ συναινοῦσι μηδὲ ἓν γίνεσθαι πρόκριμα, αὐτὸν δὲ τὸν τοῦτο ἀντιφωνήσαντα ἀκέραιον μὲν τὸ χρέος ἀναγκάζεσθαι καταβάλλειν· εἴ τινα δὲ κατὰ τῶν ὀνομασθέντων προσώπων νομίσοι ἑαυτῷ ἁρμόζειν ἀγωγὴν, ταύτην κατὰ τοὺς νόμους κατ' αὐτῶν προτιθέναι καὶ τῆς τῶν νόμων βοηθείας ἀπολαύειν.

Ἅπαντα δὲ ταῦτα κρατεῖν θεσπίζομεν ἐπὶ ταῖς ὑποθέσεσιν ἁπάσαις, ὅσαι μήπω δικαστικῇ ψήφῳ ἢ φιλικῇ συμβάσει[25]) *πέρας ἔλαβον.*[25a]) *ἡ τοίνυν σὴ ὑπεροχὴ τὴν παροῦ-*

25) Flor. *συμβιβάσει.* 25[a]) In Auth. additur: pater (s. parens) carissime atque amantissime.

σαν ἡμῶν γενικὴν νομοθεσίαν προγραμμάτων[26]) μὲν κατὰ ταύτην τὴν βασιλίδα πόλιν κατὰ τὸ σύνηθες προτιθεμένων, προστάξεων δὲ πρὸς τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας στελλομένων εἰς τὴν ἁπάντων γνῶσιν ἐλθεῖν παρασκευσάτω. Dat. Kal. Febr. Constantinop. DN. Iustiniani PP. Aug. ann. XV. post[27]) Basilii V. C. Cons. ind. V.

CXXXVII. Edict. 7

Τύπος πραγματικὸς περὶ ἀργυροπρατικῶν συναλλαγμάτων.

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν Αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Ἀντικὸς Ἀλανικὸς Οὐανδαλικὸς Ἀφρικὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος Ἰουλιανῷ.[1])

Ὥσπερ ἀεὶ ἡ τῆς ἀρετῆς δύναμις ἐν τοῖς ἐναντίοις διαφαίνεται, οὕτω καὶ ἡ βασιλικὴ πρόνοιά τε καὶ διοίκησις ἐν ταῖς τῶν ὑπηκόων ἐνστάσεσι φανεροῦται. καὶ εὐκταῖον μὲν ἡμῖν μηδέποτε[2]) τῇ ἡμετέρᾳ πολιτείᾳ ἐναντίον τὶ συμβαίνειν· εἰ δὲ ἢ τὸ τῶν ἀνθρωπίνων πραγμάτων εὐμετάβλητον ἢ ἡ τοῦ θείου νεύματος κίνησις τοῖς ἀνθρωπίνοις

26) Ita etiam Flor. Hal. autem *τὴν παρ. ἡμετέρας θειότητος γενικὴν διάταξιν ἐδίκτων.* 27) Imperii annum et indictionem quae desunt in Ven. addidi ex Iuliano, Theodoro, (qui tamen *ὑπατεύοντος βασιλείου* habet) et Athanasio: *βασιλείας ἰουστινιανοῦ ἰνδ. ε´.*

1) Ven. *Ἰουλιανῶς.* fortasse legendum *Ἰουλιανῷ σ[υνηγόρῳ].* scilicet ad Iulianum haec const. directa est, cui *τῆς λογιότητος* appellatio conveniret, quique cum Petro comite S. L. argentariis specialis iudex constituitur. cf. infra c. 6. 7.
2) Ven. *μηδέν ποτε.* quod propter sequens *τὶ* ferri non potest.

ἐνσκήπτει κακοῖς, ἡ ἐπαγομένη ἄνωθεν μετὰ φιλανθρωπίας παιδεία τῆς βασιλικῆς προνοίας τε καὶ φιλανθρωπίας ὑπόθεσις γίνεται. ὅπερ καὶ ἐν τῷ παρόντι συμβέβηκε χρόνῳ οὐ δεόμενον διηγήματος· ἡ γὰρ εἰς πάντας τοὺς τόπους διελθοῦσα τοῦ θανάτου περίστασις[3]) οὐδενὶ ἀναγκαῖον εἶναι ποιεῖ ἐκεῖνο ἀκούειν, ὅπερ ἕκαστος ὑπέμεινεν. πολλῶν τοίνυν οἷα ἐξ ἀπροόπτου γενομένων ἅπερ δυσκόλως ἂν ἄλλος ἐπήγαγε χρόνος, οἱ ἐν τῷ τῶν ἀργυροπρατῶν σωματείῳ καταλεγόμενοι προσῆλθον ἡμῖν, φάσκοντές τινας κληρονόμους καὶ διαδόχους τινῶν ἀγράφως παρὰ τῶν ἀργυροπρατῶν χρυσίον ἢ καὶ ἄργυρον ἢ καὶ ἕτερα εἴδη κομισαμένων εἰς ἀγνωμοσύνην ὁρᾶν, οἷα μηδὲ τῶν λαβόντων περιόντων μηδὲ αὐτῶν τῶν κληρονόμων ἢ διαδόχων δυναμένων ἐξ ἐγγράφων[4]) ἐλέγχεσθαι.

α΄. Τοῦτο τοίνυν θεραπεῦσαι σπουδάζοντες θεσπίζομεν, τοὺς κατὰ τοῦτον εὐθυνομένους τὸν τρόπον πρό γε πάντων πρὸς τὸ ὀρθὸν συνειδὸς ἀποβλέποντας ἀνενδοιάστως ὁμολογεῖν τὰ δοθέντα παρὰ τῶν ἀργυροπρατῶν ἐκείνοις ὧν αὐτοὶ ὑπῆλθον τὰ δίκαια, ταὐτὸ δὲ τοῦτο καί τινας περιόντας περὶ τοὺς ἐκ τοῦ κατ᾽ αὐτοὺς συστήματος πράττειν· ὅπερ καὶ παρὰ τῶν οἰκετῶν εὐθυνομένων παρὰ τῶν αὐτῶν διαδίκων γίνεσθαι προστάττομεν. εἰδότος ἑκατέρου μέρους, ὡς εἰ ἐλεγχθείη ἢ διὰ τῆς τῶν ὑπουργησάντων φωνῆς ἢ διὰ τῆς τῶν ἡμερησίων καταγραφῶν μεθ᾽ ὅρκου γινομένης προαγωγῆς ἢ δι᾽ ἄλλης τινὸς ἱκανῆς ἀποδείξεως, ἐν διπλῷ οἱ ἀγνωμονοῦντες καταθήσουσιν ἅπερ δολίως καὶ κατὰ ἀγνωμοσύνην ἠρνοῦντο ἢ κρύψαντες ἢ γνῶναι τὸ τοῦ πράγματος ἀληθὲς ἀμελήσαντες.

β΄. Δεύτερον ἡμῖν παρὰ τῶν ἐκ τοῦ αὐτοῦ τῶν ἀργυροπρατῶν σωματείου ἀνηνέχθη κεφάλαιον, ὥστε μὴ ἀναγκάζεσθαι αὐτοὺς ταῖς προσφερομέναις παρ᾽ αὐτῶν τῶν συναλ-

3) De peste anni 541 loquitur. 4) Sic Cod. Scr. ἀγρ.

λακτῶν ὁμολογίαις ἢ πιττακίοις ἢ λογοθεσίοις τῇ ἐκείνων καταγραφεῖσι χειρὶ, εἶτα ἀμφιβαλλομένοις, διὰ τῆς τῶν ἀγοραίων συμβολαίων συγκρίσεως τὴν πίστιν ἐπιτιθέναι, διὰ τὸ τὸ κατ᾽ αὐτοὺς σύστημα πολλοῖς μὲν μάλιστα δὲ τοῖς εὐγενέσιν ἀνθρώποις πιστεύειν μὴ ἀνεχομένοις τὰ ἑαυτῶν δημοσιεύεσθαι συναλλάγματα ἢ τὴν τῶν οἰκείων περιουσιῶν φανεροῦσθαι κατάστασιν καὶ βουλομένοις ὡς εἰκὸς τοῖς ἔξωθεν μείζονας ἢ ἐλάττονας φαίνεσθαι, ἀλλὰ χρῆναι τὰ γενόμενα εἰς αὐτὰ[5]) ἰδιόχειρα καθὰ εἴρηται γράμματα τὴν ἴσην τῶν ἀγοραίων συμβολαίων δύναμιν ἔχειν. [§. α΄.] καὶ ἐν τούτῳ τοίνυν ἡμεῖς ὁδόν τινα μέσην βαδίζοντες, ἥπερ καὶ τοὺς ἀργυροπράτας κατὰ τῶν ἐπὶ τοῖς τοιούτοις κεφαλαίοις διαδίκων καὶ αὖθις ἐκείνους κατ᾽ αὐτῶν βουλόμεθα χρήσασθαι, θεσπίζομεν, εἰ τοιαῦτα προφέρουσιν ἰδιόχειρα τῶν συναλλαξάντων γράμματα, ἅπερ ἢ αὐτὸς οὗτινος εἶναι λέγεται ἢ οἱ αὐτοῦ κληρονόμοι τε καὶ διάδοχοι οὐ δύνανται μεθ᾽ ὅρκου δόσεως ἀπαρνήσασθαι, οἷα παρ᾽ ἐκείνου γεγράφθαι οὗπερ ὄνομα φέρουσι, τὴν ἀναργυρίαν μὴ προβαλλόμενοι[6]), ἀλλὰ καὶ δυνηθείη πρὸς τούτοις ὁ ἀργυροπράτης ἐξ ἀγοραίου γραμματείου τὸ ἔγγραφον πιστώσασθαι, ἢ αὐτὸς μὲν τούτου κατολιγωρήσει, ὁ δὲ ἀντίδικος μὴ δυνηθείη ἐκ τῆς ἄλλου ἀγοραίου συγκρίσεως ἐλέγξαι τὸ ψεῦδος, τηνικαῦτα ἐκ τῶν ὡμολογημένων καὶ ἀναμφιβόλων καὶ τῇ τῶν μαρτύρων ὑπογραφῇ βεβαίων[7]) ἰδιοχείρων συμβολαίων πρὸς τὰ παρὰ τῶν ἀργυροπρατῶν ἢ κατ᾽ αὐτῶν προφερόμενα τῶν συναλλαξάντων ἰδιόχειρα γράμματα τὴν σύγκρισιν γίνεσθαι, καὶ εἶναι αὐτὰ βέβαια, οὐκ[8]) ἐλάττονα τῶν ἀγοραίων συμβολαίων ἔχοντα δύναμιν, οἷα οὐκ ἀσφαλείας αὐτοῖς ἐνού-

5) Legerim *αὐτούς*. 6) Equidem totum hunc locum lacunis laborare crediderim. interim Codicis lectionem repraesento, dum vulgo *ἀλλὰ κἂν δυνηθ.* — *τὸ ἄγραφον* editum sit. cf. c. XLIX c. 5. 7) *βεβαιουμένων?* 8) Cod. *οὐχ*.

σης, ἀλλὰ μόνου τοῦ σχήματος.[9]) *οὐδενὸς τοῖς ἱκετεύουσι γινομένου προκρίματος ἐκ τοῦ μὴ ἐγκεῖσθαι ὑποθήκας ἢ κληρονόμων ἢ διαδόχων ὄνομα τοῖς παρὰ τῶν συναλλαξάντων εἰς αὐτοὺς ἐγγράφοις γενομένοις.*

γ΄. Ἔξουσι δὲ οἱ ἐκ τοῦ αὐτοῦ τῶν ἀργυροπρατῶν σωματείου (ἐξ ἴσου δὲ καὶ οἱ συναλλάκται τὰς ὁμοίας κατ᾽ αὐτῶν ἀγωγὰς κινοῦντες) ἄδειαν, εἴπερ τινὲς τῶν τετελευτηκότων δι᾽ ἀπορίαν κληρονόμους μὲν οὐκ ἔσχον, χρεώστας δὲ κατέλιπον, ἢ καὶ πράγματά τινα ἐκείνοις διενεγκόντα ἐν παραθήκῃ ἢ ὑποθήκῃ παρά τισιν εὑρίσκεται, κινεῖν κατ᾽ ἐκείνων τὰς ἁρμοζούσας αὐτοῖς ἀγωγὰς καὶ τὸ ἱκανὸν ἐξ αὐτῶν ἑαυτοῖς περιποιεῖν. τὰ ὅμοια δὲ αὐτοῖς φυλαχθήσεται καὶ ἐπὶ[10]) *τῶν ζώντων συναλλακτῶν καὶ χρεωστούντων αὐτοῖς, ὥστε ἐξεῖναι τοῖς ἐνάγουσιν ἢ καὶ ἐναγομένοις βουλομένοις, κἂν μὴ τοῖς συμβολαίοις ὑποθήκης ἐμφέρεται μνήμη, ὑποθηκαρίας ὅμως κινεῖν ἀγωγὰς, ὡς φύσει τοῖς τῶν ἀργυροπρατῶν καὶ τῶν συμβαλλόντων αὐτοῖς συναλλάγμασιν ἑπομένας, καὶ ἔχειν κατὰ τῶν ὑστέρων*[11]) *τῷ χρόνῳ δηλονότι δανειστῶν τὴν προτίμησιν. ἄδικον γὰρ τυγχάνει καὶ τῆς τῶν ἡμετέρων χρόνων δικαιοσύνης ἀλλότριον, τοὺς μὲν εὐεργέτας τῶν ἰδίων στερεῖσθαι πραγμάτων, τοὺς δὲ χρεωστοῦντας τοῖς ἀλλοτρίοις ἐντρυφᾶν.*

δ΄. Κἀκεῖνο δὲ τῇ ἡμετέρᾳ περὶ αὐτοὺς ἐπικουρίᾳ προστίθεμεν.[12]) *ἐπειδὴ γὰρ τοῖς παρ᾽ αὐτῶν γενομένοις συναλλάγμασι σφόδρα ὁ νεαρὸς ἡμῶν νόμος*[13]) *ἀνθίσταται, ὁ παρακελευόμενος τοὺς εὐεργέτας μὴ χωρεῖν κατὰ τῶν*

9) Haec subobscura sunt. istud *αὐτοῖς* omnino referendum est ad scripturas privatas quidem sed comparatione literarum firmatas: his publicorum instrumentorum securitatem non deesse, sed solum formam, hoc est quod significari videtur. quodsi ita est, pro *ἐνούσης* profecto *δεούσης* vel simile quid legendum est. 10) Ven. *ἐπὶ ταῖς τῶν.* sed *ταῖς* delendum, nisi *ἀγωγαῖς* supplere malueris. 11) Ven. *ὕστερον.* 12) Ven. *προτίθεμεν.* 13) Const. XI intellegi videtur.

πριαμένων τινὰ παρὰ τῶν χρεωστούντων πρὶν ἂν οἱ πρωτότυποι χρεῶσται ἄποροι διὰ τῆς ἐκστάσεως ἀποδειχθῶσιν (ὅπερ αὐτοῖς πάνυ καθέστηκε φορτικὸν, διὰ τὸ τοὺς ἀγοράζοντας ὡς ἔκ τινος ἔθους καὶ βεβαιωτὰς ζητεῖν καὶ τὴν ἄλλην ἑαυτοῖς ἀσφάλειαν περιποιεῖσθαι, αὐτοῖς δὲ τοῦτο μήτε ἔθος μήτε τὴν ταχεῖαν τῶν συναλλαγμάτων ἔκβασιν συγχωρεῖν), θεσπίζομεν διὰ τοῦ παρόντος θείου πραγματικοῦ τύπου κατ᾽ ἰδικὴν αὐτοῖς διδομένου φιλοτιμίαν μὴ δυναμένην ἑτέρῳ προσώπῳ ἢ μεθοδίῳ[14]) ἢ σωματείῳ ἢ ἐπιτηδεύματι παντελῶς ἁρμόζειν, τοιαύτης αὐτούς τε καὶ τοὺς αὐτῶν συναλλάκτας ἡνίκα κατ᾽ αὐτῶν ἀγωγὰς κινοῦσι προνομίας ἀπολαύειν ἐν τῷ ἐπιζητεῖν τε καὶ διώκειν τὰ πράγματα ἐφ᾽ οἷς αὐτοῖς ὁ χρόνος παρέχει προτίμησιν, ὁποῖα πρὸ τῆς ἡμετέρας ἔσχον νομοθεσίας, ὥστε αὐτοὺς μὴ βαρουμένους τῇ ἀποδείξει τῆς τῶν χρεωστούντων ἐκστάσεως, εἴπερ μὴ δυνηθῶσι παρὰ τοῦ πρωτοτύπου τὸ ἱκανὸν ὑπομεῖναι, χωρεῖν κατὰ τῶν ἐκποιηθέντων ὑπ᾽ ἐκείνων πραγμάτων καὶ ἐξ ἰδικῆς ἢ γενικῆς ὑποθήκης αὐτοῖς ὑποκειμένων, ἐφ᾽ ὧν καθὰ εἴρηται προγενέστερα τῶν ἄλλων δανειστῶν ἔχουσι δίκαια. οἰόμεθα γὰρ τὰ τῷ προειρημένῳ σωματείῳ καὶ τοῖς αὐτῶν συναλλάκταις παρεχόμενα εἰς τὴν κοινὴν συντείνειν εὐεργεσίαν, οἷα αὐτῶν οὐκ ὀλίγοις τισὶν, ἀλλὰ τοῖς ἐν πάσῃ[15]) σχεδὸν τῇ πολιτείᾳ γινομένοις συναλλάγμασιν ὑπουργούντων.

ε΄. Καὶ τοῦτο δὲ αὐτοῖς παρασχεῖν αἰτοῦσι συνείδομεν, ὥστε ἡνίκα ἄν τισιν ἐπάγουσι δίκας καὶ εἰς τὴν τῆς δεκατομοιρίας ὁμολογίαν συνελαύνονται[16]), μὴ ἀπαιτεῖσθαι ἐγγύας, ἀλλὰ ἀρκεῖν τὴν αὐτῶν ἐπὶ τούτῳ γινομένην κατάθεσιν, οἷα ἀξίων ὄντων ὑπὲρ ἑαυτῶν πιστεύεσθαι, ὧν ἡ πίστις καὶ ὑπὲρ ἑτέρων ἀρκεῖν νομίζεται. πρόδηλον ὂν, ὡς εἰ τῷ νόμῳ

14) In const. CXLVI pr. et c. 1 *μεθοδεία* vel *μέθοδος* scribitur. 15) Ven. *πᾶσι*. 16) Videatur const. CXXXI c. 2.

ὑποπεσοῦνται, οὐδὲν αὐτοὺς ὠφελήσει τὸ ἐγγυητὴν μὴ παρασχεῖν, ἀλλὰ καὶ οὕτως καταθήσουσι τὴν τῆς δεκατομοιρίας ποινὴν, ὥσπερ καὶ οἱ ἐνάγοντες αὐτοῖς καὶ πρός γε οἱ παρ᾽ αὐτῶν ἐναγόμενοι ταῖς ὁμοίαις ὑποτεθήσονται ποιναῖς. ταύτης καὶ μόνης τῆς διαφορᾶς ἐπὶ τούτῳ τῷ κεφαλαίῳ οὔσης, ὥστε καθάπερ ἔμπροσθεν εἴρηται τοῖς ἐκ τοῦ συστήματος τῶν ἀργυροπρατῶν ἐνάγουσι τὴν τῶν ἐγγυητῶν δόσιν ἐπὶ τῇ δεκατομοιρίᾳ κατ᾽ ἰδικὴν ἡμῶν τινα φιλοτιμίαν συγκεχωρῆσθαι.

ς΄. Ἐπειδὴ δὲ καὶ τὸ εἰς διάφορα τοὺς ἱκέτας ἕλκεσθαι δικαστήρια (καὶ μάλιστα πλείστους ὄντας συναλλάκτας καὶ οἷα συμβαίνει ὀλίγους εὐγνώμονας) οὐ μόνον αὐτοῖς βλάβην, ἀλλὰ καὶ τοῖς κοινοῖς πράγμασιν ἐμπόδισμα φέρειν εὑρίσκεται, καὶ ἐν τούτῳ τῷ μέρει τὴν προτέραν ἡμῶν περὶ αὐτοὺς μιμούμεθα προμήθειαν[17]), καὶ παρακελευόμεθα αὐτοῖς εἶναι ἰδικοὺς δικαστὰς εἴτε ἐνάγουσιν εἴτε ἐνάγοιντο, τήν τε σὴν λογιότητα καὶ Πέτρον τὸν ἐνδοξότατον κόμητα τῶν θείων ἡμῶν λαργιτιόνων ἀπὸ ὑπάτων καὶ πατρίκιον[18]), ὥστε παρὰ θατέρῳ τούτων τὰς κινηθησομένας μεταξὺ αὐτῶν τε καὶ ἑτέρων οἱασοῦν δίκας, ἢ καὶ ἤδη παρὰ τοῖς πρότερον αὐτοῖς παρ᾽ ἡμῶν διδομένοις δικασταῖς εἶτα ἀποβιώσασιν ἐναρχθείσας σκοπεῖσθαι, καὶ σύντομον καὶ τοῖς ἡμετέροις νόμοις συμβαῖνον δέχεσθαι πέρας, καὶ τοὺς ἱκέτας τῆς τῶν πραιτωρίων τριβῆς ἀπαλλαττομένους σχολάζειν τῷ οἰκείῳ ἐπιτηδεύματι, τοσοῦτόν τε εὐγνωμονέστερον φέρεσθαι περὶ τὰ τῶν ὑπηκόων συναλλάγματα, ὅσον οἱ αὐτοὶ ἧττονος ἀγνωμοσύνης πειρῶνται ἢ οἱ[19]) ἀγνωμονεῖν ἐπιχειροῦντες οὐ συγχωροῦνται ἀδίκους αὐτοῖς ἐπιφέρειν βλάβας.

17) Conferas const. LIX c. 8. quod mox de iudicibus specialibus sermo est qui e vivis excesserint, de Triboniano accipi non potest: is enim tum temporis adhuc vivebat. fortasse Strategius significatur: cf. const. XLIX. 18) Ven. ὑπὸ ὑπάτων καὶ πατρικίων. 19) In Cod. οἱ deest.

ζ'. Ἀλλ' ἐπείπερ ἡμῖν καὶ ἄλλον τινὰ τῶν δολερῶν ἀνθρώπων ἐφανέρωσαν δόλον ἀπαγγείλαντες, ὥς τινες μὲν δανεισάμενοι ἢ δανειζόμενοι παρὰ τῶν ἐκ τοῦ εἰρημένου συστήματος χρήματα ἠγόρασαν ἢ ἀγοράζουσι κτῆσιν ἀκίνητον ὀνόματι τῶν οἰκείων γαμετῶν ἢ ἄλλων τινῶν περὶ αὐτοὺς ὄντων πρὸς περιγραφὴν τῆς γενικῆς ὑποθήκης τῶν ὄντων αὐτοῖς καὶ ἐσομένων πραγμάτων, τινὲς δὲ τὰ ἑαυτοῖς κεχρεωστημένα παρὰ τῶν ὑπευθύνων ἀναλαμβάνοντες ἢ ἐν χρήμασιν ἢ ἐν ἀκινήτοις προσόλου τοῖς πράγμασιν οὐκ εἰς ἴδιον πρόσωπον, ἀλλὰ καθὰ εἴρηται ἢ εἰς τὸ τῶν συμβιουσῶν ἢ συγγενῶν τὴν τοιαύτην καταβολὴν ἢ ἐκχώρησιν ἢ πρᾶσιν γίνεσθαι παρὰ τῶν ἐποφειλομένων[20]) παρασκευάζουσιν, ὥστε διὰ τῆς τοιαύτης μεθόδου ἐκείνους μὲν ἀπορίαν προΐσχεσθαι, αὐτοὺς δὲ[21]) ἐκ τοῦ εἰρημένου τῶν ἀργυροπρατῶν σωματείου εὐεργέτας τυγχάνοντας μὴ δύνασθαι ἐκείνοις ἐνάγειν πρὸς οὓς οὐ δοκοῦσι πεποιηκέναι συνάλλαγμα· καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ ἴσην φιλοτιμίαν τοῖς τε ἀργυροπράταις τοῖς τε κατ' αὐτῶν ὁμοίας ὑποθέσεις κινοῦσι παρέχοντες κελεύομεν, ὥστε εἰ δειχθείη τῶν ἐποφειλόντων τὶς δόλῳ τὸ μὴ νέμεσθαι τὰ αὐτῷ προσήκοντα ποιησάμενος καὶ εἰς ἕτερον σιωπηρῶς τὰ οἰκεῖα μεταγαγὼν δίκαια, ἐξεῖναι τοῖς ἐνάγουσι διὰ τῆς in rem ἢ δι' ἄλλης νομίμου ἀγωγῆς καὶ ἐλέγχειν τὸ γινόμενον καὶ χωρεῖν κατὰ τῶν εἰρημένων πραγμάτων ὡς τοῦ χρεώστου τυγχανόντων, καὶ πανταχόθεν τῆς μηχανῆς ἀπελαυνομένης τὸ ἀζήμιον αὐτοῖς ἐπί τε τῷ χρέει ἐπί τε τοῖς ἐπὶ τούτῳ γενομένοις δαπανήμασι περιποιεῖν. ἴσμεν γὰρ τὴν τῆς σῆς λογιότητος καὶ τοῦ μνημονευθέντος ἐνδοξοτάτου ἀνδρὸς ἀκρίβειαν τοιαύτην ὑπάρχειν, ὥστε οὕτω τὰς κινηθείσας καὶ οὔπω πέρας δεξαμένας ἢ καὶ ὕστερον κινηθησομένας ὑποθέσεις διαθεῖναι, ἐφ' ᾧ

20) Lege ἐποφειλόντων, ut paulo inferius, vel πραγμάτων pro παρὰ τῶν. 21) Malim τοὺς δέ pro αὐτοὺς δέ legere.

τε μηδὲ τοὺς ἱκέτας ἐκ τῆς τῶν χρεωστῶν ἀγνωμοσύνης ἢ ῥᾳδιουργίας ἄδικον ὑπομεῖναι βλάβην, μήτε δὲ τοὺς ἀθῴους διὰ τῶν ἀδίκων στρεβλώσεων ἀκαίρους ὑποστῆναι διαστροφὰς, ἀλλὰ καὶ τὰ πρῴην τοῖς δεηθεῖσι παρασχεθέντα[22]) κύρια καὶ ἀσάλευτα μένειν, καὶ τὰ διὰ τοῦ παρόντος θείου ἡμῶν φιλοτιμηθέντα πραγματικοῦ τύπου κατὰ τὸν ἡμέτερον ἐκτελεσθῆναι σκοπὸν, οἵπερ[23]) σπουδάζομεν τοὺς ὑπηκόους ἅπαντας ὀρθῶς καὶ ἀῤῥᾳδιουργήτως τοῖς πράγμασι προσιέναι, καὶ τοὺς ὀφείλοντας διὰ τὸ τοῖς τῆς πολιτείας πράγμασιν ὑπουργεῖν ἡσύχου ἀπολαύειν βίου μὴ διὰ τὰς τῶν ἀγνωμονούντων μηχανὰς δικαστηρίοις καὶ ταῖς ἐξ αὐτῶν προσομιλεῖν δυσχερείαις τε καὶ ζημίαις.

η΄. Ὅπερ δὲ ἐν ἑκάστῳ τῶν εἰρημένων κεφαλαίων ἰδικῶς ἐθήκαμεν, τοῦτο γενικῶς ἐν τῷ τοῦ λόγου ἐπισφραγίσματι θεῖναι συνείδομεν, ἐφ᾽ ᾧ τε ἐν ἅπασι τοῖς προλεχθεῖσιν ἶσα προνόμια τοῖς ἐν τῷ προειρημένῳ τῶν ἀργυροπρατῶν σωματείῳ καταλεγομένοις καὶ τοῖς τούτων κληρονόμοις καὶ διαδόχοις, ...[24]) ἐφ᾽ οἷς κατὰ τῶν ἀργυροπρατῶν κινοῦσιν, ὑπάρχειν. πρέπει γὰρ ἐκείνην ἑκάτερον μέρος τὴν ἀκεραιότητα ἐν τοῖς οἰκείοις συναλλάγμασί τε καὶ πράγμασι διαφυλάττειν, ἣν ἑαυτῷ ζητεῖ[25]) παρὰ τοῦ ἑτέρου φυλάττεσθαι. [§. α΄.] ταῦτα τοίνυν διὰ τοῦ παρόντος θείου ἡμῶν πραγματικοῦ τύπου κελεύοντες καὶ τοῦτο προστίθεμεν, ὥστε τὴν σὴν λογιότητα καὶ ἅπαντας τοὺς μεγάλους ἄρχοντας συνελθεῖν τοῖς ἐν τῷ προειρημένῳ συστήματι καταλεγομένοις, ὥστε εἴτε διὰ προσταγμάτων εἴτε διὰ γραμμάτων εἴτε δι᾽ ἑτέρου οἱουδήποτε συνήθους τρόπου μετὰ τῆς τοῦ νόμου ἀκολουθίας τυχεῖν αὐτοὺς τῆς δεούσης ἐπικουρίας καὶ δυνηθῆναι κατὰ τῶν ἀγνωμονούντων βοηθηθῆναι, καὶ μὴ ἀναγκασθῆναι καὶ αὐτοὺς ἀγνώμονας ἑτέροις

22) Nimirum const. XLIX. 23) Cod. εἴπερ. 24) Exciderunt nonnulla, veluti καὶ τοῖς συναλλάκταις αὐτῶν καὶ τοῖς τούτων κληρονόμοις καὶ διαδόχοις. 25) Ven. ζητεῖν.

φαίνεσθαι, ἀλλὰ μᾶλλον ἐνδείξασθαι τὸ εὐνοϊκὸν καὶ εὔγνωμον πρὸς τοὺς ἑαυτῶν συναλλάκτας, οἷα τούτου[26]) καὶ τῇ τῶν ἡμετέρων χρόνων ἀγαθότητι καὶ τοῖς ἁπάσης τῆς πολιτείας συναλλάγμασι πρέποντος, ὧν τὰ μέγιστα καὶ ἀναγκαιότατα διὰ τοῦ προειρημένου ἀεὶ συστήματος γίνεται.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἡ σὴ λογιότης καὶ πᾶς ἕτερος δικαστὴς τῆς ἡμετέρας πολιτείας βέβαια φυλαξάτω, ἀδείας οὔσης τοῖς ἱκέταις ἐν παντὶ δικαστηρίῳ μείζονί τε καὶ ἐλάττονι ἐμφανίζειν τόνδε τὸν θεῖον πραγματικὸν τύπον, καὶ τοῦτον ἀναλαμβάνειν, καὶ τῆς ἐξ αὐτοῦ τυγχάνειν βοηθείας, τοσαύτην ἐν τῇ παρούσῃ ὑποθέσει καὶ τοῖς προειρημένοις κεφαλαίοις δύναμιν ἔχοντος, ὅσην ἐπὶ τοῖς ἄλλοις πράγμασιν οἱ γενικοὶ ἡμῶν ἔχουσι νόμοι. D. K.[27]) Mart. CP. imp. DN. Iust. PP. Aug. anno XV post Basilii v. c. cons.

Auth. 108. CXXXVIII. Nov. 116.

Summae: Athan. XX, 3, Theod. Nov. 116, Epitome XV, 23.

Περὶ στρατιωτῶν.[1])

Μετὰ τὴν τοῦ δεσπότου θεοῦ εὐμένειαν ἀσφάλεια τῶν ἡμετέρων ὑπηκόων ἡ τῶν στρατιωτικῶν πραγμάτων ἀρχὴ καὶ κατάστασις. τούτων γὰρ προνοίᾳ θεοῦ συνισταμένων ἡ μὲν[2]) τῶν βαρβάρων προπέτεια χαλινοῦται, τὰ δὲ τῆς πολιτείας αὔξει πράγματα. ἐπεὶ οὖν τινες τῆς ἑαυτῶν σωτηρίας οὐδένα ποιούμενοι λόγον τοὺς στρατιώτας καὶ φοιδεράτους, ὀφείλοντας ὑπὲρ τῆς ἐλευθερίας τῆς πολιτείας κατὰ τῶν

26) Ven. τοῦ σοῦ. 27) Scr. V. K.
1) Inscriptio in Ven. et Flor. non habetur. Athan.: ὁ αὐτὸς βασιλεὺς Θεοδοσίῳ (l. Θεοδότῳ) ἐπάρχῳ πραιτωρίων.
2) Ven. μὲν omittit.

ἐχθρῶν ἀγωνίζεσθαι, τολμῶσιν ὑποσύρειν καὶ εἰς ἰδιωτικὰς ἀπασχολεῖν χρείας, συνείδομεν διὰ τοῦ παρόντος ἡμῶν νόμου πᾶσι προαγορεῦσαι, ὥστε τοῦ λοιποῦ μηδένα τολμῆσαι στρατιώτην ἐν οἱῳδήποτε ἀναφερόμενον ἀριθμῷ ἢ φοιδεράτον ὑποσύρειν ἢ εἰς τὸν ἑαυτοῦ ἔχειν οἶκον ἢ εἰς τὰς ἰδίας ἔχειν κτήσεις, περὶ οὓς ἡμεῖς πολλοὺς ὑφιστάμεθα πόνους γυμνάζοντες καὶ στρατεύοντες ὥστε τοῖς κοινοῖς αὐτοὺς χρησιμεύειν πράγμασιν.

α΄. Ἔστωσαν τοίνυν πάντες εἰδότες, ὅσοι στρατιώτας ἢ φοιδεράτους τινὰς ἐν τοῖς ἑαυτῶν ἔχειν ἔσπευσαν[3]) οἴκοις ἢ κτήσεσιν ὁπωσοῦν προσεδρεύοντας καί τινας αὐτοῖς ἰδιωτικὰς πληροῦντας χρείας, ὥστε εἰ μὴ ἐντὸς triginta dierum προθεσμίας, ἀριθμουμένων ἀπὸ τῆς κατὰ τόπον ἐμφανείας τῆς παρούσης ἡμῶν διατυπώσεως, τούτους ἀποδιώξουσιν, αἱ μὲν αὐτῶν τῶν ἐχόντων αὐτοὺς ἢ κρατούντων οὐσίαι δημεύσει ὑποβληθεῖσαι τῷ δημοσίῳ προσκυρωθήσονται, αὐτοὶ δὲ καὶ τῶν ἀξιωμάτων καὶ τῶν στρατειῶν ὁποίας ἔχουσιν ἐξωθήσονται, οἱ δὲ στρατιῶται καὶ φοιδεράτοι οἱ τούτοις μετὰ τὴν προθεσμίαν παραμένοντες οὐ μόνον τῆς ζώνης ἀφαιρεθήσονται, ἀλλὰ καὶ τὰς εἰς ἔσχατον ὑπομενοῦσι τιμωρίας. εἰδότων καὶ τῶν ἑκάστης ἐπαρχίας ἀρχόντων, ὡς εἴ τινες εὑρεθεῖεν ἐν τοῖς τόποις τοῖς παρ᾽ αὐτῶν ἰθυνομένοις ἢ ἐπιτρόποις[4]) τισὶν ἢ προσώποις ἢ οἴκοις ἢ δεσπόταις ἢ κτήσεσιν ἢ ταῖς οἱαισοῦν ἰδιωτικαῖς χρείαις προσεδρεύοντες, καὶ μὴ σπουδαίως τούτους συσχῶσί τε καὶ τιμωρίαις ὑποβάλωσι, καὶ τοὺς μὲν στρατιώτας εἰς τοὺς ἀριθμοὺς ἐκπέμψωσιν ἐν οἷς στρατεύονται, τοὺς δὲ φοιδεράτους πρὸς τοὺς ἰδίους ὀπτίονας, καὶ αὐτοὶ ἀνὰ decem librarum auri ποινὴν εἰσπραχθήσονται, καὶ πρὸς τούτοις ἐξορίᾳ παραδοθήσονται ὡς τῶν ἡμετέρων κελεύσεων τολμήσαντες ἀμελῆσαι. μηδεὶς

3) Flor. ἔσπ. omittit, ideoque Hal. ἔχοιεν edidit. 4) Ven. ἐπὶ τόποις.

τοίνυν μηδὲ θείῳ τινὶ τύπῳ περὶ τούτου ὡς εἰκὸς γενομένῳ μηδὲ προστάξεσιν ἀρχόντων χρῆται, μηδὲ[5]) *τοιούτους τινὰς τύπους ἢ προστάξεις ἀρχικὰς προσδέξηται, ἀλλὰ μετὰ πάσης ταχυτῆτος οἱ μὲν στρατιῶται εἰς τοὺς ἰδίους ἀριθμοὺς οἱ δὲ φοιδεράτοι πρὸς τοὺς ἑαυτῶν ὀπτίονας ἐπανέλθωσι καὶ ὑπὲρ τῶν κοινῶν ἀγωνίσωνται πραγμάτων. κατ' οὐδένα γὰρ τρόπον τοῦ λοιποῦ συγχωροῦμεν τοὺς ἡμετέρους στρατιώτας ἢ φοιδεράτους ἔν τισι παντελῶς ἰδιωτικαῖς ἀπασχολεῖσθαι χρείαις.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦ παρόντος δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ γινώσκουσα κατὰ μὲν τὴν εὐδαίμονα ταύτην πόλιν ἰδίκτων κατὰ τὸ σύνηθες προτιθεμένων, ἐν δὲ ταῖς ἐπαρχίαις προστάξεων στελλομένων πᾶσι δῆλα καταστῆσαι σπευσάτω. D. V Id. Apr. Const. imp. DN. Iustiniano PP. A. anno XVI post Basilii v. c. cons.

CXXXIX. Nov. 157.

Summas praestant Athan. XVIII, 6 et Theod. Nov. 157.

Περὶ τῶν ἐν ἀλλοτρίοις χωρίοις γαμούντων γεωργῶν.

Αὐτοκράτωρ Ἰουστινιανὸς[1]) *Λαζάρῳ κόμητι τῆς Ἕω.*

Ἐκ τῶν εἰς ἡμᾶς διαφόρως ἀνηνεγμένων πλημμελεῖσθαί τι κατὰ τὴν μέσην τῶν ποταμῶν καὶ πρός γε τὴν Ὀσροηνὴν ἐπαρχίαν ἐμάθομεν τῶν ἡμετέρων ἀνάξιον χρό-

5) Ven. verba *χρῆται μηδὲ* omittit. 6) Ven. D. V Id. Apr. Bilisario v. c. cons. Athan.: *ἐγράφη ἰδ. ἀπριλ. βασιλείας ἰουστινιανοῦ τὸ ιε' μετὰ τὴν ὑπατείαν βασιλ.* Theod.: *ἐξεφωνήθη μηνὶ ἀπριλίῳ ἔτει ιε' βασιλείας μετὰ ὑπατείαν βασιλείου.* sed mensis Aprilis post cons. Basilii incidit in annum XVI imperii.

1) Flor. addit *αὔγουστος*.

νων. συνειθίσθαι μὲν γὰρ αὐτοῖς τοὺς ἐκ διαφόρων ὡρμημένους χωρίων γάμους πρὸς ἀλλήλους συμβάλλειν, νῦν δὲ δὴ πειρᾶσθαι τοὺς δεσπότας τοὺς γάμους διαλύειν ἤδη πραχθέντας ἢ τοὺς γενομένους παῖδας τῶν γονέων ἀφέλκειν, κἀντεῦθεν ὅλον τὸ τῶν τόπων ἐκείνων ταλαιπωρεῖσθαι γεωργικὸν, διαιρουμένων ἐκ βίας ἀνδρῶν τε καὶ γυναικῶν, ἀφελκομένης δὲ γονῆς ἐκ τῶν παραγαγόντων εἰς φῶς, καὶ μόνης ἡμετέρας εἶναι τὸ πρᾶγμα προνοίας.

α'. Θεσπίζομεν τοίνυν, τοῦ λοιποῦ μὲν τοὺς τὰ χωρία κεκτημένους ὡς ἂν ἐθέλοιεν παραφυλάττειν τοὺς γεωργοὺς, ὅσοιπερ αὐτοῖς κατὰ τὸν νόμον προσήκουσιν, ὡς μὴ γάμους πρὸς τοὺς ἐξ ἑτέρων ὡρμημένους χωρίων συμβάλλειν, τοὺς δὲ μέχρι νῦν γενομένους γάμους εἶναι κυρίους[2]), καὶ μηδένα δύνασθαι διασπᾶν τοὺς ἤδη συναφθέντας κατὰ τὸ κρατοῦν πρότερον ἔθος, ἢ γεωργεῖν προσήκουσαν[3]) αὐτοῖς ἀναγκάζεσθαι γῆν, ἀλλὰ μηδὲ τῶν γονέων ἀφαιρεῖσθαι τοὺς παῖδας προφάσει τύχης γεωργικῆς. ἀλλὰ κἂν εἴ τι τοιοῦτον ἤδη γενόμενον ἔτυχεν, ἐπανορθώσεις τε καὶ τοῦτο καὶ ἀποδοθῆναι παρασκευάσεις, εἴτε παῖδας ἀφαιρεθῆναι συμβέβηκεν εἴτε καὶ γυναῖκας, τοῖς τε γονεῦσιν ἢ καὶ τοῖς συνοικοῦσί φαμεν· τοῦ ποιῆσαί τι τοιοῦτον πρὸς τὸν ἔπειτα χρόνον θαῤῥοῦντος καὶ περὶ αὐτὸ κινδυνεύοντος τὸ χωρίον. ἀλλ' ἀπαλλαττέσθω τὰ συνοικέσια τοῦ νῦν[4]) ἐπιτιθεμένου δέους καὶ οἱ γονεῖς τοὺς παῖδας ἐχέτωσαν ἐκ ταύτης ἡμῶν τῆς κελεύσεως, οὐ δυναμένων ἀκριβολογεῖσθαι τῶν τὰ χωρία κεκτημένων καὶ ἀφέλκειν ἢ τοὺς συναλλάξαντας ἢ τοὺς παῖδας. ὁ γὰρ δὴ τοιοῦτό τι ποιῆσαι πειρώμενος καὶ περὶ αὐτὸ κινδυνεύσει τὸ χωρίον, ᾧ δῆθεν πειρᾶται τοὺς γεωργοὺς ἐκδικεῖν.

2) Verba *ὅσοιπερ — κυρίους* omittit Flor. 3) Hal. *τὴν προσ.* sed Flor. *μὴ προσήκουσαν*, quod forte praestat. 4) Ven. *τοίνυν*.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἡ σὴ μεγαλοπρέπεια καὶ ἡ πειθομένη σοὶ τάξις καὶ ὁ κατὰ καιρὸν τῆς αὐτῆς ἀρχῆς ἡγησόμενος εἰς ἔργον ἀχθῆναι καὶ παραφυλαχθῆναι προνοησάτω, trium librarum auri[5]) *ποινῆς ἐπικειμένης κατὰ παντὸς τοῦ ταῦτα παραβαίνειν ἐπιχειροῦντος.* Dat. Kal. Maii. CP. DN. Iust. PP. Aug. anno XVI post Basilii V. C. Cons.[6])

CXL.

Hanc pragmaticam sanctionem edidit Pithoeus a. 1576. extat in Cod. Iuliani Utinensi, ex quo variantes lectiones ad Pithoei editionem adscripsit Haenelius, cuius exemplar hodie est in bibliotheca universitatis Lipsiensis.

ALIA[1]) IUSSIO IUSTINIANI IMPERATORIS PRO PRIVILEGIIS[2]) CONCILII VIZACENI.

Imperator Flavius Iustinianus Alamannicus Gothicus Francicus Germanicus Alanicus[3]) Wandalicus Africanus felix inclitus victor ac triumphator semper Augustus Daciano metropolitano Vizacii.

Semper nostrae serenitati cura fuit servandae vetustatis maxime disciplinae, quam nunquam contempsimus nisi et in melius augeremus: praesertim quotiens de ecclesiasticis negotiis contingit quaestio, quae patrum constat regulis definita, immo abventu[4]) superni numinis inspi-

5) Ven. addit *ἤγουν γ' λιτρῶν χρυσίου.* 6) Ven. Dat. Kal. Mai. CP. DN. Iust. PP. Aug. Bilisario v. c. cons. sed Athan.: *ις' βασιλείας ἰουστινιανοῦ τὸ μετὰ τὴν ὑπατείαν* (scil. Basilii), Theod.: *ἔτει η'* (lege *ις'*) *βασιλείας ἰουστινιανοῦ.* quod annus imperii adiicitur, argumento est hanc constitutionem demum post const. LXVI i. e post annum 537 datam esse, ut Codicis Veneti lectio ferri non possit. Bienerus Gesch. d. Novv. p. 529 constitutionem anno 539 recentiorem esse arbitratus est.

1) Utin.: Idem alia etc. 2) Utin. privilegia. Pith. privilegio. 3) Utin. Atthicus. Anticus? 4) adventu? obventu?

rata, quia constat esse caelitus constituta[4a]) quicquid apostolica decernit[5]) auctoritas. hinc est quod in Africanis quoque conciliis illa volumus reservari quae antiquitas statuit et sequentium obedientia custodivit atque in nostrum usque seculum intemerata perduxit. nullus inter primates illud sibi privilegium vindicet quod accepisse non legitur, nullus arripiat quod habuisse iugiter non probatur, nec de rescriptis ad unius suggestionem promeritis aut de exemplis consuetudinem violantibus quibuslibet sibi blandiatur ambitio. illud pro lege servandum est, quod conciliis definitum servavit devota prosperitas.[6]) nam quae quis in praeiudicium statutorum quibuslibet rebus usurpavit, corrigenda potius quam imitanda censemus. si quid igitur metropolitano Kartaginis vel primatibus Numidiae vel Vizacii conciliorum auctoritas praestitit et inoffensa consuetudo servavit, hoc sibi quisque optet, hoc[7]) vindicet, hoc nostra speret sanctione firmari. nos tutores tantum sumus vetustatis et vindices: nec deerit ecclesiastica vindicta vel nostra in eos qui aut ambitiosa superbia aut subreptitiis postulationibus antiquitatem temerasse docebuntur: quoniam ad divinitatis tendit iniuriam qui sanctorum patrum constituta contemnere ac violare non metuit, sancte ac religiosissime pater. beatitudo itaque tua, quae per hanc divinam pragmaticam sanctionem nostra statuit aeternitas[8]), effectui mancipari observareque procuret. divinitas te servet per multos annos, sancte ac religiosissime pater. *Data IIII Kal. Novemb. imperii domini nostri Iustiniani anno XVI.*[9])

4a) constitutum? 5) Utin. Codex: discernit. 6) posteritas? 7) Pithoeus: sibi. 8) serenitas? 9) De Cod. Utin. Haenelius notat incertum esse utrumne XVI an XV librarius scripserit.

Auth. 112. CXLI. Nov. 117.

Cap. 1 est in Basil. 41, 5, 3, cap. 2 in Basil. 28, 4, 49, cap. 3 in Bas. 45, 6, 3, cap. 4 in Bas. 28, 4, 47, cap. 5 in Proch. 5, 6. Epan. 19. 9. Bas. 28, 12, 1, cap. 6 in Bas. 28, 4, 47, cap. 7 in Bas. 31, 6, 13. 17, cap. 8 in Proch. 11, 1. 5—12. Epan. 21, 5, Bas. 28, 7, 1, cap. 9 in Proch. 11, 13—18. Epan. 21, 6. Bas. cit., cap. 10 in Epan. 21 schol. b, cap. 11 in Proch. 11, 19—21. Epan. 21, 7. Bas. 28, 7, 3, cap. 12 in Bas. 28, 7, 3 et 5, cap. 13. 14 in Bas. 28, 7, 7, cap. 15 in Proch. 39, 42. Epan. 40, 47. 48. Bas. 28, 7, 7. — Summae: Iulian. c. 108, Athan. X, 9, Theod. Nov. 117, Anonymi them. 341—345 (capp. 2—6. cf. Ἀνέκδ. mea p. 208), capp. 2. 5. 7. 8. 9. 11. 12. 13 in Nomoc. XIV titt. 11, 1. 13, 3. 4 et Ἀνέκδ. p. 215 sq., praeterea capp. 3. 7 in App. Eclogae II (Ἀν. p. 186), cap. 4 in Epitome 23, 10, capp. 8 et 11 in libro *αἱ ῥοπαί* 14, 1. 24, 39. — Florentinus Codex capp. 5. 8. 10. 13 non genuina praestant, sed interpolata ex aliis constitutionibus unde ad c. 13 notatur: *βι. τῶν βασιλ. κη΄ τι. ζ΄ τῆς ρλδ΄ νεαρᾶς κεφ. ιε΄.*

Περὶ διαφόρων κεφαλαίων καὶ λύσεως γάμου.[1])

Διαφόρων κεφαλαίων εἰς ἡμᾶς ἐνεχθέντων, ἀναγκαῖον εἶναι συνείδομεν γενικῷ ταῦτα διατυπῶσαι νόμῳ.

α΄. Θεσπίζομεν τοίνυν, ἄδειαν εἶναι καὶ μητρὶ καὶ μάμμῃ καὶ τοῖς ἄλλοις γονεῦσι μετὰ τὸ καταλιπεῖν τοῖς παισὶ τὸ ἐκ τῶν νόμων ὀφειλόμενον μέρος τὸ ὑπόλοιπον τῆς αὐτῶν περιουσίας, εἴτε εἰς ὁλόκληρον βουληθεῖεν εἴτε ἐκ μέρους, τῷ υἱῷ ἢ τῇ θυγατρὶ ἢ ἐγγόνῳ ἢ ἐγγόνῃ ἢ τοῖς ἐφεξῆς κατιοῦσι δωρεῖσθαι ἢ καὶ διὰ τελευταίας βουλήσεως καταλιμπάνειν, ἐπὶ τοιούτῳ ὅρῳ τε καὶ αἱρέσει εἴ γε βουληθεῖεν, ὥστε τὸν πατέρα ἢ τὸν ὅλως ἔχοντα τούτους ὑπεξουσίους ἐν τούτοις τοῖς πράγμασι μηδὲ usumfructo*ν*[2]) *μηδὲ τὴν οἱανοῦν παντελῶς μετουσίαν ἔχειν. ταῦτα γὰρ δὴ καὶ ἐξωτικοῖς ἠδύναντο καταλιμπάνειν, ὅθεν οὐδεμία τοῖς γονεῦσιν ὠφέλεια προσεγίνετο. τοῦτο δὲ οὐ μόνον τοῖς γονεῦσιν, ἀλλὰ καὶ παντὶ προσώπῳ ἐξεῖναι παρακελευόμεθα.*

1) Inscriptionem nec Ven. nec Flor. habet. Hal. autem (Auth. sequutus): *Ὁ αὐτὸς βασιλεὺς Θεοδότῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων.* Athanasius: *Ὁ αὐτὸς βασιλεὺς Θεοδότῳ ἐπάρχῳ πραιτωρίων.* — In Ven. ad cap. 1 adscribitur: *βι. μα΄ τῶν βασιλ. τί. ε΄ κεφ. γ΄.* 2) Ven. inter lineas: *ἤτοι χρῆσιν κλοπῶν* (sic! lege **καρπῶν**).

[§. 1.] τὰ δὲ πράγματα τὰ οὕτω καταλιμπανόμενα ἢ δωρούμενα τοῖς ὑπεξουσίοις προσώποις, εἰ μὲν τελείας εἰσὶν ἡλικίας κἂν ὑπεξούσιοι ὦσιν, ἄδειαν ἐχέτωσαν καθ' ὃν βούλονται τρόπον διοικεῖν· εἰ δὲ τὴν ἡλικίαν ὦσιν ἀτελεῖς, δι' οὗπερ ἂν συνίδοι ὁ τεστάτωρ ἢ ὁ δωρούμενος αὐτὰ διοικεῖσθαι, μέχρις ὅταν[3]) ἐκεῖνοι οἷς ἐδωρήθη ἢ κατελείφθη εἰς τελείαν ἔλθωσιν ἡλικίαν· ἄδειαν ἔχοντος τοῦ διατιθεμένου ἢ δωρουμένου καὶ τῇ μητρὶ καὶ τῇ μάμμῃ τούτων οἷς τὰ πράγματα παρεσχέθη τὴν τῶν αὐτῶν πραγμάτων εἰ βούλοιτο διοίκησιν καταπιστεῦσαι, κἂν συνοικῶσιν ἀνδράσιν αἱ εἰρημέναι γυναῖκες, οὕτω μέντοιγε εἴπερ καὶ αὐταὶ τὴν τοιαύτην διοίκησιν καταδέξασθαι βουληθῶσιν. εἰ δὲ ὡς εἰκὸς ὁ καταλιμπάνων ἢ δωρούμενος μηδένα τούτοις διοικητὴν ὁρίσοι, ἢ ὁ παρ' αὐτοῦ δεδομένος τὴν τοιαύτην διοίκησιν ὑπελθεῖν ἢ μὴ βουληθείη ἢ μὴ δυνηθείη, ἢ τελευτήσῃ πρὶν ἐκείνους τελείας ἡλικίας γενέσθαι, τηνικαῦτα κελεύομεν τὸν ἁρμόδιον ἄρχοντα κουράτορα ἀξιόπιστον μετὰ νομίμου ἐγγύης τοῖς τοιούτοις πράγμασι προβάλλεσθαι, ὀφείλοντα τὴν καταλειφθεῖσαν τοῖς τοιούτοις προσώποις περιουσίαν διοικῆσαί τε καὶ φυλάξαι, μέχρις ὅταν ἐκεῖνοι ὡς εἴρηται εἰς τελείαν ἡλικίαν ἔλθωσιν. ἐν ἐκείνοις γὰρ τοῖς θέμασι τὸν νόμον τὸν τὴν χρῆσιν τοῖς γονεῦσι παρέχοντα βουλόμεθα παραφυλάττεσθαι, οἷς οὐκ ἔγκειται ἰδικῶς τοιαύτη αἵρεσις.

β'. Πρὸς τούτοις δὲ κακεῖνο νομοθετῆσαι συνείδομεν, ὥστε εἴ τις υἱὸν ἢ θυγατέρα ἔχων ἐξ ἐλευθέρας γυναικὸς, μεθ' ἧς γάμος συνίστασθαι δύναται, εἴποι ἐν συμβολαίῳ εἴτε ἀγοραίῳ εἴτε ἰδίᾳ χειρὶ συγγεγραμμένῳ καὶ ἔχοντι ὑπογραφὰς τριῶν μαρτύρων ἀξιοπίστων εἴτε ἐν διαθήκῃ εἴτε ἐπὶ πράξεως ὑπομνημάτων τοῦτον ἢ ταύτην υἱὸν αὐτοῦ εἶναι ἢ θυγατέρα, καὶ μὴ προσθῇ καὶ φυσικὸν ἢ φυσικὴν, τοὺς τοιούτους παῖδας γνησίους εἶναι καὶ μηδεμίαν ἑτέραν ἀπόδειξιν παρ' αὐτῶν ζητεῖσθαι, ἀλλὰ πάντων ἀπολαύειν αὐ-

3) Basil. ὅτου. quod forsitan praestat.

τοὺς τῶν δικαίων ὅσα τοῖς γνησίοις παισὶν οἱ ἡμέτεροι παρέχουσι νόμοι, οἷα τοῦ πατρὸς αὐτοῦ ὡς εἴρηται παῖδας ἰδίους αὐτοὺς ἀποκαλέσαντος. ἐντεῦθεν γὰρ καὶ μετὰ τῆς αὐτῶν μητρὸς δείκνυται νόμιμον ἐσχηκέναι γάμον, ὥστε μηδὲ παρ' αὐτῆς πρὸς τὴν τοῦ γάμου πίστιν ἑτέραν ἀπόδειξιν ἐπιζητεῖσθαι. εἰ δὲ ὁ πατὴρ ἐκ τῆς αὐτῆς γυναικὸς πολλοὺς παῖδας ἔχων ἑνὶ ἐξ αὐτῶν μαρτυρίαν καθ' οἱονδήποτε τῶν εἰρημένων παράσχοι τρόπων, ἀρκεῖν καὶ τοῖς ἄλλοις τοῖς ἐκ τῆς αὐτῆς γυναικὸς τεχθεῖσι πρὸς τὰ τῶν νομίμων δίκαια τὴν τῷ ἑνὶ δεδομένην τοῦ πατρὸς μαρτυρίαν.

γ'. Καὶ τοῦτο δὲ τῇ παρούσῃ διατάξει συνείδομεν προσθεῖναι, ὥστε εἴ τις ἀγράφως κατὰ διάθεσιν γαμικὴν γυναῖκα λάβοι καὶ παῖδας ἐξ αὐτῆς ποιήσοιτο[4]), λυθέντος δὲ τοῦ πρὸς αὐτὴν γάμου συμβῇ αὐτὸν καὶ ἑτέραν ἀγαγέσθαι γυναῖκα μετὰ προικῴων συμβολαίων καὶ ἐξ αὐτῆς ὁμοίως ποιήσασθαι παῖδας, μηδὲν περὶ τὴν πατρῴαν κληρονομίαν τοῖς ἐκ τῆς ἀπροίκου γαμετῆς τεχθεῖσι παισὶ πρόκριμα γίνεσθαι, ἀλλὰ μετὰ τῶν ἄλλων παίδων τῶν ἐκ τῆς δευτέρας γαμετῆς τεχθέντων τῆς μετὰ προικῴων συμβολαίων συνοικησάσης εἰς τὸν τοῦ πατρὸς κἀκείνους καλεῖσθαι κλῆρον, οἷα καὶ ἐκ μόνης διαθέσεως δυναμένου τοῦ γάμου συνίστασθαι. ὅπερ ὁμοίως κρατεῖν βουλόμεθα, εἰ καὶ πρῶτον μὲν μετὰ προικῴων συμβολαίων συναφθείη τὶς γαμετῇ, μετ' ἐκείνην δὲ ἑτέραν ἀγάγηται μόνῃ γαμικῇ διαθέσει.

δ'. Ἐπειδὴ δὲ νόμον[5]) πρῴην ἐξεφωνήσαμεν, κελεύοντα ἢ προικῷα γίνεσθαι συμβόλαια, ἢ ἄλλας συστάσεις προϊέναι γινομένας παρὰ τοῖς ἐκκλησιεκδίκοις δι' ὧν τοὺς γάμους προσήκει βεβαιοῦσθαι, ἢ γοῦν ὅρκους παρέχεσθαι, ἐπὶ τοῦ παρόντος συνείδομεν κάλλιον διατυπῶσαι τὰ περὶ τούτων πρῴην νομοθετηθέντα. καὶ διὰ τοῦτο κελεύομεν, τοὺς μεγάλοις ἀξιώμασι κεκοσμημένους μέχρις ἰλλουστρίων μὴ ἄλλως γάμοις προσομιλεῖν, εἰ μὴ προικῷα συγγράφοιεν

4) Bas. ποιήσαιτο. non male. 5) Const. XCIV cap. 4. 5.

συμβόλαια, πλὴν εἰ μή τις πρὸ τοῦ τυχεῖν τῶν τοιούτων ἀξιωμάτων ἐκ μόνης διαθέσεως ἠγάγετο γαμετήν. τοὺς γὰρ τοιούτους γάμους πρὸ τῆς ἀξίας γενομένους[6]) καὶ μετὰ τὴν ἀξίαν νομίμους μένειν κελεύομεν, καὶ τοὺς ἐξ αὐτῶν τεχθέντας νομίμους εἶναι παῖδας· μετὰ μέντοι τὸ τιμηθῆναί τινας τοιαύταις ἀξίαις μὴ ἄλλως ἄγεσθαι γαμετὰς, πλὴν εἰ μὴ μετὰ προικῴων συμβολαίων. ταύτην δὲ τὴν τοῦ νόμου ἀκρίβειαν συγχωροῦμεν τοῖς ὑποτεταγμένοις τῇ ἡμετέρᾳ πολιτείᾳ βαρβάροις, κἂν ἀξιώμασι τοιούτοις ὑπάρχοιεν κεκοσμημένοι, ὥστε καὶ διαθέσει ψιλῇ δύνασθαι αὐτοὺς βουλομένους συναλλάσσειν γάμους. τοὺς δὲ λοιποὺς ἅπαντας παρὰ τοὺς ταῖς μεγάλαις ὡς εἴρηται ἀξίαις κεκοσμημένους, οἱασδήποτε εἶεν ἀξίας ἢ στρατείας ἢ ἐπιτηδεύσεως, εἰ μὲν βουληθεῖεν ἢ δυνηθεῖεν οὐ κωλύομεν μετὰ προικῴων συμβολαίων ἄγεσθαι γαμετὰς· εἰ δὲ καὶ τοῦτο μὴ παραφυλάξουσι, καὶ τοὺς ἐκ μόνης διαθέσεως ἀποδεικνυμένους γάμους βεβαίους εἶναι θεσπίζομεν, καὶ τοὺς ἐξ αὐτῶν τικτομένους νομίμους εἶναι παῖδας κελεύομεν.

ε΄. Ἐπειδὴ δὲ νόμον[7]) ἤδη τεθείκαμεν προστάττοντα ὥστε εἴ ποτέ τις γυναῖκα δίχα προικῴων λάβοι μετὰ διαθέσεως γαμικῆς καὶ ταύτην χωρὶς αἰτίας γνωριζομένης τοῖς νόμοις ἐκβάλῃ, λαμβάνειν αὐτὴν τὸ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας, καὶ ἕτερον μετὰ ταῦτα πεποιήκαμεν νόμον[8]) τὸν διορίζοντα, εἴ τις ἄπορον γυναῖκα κατὰ διάθεσιν μόνον λάβοι καὶ μέχρι τελευτῆς σὺν αὐτῇ ζήσας προτελευτήσοι, λαμβάνειν ὁμοίως καὶ αὐτὴν τὸ τέταρτον μέρος τῆς ἐκείνου περιουσίας (οὕτω μέντοιγε ὥστε μὴ ὑπερβαίνειν αὐτο τὴν τῶν ἑκατὸν τοῦ χρυσοῦ λιτρῶν ποσότητα), ἐν τῷ παρόντι κάλλιον ἑκάτερον νόμον διατυποῦντες θεσπίζομεν ἐφ' ἑκατέρου θέματος τοὺς ἐκ τῶν τοιούτων συνοικεσίων τεχθέντας παῖδας νομίμους εἶναι καὶ εἰς τὴν πατρῴαν καλεῖ-

6) Ven. γινομ. 7) Const. XLVIII cap. 18. 8) Const. LXX cap. 6.

σθαι κληρονομίαν, τὴν δὲ γυναῖκα ἐφ' ἑκατέρου τούτων τῶν θεμάτων, εἰ μὲν ἄχρι τριῶν ἔχοι παίδων ὁ αὐτῆς ἀνὴρ εἴτε ἐξ αὐτῆς εἴτε καὶ ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνειν· εἰ δὲ πλείονες εἴησαν οἱ παῖδες, τοσοῦτον ἐφ' ἑκατέρου ὁμοίως θέματος λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει. οὕτω δηλαδὴ, ὥστε χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν, τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδας ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν καὶ δεσποτείας δικαίῳ ἔχειν αὐτὴν τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν ἐλθεῖν διὰ τοῦ παρόντος ἐκελεύσαμεν νόμου. τὴν μέντοι ἀλόγως ἐκβληθεῖσαν ἐν αὐτῷ τῷ καιρῷ τῆς ἐκβολῆς τὸ μέρος κελεύομεν λαβεῖν τὸ περιεχόμενον τῷδε τῷ νόμῳ. τὸν ἄνδρα γὰρ ἐπὶ τῶν τοιούτων θεμάτων τὸ τέταρτον μέρος κατὰ τὸν πρότερον ἡμῶν νόμον ἐκ τῆς οὐσίας λαμβάνειν τῆς γυναικὸς πᾶσι τρόποις κωλύομεν.

ϛ'. Ἐκείνου ἀναμφιβόλως παραφυλαττομένου, ὥστε τὴν Λέοντος τοῦ τῆς εὐσεβοῦς μνήμης διάταξιν[9]) ἐπὶ πάντων τῶν ἄλλων θεμάτων τῶν μὴ περιεχομένων τῷ παρόντι νόμῳ τὴν ἰδίαν ἔχειν ἰσχύν.[10]) τὸν δὲ Κωνσταντίνου τοῦ τῆς εὐσεβοῦς λήξεως νόμον[11]) τὸν πρὸς Γρηγόριον γεγραμμένον, καὶ τὴν ἐπ' αὐτῷ γενομένην ἑρμηνείαν[12]) ὑπὸ Μαρκιανοῦ τοῦ τῆς εὐσεβοῦς λήξεως, δι' ὧν αἱ τῶν γυναικῶν συζυγίαι, ἃς ὁ Κωνσταντίνου νόμος εὐτελεῖς ἐκάλεσεν, πρός τινας ἀξιώμασι κεκοσμημένους κωλύονται, οὐδενὶ παντελῶς τρόπῳ κρατεῖν συγχωροῦμεν, ἀλλ' ἄδειαν τοῖς βουλομένοις παρέχομεν, εἰ καὶ οἱοισδήποτε μεγάλοις ἀξιώμασι κοσμοῖντο, τὰς τοιαύτας γυναῖκας μετὰ προικῴων συμβολαίων ἑαυτοῖς συνάπτειν. οἱ δὲ λοιποὶ παρὰ τοὺς τοῖς μεγάλοις ἀξιώμασι

9) l. 9 C. de pactis conv. 5, 14. 10) Ven. *ἰσχὺν* non habet. 11) l. 1 C. de natural. 5, 27. 12) l. 7 C. de incest. 5, 5.

κεκοσμημένους ἄδειαν ἐχέτωσαν τὰς τοιαύτας γυναῖκας λαμβάνειν εἴτε ἐγγράφως βουληθεῖεν εἴτε μόνῃ διαθέσει γάμου, εἰ μέντοιγε ἐλεύθεραι εἴησαν καὶ μεθ' ὧν ἔξεστι γάμον ἐπιτελεῖσθαι.

ζ'. Κἀκεῖνο δὲ διατυπῶσαι συνείδομεν, ἵνα εἴ ποτε τὸν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γάμον λυθῆναι συμβαίη, οἱ ἐκ τοῦ τοιούτου γάμου γεννηθέντες παῖδες μηδενὶ τρόπῳ βλαβῶσιν ἐκ τῆς διαζεύξεως τοῦ γάμου, ἀλλὰ πρὸς τὴν τῶν γονέων κληρονομίαν καλείσθωσαν ἐκ τῆς τοῦ πατρὸς οὐσίας ἀναμφισβητήτως ἀποτρεφόμενοι. καὶ εἰ μὲν ὁ πατὴρ τὴν πρόφασιν τῆς διαζεύξεως παρέσχε καὶ ἡ μήτηρ εἰς δεύτερον οὐκ ἦλθε γάμον, παρὰ τῇ μητρὶ τρέφεσθαι[13]) *τὰς δαπάνας τοῦ πατρὸς παρέχοντος, εἰ δὲ παρ' αἰτίαν τῆς μητρὸς δείκνυται λελύσθαι τὸν γάμον, τότε παρὰ τῷ πατρὶ καὶ οἰκείτωσαν οἱ παῖδες καὶ τρεφέσθωσαν. εἰ δὲ συμβῇ τὸν μὲν πατέρα ἄπορον εἶναι, τὴν δὲ μητέρα εὔπορον, παρ' αὐτῇ πενομένους τοὺς παῖδας μένειν καὶ παρ' αὐτῆς τρέφεσθαι παρακελευόμεθα. ὃν γὰρ τρόπον οἱ παῖδες εὐποροῦντες ἀναγκάζονται τὴν μητέρα δεομένην τρέφειν, οὕτω δίκαιον κρίνομεν καὶ παρὰ τῆς μητρὸς εὐπορούσης τοὺς παῖδας ἀποτρέφεσθαι.*[14]) *ὅπερ δὲ περὶ τοῦ τρέφεσθαι τὴν μητέρα*[14a]) *καὶ τοὺς παῖδας διωρίσαμεν πενομένους, τοῦτο δὴ καὶ ἐπὶ πάντων τῶν ἀνιόντων καὶ κατιόντων προσώπων ἑκατέρας φύσεως κρατεῖν κελεύομεν.*

η'. Ἐπειδὴ δὲ πολλὰς ἐν τοῖς παλαιοῖς καὶ ἡμετέροις εὕρομεν νόμοις αἰτίας ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων διαλύσεις γίνονται, τούτου ἕνεκα συνείδομεν ἐκ τούτων περιελεῖν τινας, αἵπερ ἡμῖν ἀνάξιαι πρὸς τὸ διαλύειν γάμους ἐφά-

13) *τρεφέσθωσαν?* 14) Flor. *τὰ τέκνα τρέφεσθαι.* 14a) Bas. (sive Syn. *Γ*, 8, 6) ***τὸν πατέρα.*** Tipucitus autem (***περὶ παίδων ἀπορούντων καὶ μητρὸς πενομένης***) sicut Auth. lectionem Codicum Ven. et Flor. firmant, quamquam in antecedentibus de matre alenda nihil sit definitum. legerim ***τρέφεσθαί τε καὶ ἀνάγεσθαι τοὺς π.***

νησαν, καὶ ταύτας μόνον ὀνομαστὶ τῷ παρόντι ἐντάξαι νόμῳ, ὑπὲρ ὧν εὐλόγως δύναται εἴτε ἀνὴρ εἴτε γυνὴ ῥεπούδιον πέμπειν. τὰς τοίνυν αἰτίας, ἐξ ὧν ὁ ἀνὴρ ῥεπούδιον ἀκινδύνως στέλλειν δύναται καὶ τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν (φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων, ἀπολαύειν αὐτὸν καὶ τῆς δεσποτείας), ταύτας εἶναι διατυποῦμεν. [§. 1.] εἰ κατὰ τῆς βασιλείας βουλευομένοις τισὶ σύνοιδεν ἡ γυνὴ καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσει. εἰ δὲ ὁ ἀνὴρ τοῦτο παρὰ τῆς γυναικὸς ἀπαγγελθὲν σιωπήσει, ἐξέστω τῇ γυναικὶ δι' οἱουδήποτε προσώπου τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας ῥεπουδίου εὑρεῖν πρόφασιν. [§. 2.] εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσοι δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα ἢ καὶ τὸν μοιχὸν, καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα ῥεπουδίου πεμπομένου ἔχειν τὸν ἄνδρα πρὸς τῇ πρὸ γάμου δωρεᾷ καὶ τὴν προῖκα, καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται, ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι· εἰ γὰρ παῖδας ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα κατὰ τοὺς περὶ τούτου νόμους καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτως τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. καὶ εἰ μὲν ἔχοι ὁ μοιχὸς γυναῖκα, λαμβάνειν αὐτὴν τήν τε ἰδίαν προῖκα καὶ τὴν διὰ τοὺς γάμους δωρεὰν, ὥστε εἰ παῖδας ἔχοιεν, μόνης τὴν γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς δωρεᾶς, τῆς δεσποτείας κατὰ τοὺς νόμους τοῖς παισὶ φυλαττομένης· τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν τοῖς αὐτοῦ παισὶν ἐξ ἡμετέρας φιλοτιμίας δωρούμεθα. παίδων δὲ μὴ ὑπόντων, τῆς μὲν προγαμιαίας δωρεᾶς τὴν δεσποτείαν τῇ

γυναικὶ διαφέρειν θεσπίζομεν, τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς πᾶσαν περιουσίαν τῷ φίσκῳ κατὰ τοὺς παλαιοὺς προσκυροῦσθαι νόμους. [§. 3.] *ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ.* [§. 4.] *ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ ἢ συλλούηται.* [§. 5.] *ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μείνῃ, εἰ μήτοιγε τυχὸν παρὰ τοῖς ἰδίοις γονεῦσιν.* [§. 6.] *ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγίοις παραγίνηται ἐπὶ τῷ θεωρῆσαι ἀγνοοῦντος ἢ καὶ κωλύοντος τοῦ ἀνδρός.* [§. 7.] *εἰ μέντοιγε συμβῇ τινα δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθήσασθαι, ὥστε ἐκείνην μὴ ἔχουσαν γονεῖς, πρὸς οὓς δύναται μεῖναι, ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ ταύτην τὴν αἰτίαν ῥεπούδιον πέμπειν τῇ γυναικὶ, διότιπερ αὐτὸς τούτου αἴτιος γίνεται.*

θ΄. Τὰς δὲ αἰτίας, ὑπὲρ ὧν εὐλόγως δύναται τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς πέμπεσθαι ῥεπούδιον, καὶ ἐξ ὧν δύναται τήν τε προῖκα λαμβάνειν καὶ τὴν διὰ τοὺς γάμους ἀπαιτεῖν δωρεὰν, ὁμοίως τοῖς παισὶ φυλαχθησομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων μὴ ὑπόντων ἔχειν καὶ τὴν ταύτης δεσποτείαν, ταύτας εἶναι μόνας διατυποῦμεν. [§. 1.] *ἐὰν κατὰ τῆς βασιλείας ἢ αὐτὸς βουλεύσηταί*[14b]) *τι ἢ τοῦτό τισι βουλευομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι᾽ ἑαυτοῦ ἢ δι᾽ οἱουδήποτε προσώπου.* [§. 2.] *ἢ ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικὸς ἢ ἄλλων τοῦτο βουλευομένων*[14c]) *εἰδὼς μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι.* [§. 3.] *ἐὰν ὁ ἀνὴρ τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις ταύτην εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι.* [§. 4.] *ἢ ἐὰν ὁ ἀνὴρ περὶ μοιχείας ἐγγράψηται τὴν γυναῖκα καὶ τὴν*

14b) *βουλεύηται?* Proch. *βούληται.* 14c) Ven. *βουλομ.*

μοιχείαν μὴ ἀποδείξῃ, ἐξεῖναι τῇ γυναικὶ βουλομένῃ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας ῥεπούδιον πέμπειν τῷ ἀνδρὶ, καὶ ἀπολαμβάνειν μὲν τὴν ἰδίαν προῖκα, κομίζεσθαι δὲ καὶ τὴν προγαμιαίαν δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης συκοφαντίας εἰ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου τοσοῦτον κατὰ δεσποτείαν λαμβάνειν τὴν γυναῖκα ἐκ τῆς ἄλλης τοῦ ἀνδρὸς περιουσίας, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος εἶναι γινώσκεται· εἰ γὰρ παῖδας ἔχοι, κελεύομεν πᾶσαν τὴν τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, βεβαίων μενόντων τῶν [15]) περὶ τῆς προγαμιαίας δωρεᾶς [15a]) τοῖς ἄλλοις περιεχομένων νόμοις, οὕτω μέντοιγε ὥστε καὶ διὰ τὴν ἐπαχθεῖσαν τῆς μοιχείας κατηγορίαν καὶ μὴ ἀποδειχθεῖσαν κἀκείναις τὸν ἄνδρα ταῖς τιμωρίαις ὑποβληθῆναι, ἃς ἔμελλεν ὑπομένειν ἡ γυνὴ, εἴπερ ἂν ἡ τοιαύτη ἀπεδείχθη κατηγορία. [§. 5.] ἐὰν ὁ ἀνὴρ ἐν τῷ αὐτῷ οἴκῳ, καθ' ὃν μετὰ τῆς αὐτοῦ γυναικὸς συνοικεῖ, περιφρονῶν αὐτῆς μεθ' ἑτέρας εὑρίσκηται ἐν τῷ αὐτῷ οἴκῳ μένων [16]), ἢ κατὰ τὴν αὐτὴν πόλιν διάγων ἐν ἑτέρῳ οἴκῳ μετὰ ἄλλης γυναικὸς συνεχῶς μένων ἐλέγχηται, καὶ ἅπαξ καὶ δὶς ἐγκληθεὶς ἢ διὰ τῶν ἑαυτοῦ γονέων ἢ διὰ τῶν τῆς γυναικὸς ἢ δι' ἑτέρων τινῶν ἀξιοπίστων προσώπων τῆς τοιαύτης ἀσελγείας μὴ ἀπόσχηται, ἐξεῖναι τῇ γυναικὶ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας διαλύειν τὸν γάμον, καὶ ἀναλαμβάνειν τὴν δεδομένην προῖκα καὶ τὴν προγαμιαίαν δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης ὕβρεως τρίτον μέρος τῆς διατιμήσεως, ἣν ἡ προγαμιαία ποιεῖ δωρεὰ, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν, οὕτω μέντοιγε, ὥστε εἰ παῖδας ἔχοι τῆς χρήσεως μόνης ἀπολαύειν τὴν γυναῖκα τῶν πραγμάτων, ἅπερ ἐκ τῆς προγαμιαίας δωρεᾶς καὶ τῆς ποινῆς τοῦ τρίτου μέρους τῆς τοῦ ἀνδρὸς περιουσίας λάβοι, τῆς δεσποτείας τοῖς κοινοῖς παισὶ φυλαττομένης. εἰ γὰρ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοι-

15) Ven. τόν. 15a) Ven. τῶν τοῖς. 16) Ven. μένειν.

κεσίου, ἔχειν αὐτὴν τῶν τοιούτων πραγμάτων καὶ τὴν δεσποτείαν κελεύομεν.

ι΄. Ἐπειδὴ δὲ καὶ ἀπὸ συναινέσεώς τινες μέχρι τοῦ παρόντος τοὺς πρὸς ἀλλήλους διέλυον γάμους, τοῦτο τοῦ λοιποῦ γίνεσθαι οὐδενὶ συγχωροῦμεν τρόπῳ, εἰ μὴ τυχόν τινες σωφροσύνης ἐπιθυμίᾳ τοῦτο ποιήσουσιν. εἰ δὲ καὶ τὰ τοιαῦτα πρόσωπα παῖδας ἔχοιεν, τοῦτο μὲν τὴν προῖκα τοῦτο δὲ τὴν προγαμιαίαν δωρεὰν τοῖς αὐτῶν φυλάττεσθαι παισὶ διατυποῦμεν. εἰ δέ τις τούτων, ἀνὴρ τυχὸν ἢ γυνή, μετὰ τὸ διὰ σωφροσύνην ἐκ συναινέσεως τὸν γάμον λυθῆναι εὑρεθείη ἄλλους συναλλάττων γάμους ἢ ἀσώτως ζῶν, κελεύομεν, εἰ μὲν ὡς εἴρηται παῖδες ὦσιν ἐκ τοῦ εἰρημένου συνοικεσίου, πρὸς τῇ προικὶ καὶ τῇ διὰ τοὺς γάμους δωρεᾷ αὐτοῖς παραδίδοσθαι καὶ τὴν δεσποτείαν τῆς λοιπῆς περιουσίας τοῦ ταῦτα ἐλεγχομένου πλημμελῆσαι προσώπου. εἰ δὲ οἱ παῖδες ἀτελοῦς ὦσιν ἡλικίας, διοικεῖσθαι τούτους καὶ ἀνατρέφεσθαι παρ᾽ ἐκείνου προστάττομεν τοῦ γονέως, ὃς οὐδὲν τῷ παρόντι νόμῳ ἐναντίον ἔπραξεν. εἰ δὲ ἀμφότεροι οἱ γονεῖς τῷ τοιούτῳ περιπέσωσι πταίσματι, τηνικαῦτα τὴν ἑκατέρου τῶν γονέων περιουσίαν τοῖς παισὶ προσκυροῦσθαι, διοικητὴν δὲ αὐτοῖς ἐπὶ τῆς[17]) ἀτελοῦς οὖσιν ἡλικίας προβληθῆναι προνοίᾳ τοῦ ἁρμοδίου ἄρχοντος, ἢ καὶ τῶν ἄλλων οἷς ταῦτα παρὰ τῶν ἡμετέρων ἐπιτέτραπται νόμων. εἰ δὲ παῖδες μὴ ὦσι, τὴν τοῦ ἑτέρου[18]) προσώπου περιουσίαν τοῖς δημοσίοις λογισμοῖς προσκυροῦσθαι, καὶ τοὺς ταῦτα πλημμελήσαντας νομίμοις ὑποβάλλεσθαι τιμωρίαις. ἄλλως γὰρ διάζευξιν γάμων γίνεσθαι ἐκ συναινέσεως οὐδενὶ λόγῳ συγχωροῦμεν.

ια΄. Τὸ μέντοι παρ᾽ ἡμῶν νομοθετηθὲν[19]) περὶ τῶν ἐν ἐξπεδίτῳ[20]) ὄντων καὶ ἐν στρατείαις καταλεγομένων (εἴτε

17) Ven. τοῖς. 18) Auth. *utriusque.* Epan. τοῦ ἑτέρου ἢ ἑκατέρου, quod praestare videtur. 19) Const. XLVIII c. 14. 20) Flor. in margine notat ζήτει τοῦ ς΄ βι.... βι. ξ΄ τί. λζ΄ κεφ. ιε΄ θε΄. ια΄ (τοῦ ξ΄ βι. τῶν βασιλ. τί. λζ΄ κεφ. ιγ΄ θε΄. ια΄?)

στρατιῶται εἶεν εἴτε φοιδεράτοι εἴτε σχολάριοι εἴτε ἄλλοι τινὲς ὑφ' ἑτέραν οἱανοῦν στρατείαν ἔνοπλον καταλεγόμενοι) κάλλιον διατυπῶσαι συνείδομεν. καὶ κελεύομεν ὅσους δήποτε ἐνιαυτοὺς ἐν ἐξπεδίτῳ μείνωσι, περιμένειν τὰς τούτων γαμετὰς, κἂν μὴ γράμματα ἢ ἀπόκρισίν τινα παρὰ τῶν ἰδίων ἀνδρῶν δέξωνται. εἰ δέ τις ἐκ τῶν τοιούτων γυναικῶν τὸν ἴδιον ἄνδρα ἀκούσει τετελευτηκέναι, οὐδὲ τότε εἰς ἑτέρους αὐτὴν ἐλθεῖν γάμους[21]) ἐπιτρέπομεν, εἰ μὴ πρότερον παραγένηται ἡ γυνὴ δι' ἑαυτῆς ἢ διὰ τῶν ἰδίων γονέων ἢ δι' ἄλλου οἱουδήποτε προσώπου πρὸς τοὺς πρίορας τοῦ ἀριθμοῦ καὶ τοὺς cartularίους, ἐν ᾧ ὁ ταύτης ἀνὴρ ἐστρατεύετο, καὶ τούτους ἤτοι τὸν τριβοῦνον εἴ γε πάρεστιν ἐρωτήσοι, εἰ ταῖς ἀληθείαις ἐτελεύτησεν ὁ αὐτῇ[22]) συνοικήσας, ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων ἐπὶ πράξεως ὑπομνημάτων κατατίθεσθαι εἰ ταῖς ἀληθείαις ὁ ἀνὴρ τετελεύτηκε, καὶ μεθ' ὃ ταῦτα πράξει τὰ ὑπομνήματα ἀναληφθέντα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας ἐκλάβῃ καὶ μετὰ ταῦτα κελεύομεν μένειν αὐτὴν ἑνὸς ἐνιαυτοῦ διάστημα, ὥστε μετὰ τὴν αὐτοῦ παραδρομὴν ἐξεῖναι ταύτῃ νόμιμον συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσοι εἰς ἕτερον ἐλθεῖν γάμον, καὶ αὐτὴ καὶ ὁ ἀγαγόμενος αὐτὴν πρὸς γάμον ὡς μοιχοὶ τιμωρείσθωσαν. εἰ δὲ οἱ ἐπὶ πράξεως ὑπομνημάτων μεθ' ὅρκου καταθέμενοι ἐλεγχθῶσι μετὰ ταῦτα πλαστῶς καταθέμενοι, αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι δέκα χρυσίου λιτρῶν ποινὴν συνελαθήσονται καταβάλλειν ἐπ' ἐκεῖνον ὃν ἐψεύσαντο τετελευτηκέναι, αὐτὸς δὲ ἄδειαν ἐχέτω εἰ βουληθείη τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν. εἰ δὲ σχολάριος εἴη ἐκεῖνος οὗτινος περὶ τῆς τελευτῆς ἡ ἀμφισβήτησίς ἐστι, παρὰ τῶν πρώτων τῆς σχολῆς καὶ τοῦ ἀκτουαρίου, εἰ δὲ φοιδεράτος, παρὰ τοῦ ὀπτίονος

mox addit nonnulla ex Nov. Leonis Sap. 72. 21) Ven. iterum αὐτὴν habet. 22) Ven. αὐτῆς.

αὐτοῦ τὴν εἰρημένην κατάθεσιν κομίζεσθαι τὴν ἐκείνου γαμετήν. τούτων παραφυλαττομένων καὶ περὶ τοὺς ἄλλους ἅπαντας τοὺς εἰς ἔνοπλον στρατείαν ἀναφερομένους.

ιβ΄. Ταῖς δὲ εἰρημέναις αἰτίαις συνείδομεν καὶ ταύτας ὀνομαστὶ προσθεῖναι ἐξ ὧν τοὺς γάμους δίχα ποινῆς ἔξεστι διαλύειν, τουτέστι τήν τε περὶ τῶν μὴ δυναμένων ἐξ ἀρχῆς τοῦ γάμου μίγνυσθαι ταῖς ἑαυτῶν γαμεταῖς καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι δεδομένα πράττειν, καὶ πρός γε τὴν[23]) περὶ τῶν ἐν συνεστῶτι τῷ γάμῳ εὐλαβῆ βίον καὶ τὴν ἐν μοναστηρίοις οἴκησιν ἐπιλεγομένων ἀνδρῶν ἢ γυναικῶν, καὶ τὴν[24]) περὶ τῶν ἐν αἰχμαλωσίᾳ ἐπί τινα χρόνον[25]) διακρατουμένων προσώπων. ἐπὶ τούτοις γὰρ τοῖς τρισὶ θέμασι τὰ περὶ αὐτῶν τοῖς προτέροις ἡμῶν νόμοις περιεχόμενα[26]) βέβαια εἶναι θεσπίζομεν. τὰς εἰρημένας τοίνυν ἁπάσας αἰτίας τὰς τῷ παρόντι ἡμῶν νόμῳ περιεχομένας μόνας ἀρκεῖν κελεύομεν πρὸς τὴν διάλυσιν τῶν νομίμων συνοικεσίων, τὰς δὲ λοιπὰς ἁπάσας ἀργεῖν παρακελευόμεθα, καὶ μηδεμίαν ἄλλην αἰτίαν πλὴν τῶν ὀνομαστὶ ἐγκειμένων τούτῳ τῷ νόμω δύνασθαι διαλύειν νόμιμον γάμον, εἴτε ἡμετέροις εἴτε παλαιοτέροις περιέχεται νόμοις.

ιγ΄. Ἐπειδὴ δέ τινες γυναῖκες ἢ ἄνδρες ἀσέμνως βουλόμενοι ζῆν σπουδάζουσι τοὺς ἰδίους διαλύειν γάμους, θεσπίζομεν εἴ ποτέ τις γυνὴ δίχα τινὸς τῶν προειρημένων ἡμῖν αἰτιῶν βουληθείη τὸν πρὸς τὸν συνοικοῦντα διαλῦσαι γάμον, ἄδειαν μὲν αὐτὴν μὴ ἔχειν τοῦτο πράττειν· εἰ δὲ ἐπιμείνῃ τῇ τοιαύτῃ ἀσεβεῖ προαιρέσει καὶ ῥεπούδιον πέμψῃ[27]) τῷ ἀνδρί, κελεύομεν τὴν μὲν προῖκα τῷ ἀνδρὶ δοθῆναι τοῖς κοινοῖς παισὶ κατὰ τοὺς νόμους φυλαχθησομένην, εἰ δὲ παῖδας μὴ ἔχοιεν, κέρδος γίνεσθαι τῷ ἀνδρί, τὴν δὲ γυναῖκα

23) Ven. *τόν*. 24) Ven. *τὴν* omittit. 25) Nom. XIV titt. *ἐπὶ πενταετίαν*. sed Iulianus *ad certum tempus*. 26) Cod. I, 3, 52. V, 3, 11. 17, 10. Const. XLVIII. 27) Ven. *πέμψει*.

κινδύνῳ τοῦ δικαστοῦ τοῦ τῆς ὑποθέσεως ἀκροασαμένου παραδίδοσθαι τῷ ἐπισκόπῳ τῆς πόλεως καθ' ἣν κοινῶς τὴν οἴκησιν εἶχον, ὥστε τῇ ἐκείνου προνοίᾳ ἐν μοναστηρίῳ αὐτὴν ἐμβληθῆναι ὀφείλουσαν μέχρι τῆς ἰδίας ζωῆς ἐκεῖσε προσκαρτερεῖν. καὶ εἰ μὲν παῖδας ἔχοι ἡ τοιαύτη γυνὴ, τὸ δίμοιρον μέρος τῆς ἰδικῆς αὐτῆς περιουσίας δοθῆναι τοῖς παισὶ, τὸ δὲ τρίτον μέρος τῷ μοναστηρίῳ ἐν ᾧ ἐμβάλλεται προσκυρωθῆναι δεσποτείας δικαίῳ· εἰ δὲ παῖδας μὴ ἔχοι, εἰσὶ δὲ αὐτῇ γονεῖς, τὸ μὲν δίμοιρον μέρος τῆς οὔσης αὐτῇ περιουσίας τῷ μοναστηρίῳ παρέχεσθαι ἔνθα ἐμβάλλεται, τὸ δὲ τρίτον μέρος τοῖς ἐκείνης γονεῦσι δίδοσθαι, πλὴν εἰ μὴ ὑπεξουσίαν αὐτὴν ἔχοντες τῷ ἀλόγῳ συνῄνεσαν ῥεπουδίῳ· τούτῳ γὰρ συναινέσαντας οὐδὲν αὐτοὺς παντελῶς ἐκ τῆς οὐσίας τῆς θυγατρὸς ἔχειν συγχωροῦμεν, ἀλλὰ πάντα τῷ εὐαγεῖ μοναστηρίῳ προσκυροῦσθαι βουλόμεθα· μήτε δὲ παίδων μήτε γονέων ὄντων αὐτῇ, πᾶσαν ὁμοίως τὴν αὐτῆς περιουσίαν τῷ μοναστηρίῳ προσήκειν. εἰ δὲ ὁ δικαστὴς ὁ τὴν ὑπόθεσιν ἐξετάσας τοῦτο μὴ ποιήσει καὶ παραδώσει τὴν εἰς τοῦτο καταγινωσκομένην τῷ τῆς πόλεως ἐπισκόπῳ ὀφείλουσαν ἐμβληθῆναι ἐν μοναστηρίῳ, εἰ μὲν κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν εἴη ὁ ἄρχων, αὐτὸς μὲν εἴκοσι χρυσίου λιτρῶν ποινὴν ἀπαιτηθήσεται, ἡ δὲ τάξις αὐτοῦ ἑτέρας δέκα· εἰ δὲ κατὰ χώραν εἴη ὁ τοιοῦτος ἄρχων καὶ μὴ πράξει τὰ ἡμῖν ἐπὶ τούτῳ παραστάντα, δέκα χρυσίου λιτρῶν καταθήσει ποινὴν, καὶ ἡ τάξις αὐτοῦ ἑτέρων πέντε· εἰ δὲ δικαστὴς εἴη μὴ ἔχων ἀρχὴν, αὐτὸς μὲν δέκα χρυσίου λιτρῶν ποινὴν ἀπαιτηθήσεται, οἱ δὲ ὑπουργοῦντες αὐτῷ πέντε· ὥστε τὸ ἐντεῦθεν ἁρμόζον πρόστιμον κατὰ τῶν εἰρημένων προσώπων διὰ τοῦ κόμητος τῶν πριβάτων καὶ τῆς τῶν παλατίνων σχολῆς ἀπαιτεῖσθαι καὶ τῷ ἡμετέρῳ προσκυροῦσθαι ταμιείῳ. εἰ δὲ καὶ ὁ ἀνὴρ τὸν πρὸς τὴν γυναῖκα διαλῦσαι γάμον σπουδάσει καὶ ἀλόγως ῥεπούδιον πέμψει, κελεύομεν ἀποδοῦναι μὲν αὐτὸν ἣν ὑπεδέξατο προῖκα ἅμα

τῇ πρὸ γάμου δωρεᾷ, καὶ τοσοῦτον ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας παρέχεσθαι τῇ γυναικὶ ὅσον τὸ τρίτον μέρος τῆς προγαμιαίας δωρεᾶς ποιεῖ· καὶ εἰ μέν εἰσιν αὐτοῖς[28]) παῖδες, μόνην τὴν χρῆσιν τῆς τε προγαμιαίας δωρεᾶς καὶ τοῦ παρ' ἡμῶν προστεθέντος τρίτου μέρους ἔχειν τὴν γυναῖκα, τὴν δὲ δεσποτείαν τοῖς παισὶ φυλάττεσθαι, παίδων δὲ μὴ ὑπόντων ἔχειν τὴν γυναῖκα πρὸς τῇ χρήσει καὶ τὴν ἐπὶ τοῖς αὐτοῖς πράγμασι δεσποτείαν. καὶ τὰς εἰρημένας μὲν διατυπώσεις περὶ τῶν εὐλόγως ἢ ἀλόγως διαλυομένων γάμων διετυπώσαμεν, καὶ πάντα τὰ περὶ τῶν εἰρημένων θεμάτων κατὰ ταύτην ἡμῶν τὴν διάταξιν κρίνεσθαί τε καὶ τέμνεσθαι διορίζομεν.

ιδ΄. Εἰ δέ τις τὴν ἰδίαν γαμετὴν μάστιξιν ἢ ξύλοις τυπτήσει χωρίς τινος τῶν αἰτιῶν, ἃς κατὰ τῶν γυναικῶν πρὸς τὴν τοῦ γάμου διάλυσιν ἀρκεῖν παρεκελευσάμεθα, γάμου μὲν διάλυσιν ἐκ τούτου γίνεσθαι οὐ βουλόμεθα, τὸν δὲ ἄνδρα τὸν δεικνύμενον χωρὶς τοιαύτης αἰτίας μάστιξιν ἢ ξύλοις τυπτῆσαι τὴν ἑαυτοῦ γαμετὴν τοσοῦτον ὑπὲρ τῆς τοιαύτης ὕβρεως ἐκ τῆς ἄλλης αὐτοῦ διδόναι περιουσίας τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου, ὅσον τὸ τρίτον τῆς πρὸ γάμου ποιεῖ δωρεᾶς.

ιε΄. Πρὸς τούτοις δὲ κἀκεῖνο προστίθεμεν, ὥστε εἴπερ τὶς ὡς εἰκὸς ὑποπτεύσει τινὰ βούλεσθαι τῇ τῆς ἰδίας γαμετῆς συμπαῖξαι σωφροσύνῃ, καὶ παραγγελίας αὐτῷ ἐγγράφους τρεῖς ἐκπέμψει ἐχούσας μαρτυρίας ἀνδρῶν ἀξιοπίστων, καὶ μετὰ ταύτας τὰς τρεῖς ἐγγράφους διαμαρτυρίας εὕροι αὐτὸν συντυγχάνοντα τῇ ἑαυτοῦ γαμετῇ, εἰ μὲν εἰς τὸν ἴδιον οἶκον ἢ τὸν αὐτῆς τῆς γυναικὸς ἢ τοῦ μοιχοῦ ἢ ἐν προπίναις ἢ ἐν προαστείοις, εἶναι ἄδειαν τῷ ἀνδρὶ ταῖς οἰκείαις χερσὶ τὸν τοιοῦτον ἀνελεῖν οὐδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ. εἰ δὲ ἐν ἄλλῳ τόπῳ τὸν τοιοῦτον εὕροι μετὰ τῆς ἑαυτοῦ

28) Ven. *αὐτῆς*. Auth. *ei*, unde *αὐτῇ* apud Scr.

γαμετῆς διαλεγόμενον, οὐκ ἔλαττον τριῶν μαρτύρων ἀξιοπίστων συγκαλουμένων δι' ὧν ἀποδεῖξαι δύναται ὅτιπερ αὐτὸν μετὰ τῆς ἑαυτοῦ γαμετῆς εὗρε, τῷ ἄρχοντι παραδιδόναι τῷ τὰ ἐγκλήματα ἐξετάζοντι, ἐκεῖνον δὲ ταῖς ἀληθείαις γινώσκοντα, μετὰ τὰς τρεῖς ἐγγράφους διαμαρτυρίας τῇ τοιαύτῃ γυναικὶ τοῦτον συνευρεθέντα, τὸν μὲν τοιοῦτον ὡς ἐκ μόνου τούτου τῷ τῆς μοιχείας ἐγκλήματι ὑποπεσόντα μηδεμιᾶς ἄλλης ζητουμένης ἀποδείξεως τιμωρεῖσθαι, ἄδειαν δὲ εἶναι τῷ ἀνδρὶ ὡς ἂν βούληται τῆς ἰδίας γαμετῆς κατηγορεῖν καὶ κατὰ τοὺς νόμους τῷ ἐγκλήματι ἐπεξιέναι. [§. 1.] ἐπειδὴ δὲ οὕτως εὑρίσκονταί τινες ἀσεβεῖς, ὥστε καὶ ἐν σεβασμίοις οἴκοις τολμᾶν εἰς τοιαῦτα ἑαυτοὺς ἐμμιγνύειν μύση κἀκεῖ περὶ ἁμαρτημάτων βουλεύεσθαι ὅπου εἰώθασιν οἱ τὸν θεὸν φοβούμενοι τὴν τῶν ἁμαρτημάτων συγχώρησιν ἐξαιτεῖν, κελεύομεν ὥστε εἴ τις τοιοῦτος εὑρεθείη ἐν τόποις εὐαγέσιν ἀλλοτρίᾳ γαμετῇ εἰς ἣν ὑπονοεῖται μετὰ τρεῖς ὡς εἴρηται διαμαρτυρίας διαλεγόμενος, ἄδειαν εἶναι τῷ ταύτης ἀνδρὶ ἑκάτερον πρόσωπον τῷ ἐκδίκῳ τῆς ἐκκλησίας ἢ τοῖς ἄλλοις κληρικοῖς παραδιδόναι, ὥστε τῷ αὐτῶν κινδύνῳ κεχωρισμένους τούτους φυλάττεσθαι, μέχρις ὅτου ὁ τοῦ τόπου ἄρχων τοῦτο γινώσκων πέμψει πρὸς τὸν ἐπίσκοπον τῆς πόλεως, ὥστε αὐτῷ τούτους παραδοθῆναι τιμωρίας ὀφείλοντας ὑποστῆναι κατὰ τοὺς νόμους, οἳ ἀπαγορεύουσι τοὺς μοιχοὺς ἐκ τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐκδικεῖσθαι, μηδεμίαν μηδὲ ἐνταῦθα ἑτέραν τοῦ δικαστοῦ ζητοῦντος περὶ τῆς μοιχείας ἀπόδειξιν, εἰ μὴ τὰς τρεῖς ὡς ἀνωτέρω εἰρήκαμεν διαμαρτυρίας· τούτων γὰρ τῶν τριῶν διαμαρτυριῶν ἀποδεικνυμένων, πᾶσι τρόποις ἐκεῖνοι ὡς μοιχοὶ τιμωρείσθωσαν. οὐδὲ γὰρ ὀφείλει τὰ τοιαῦτα πρόσωπα σεβασμίου τόπου ἔχειν ἀσφάλειαν οὗπερ αὐτοὶ διὰ τοῦ ἰδίου μύσους κατεφρόνησαν, (εἰ γὰρ τοὺς ἀλλαχόσε ἁρπαγὰς γυναικῶν καὶ μοιχείας πλημμελοῦντας εἰς εὐκτηρίους οἴκους προσφεύγοντας ὑπ' αὐτῶν ἐκδικεῖσθαι οἱ ἡμέτεροι νόμοι οὐ συγχωροῦσι, πῶς ἐκείνοις

Τοὺς δὲ ἀφοριζομένους στρατιώτας εἰς ἐξάνυσιν δημοσίων παρακελεύεται πάσης σπορτούλλων ἀπέχεσθαι λήψεως καὶ μηδὲν καθόλου παρά τινος λαμβάνειν, ἀλλὰ ταῖς οἰκείαις ἀρκεῖσθαι σιτήσεσιν.

Τὴν δὲ τῶν εἰρημένων πάντων παραφυλακὴν τοῖς κατὰ τόπον ἐπισκόποις τε καὶ ἄρχουσιν ἐπιτρέπει.

Πρὸς τούτοις ἀπαγορεύει τοῖς ἄρχουσιν καὶ παντὶ ἑτέρῳ οἶκόν τινος μὴ καταλύειν προφάσει τοῦ ἀγανακτῆσαι[4]) *κατὰ τοῦ δεσπότου τοῦ οἴκου, δίχα μέντοι καινοτομίας καθ' ἑτέρου γενομένης.*[5]) *τῷ τοῦτο πράξαντι τὴν κατὰ τὸ διπλάσιον ἔκτισιν τῆς ζημίας τῆς γενομένης τῷ δεσπότῃ τοῦ οἴκου καὶ ποινὴν δέκα χρυσίου λιτρῶν [ἐπάγει]*[6]) *καὶ βασιλικὴν ἀγανάκτησιν, τούτων παραφυλαττομένων ὑπό τε τῶν ἀρχόντων καὶ τῶν τὰ δημόσια πραττόντων. Ἐγράφη ....*[7])

Nov. 118. **CXLIII.** Auth. 113.

Bas. XLV, 3, 8. Particulae textualiter laudantur in Tract. de peculiis. — Summae: Iulian. c. 109, Athanas. IX, 10, Anonymi them. 350—354 (cf. *Ἀνέκδ.* mea p. 208 sq.), incerti epitomatoris in *Ἀνέκδ.* p. 217, denique Symbatii in Heimb. *Ἀνέκδ.* to. I p. 261.

Διάταξις ἀναιροῦσα τὰ adgnatica *δίκαια καὶ τυποῦσα τὰς ἐξ ἀδιαθέτου κλήσεις.*[1])

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων.

Πολλοὺς καὶ διαφόρους νόμους ἐν τοῖς παλαιοτέροις χρόνοις ἐκπεφωνημένους εὑρίσκοντες, δι' ὧν οὐ δικαίως

4) Cod. Heimbachio teste *ἀνανεῆσαι.* sed Enantiophanes in Basil. ed. Heimb. I p. 812: *ἡ ρνζ' νεαρὰ κωλύει ὡς ἐν ἀγανακτήσει καταλύειν οἶκον, ἐπιτρέπουσα τοῦτο μόνον ἀπὸ καινοτομίας γίνεσθαι.* 5) Cod. *γενομένου.* 6) Supplevit Heimb. forte *ἐπάγων* vel *ἀπειλῶν.* 7) Const. data esse videtur eodem circiter tempore, quo const. CXXXVIII adversus eos invecta est, qui milites privatis utilitatibus inservire patiuntur.

1) In Flor. notatur *βι. τῶν βασιλ. με' τι'. γ' διαιρέσει α' β' γ' δ' ε' ϛ' ζ' καὶ η'.*

διαφορὰ τῆς ἐξ ἀδιαθέτου διαδοχῆς μεταξὺ τῶν συγγενῶν ἐξ ἀῤῥένων τε καὶ θηλειῶν εἰσενήνεκται, ἀναγκαῖον εἶναι συνείδομεν πάσας ὁμοῦ τὰς ἐξ ἀδιαθέτου τῆς συγγενείας διαδοχὰς διὰ τοῦ παρόντος νόμου σαφεῖ καὶ συντόμῳ διαιρέσει διατυπῶσαι, ὥστε τῶν προτέρων νόμων τῶν ὑπὲρ ταύτης τῆς αἰτίας τεθειμένων ἀργούντων τοῦ λοιποῦ ταῦτα μόνα παραφυλάττεσθαι, ἅπερ νῦν διατυποῦμεν. ἐπειδὴ τοίνυν πᾶσα ἡ τοῦ γένους ἐξ ἀδιαθέτου διαδοχὴ τρισὶ γνωρίζεται τάξεσι, τουτέστι τῇ τε τῶν ἀνιόντων καὶ τῇ τῶν κατιόντων καὶ τῇ[2]) τῶν ἐκ πλαγίου, ἥτις εἰς adgnatους καὶ cognatους διαιρεῖται, πρώτην εἶναι διατυποῦμεν τὴν τῶν κατιόντων διαδοχήν.

α΄. Εἴ τις τοίνυν τῶν κατιόντων ὑπείη τῷ ἀδιαθέτῳ τελευτήσαντι οἱασδήποτε φύσεως ἢ βαθμοῦ, εἴτε ἐξ ἀῤῥενογονίας εἴτε ἐκ θηλυγονίας καταγόμενος, καὶ εἴτε αὐτεξούσιος εἴτε ὑπεξούσιος εἴη, πάντων τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου συγγενῶν προτιμάσθω. κἂν γὰρ ὁ τελευτήσας ἑτέρου ὑπεξούσιος ἦν, ὅμως τοὺς αὐτοῦ παῖδας, οἱασδήποτε ἂν ὦσι φύσεως ἢ βαθμοῦ, καὶ αὐτῶν τῶν γονέων προτιμᾶσθαι κελεύομεν ὧν ὑπεξούσιος ἦν ὁ τελευτήσας, ἐπ᾽ ἐκείνοις δηλαδὴ τοῖς πράγμασιν, ἅτινα κατὰ τοὺς ἄλλους ἡμῶν νόμους τοῖς πατρᾶσιν οὐ προσπορίζεται· ἐπὶ γὰρ τῇ χρήσει τῶν πραγμάτων τούτων ὀφειλούσῃ προσπορίζεσθαι ἢ φυλάττεσθαι τοὺς περὶ τούτων ἡμῶν νόμους τοῖς γονεῦσι φυλάττομεν· οὕτω μέντοιγε, ὥστε εἴ τινα τούτων τῶν κατιόντων παῖδας καταλιπόντα τελευτῆσαι συμβαίη, τοὺς ἐκείνου υἱοὺς ἢ θυγατέρας ἢ τοὺς ἄλλους κατιόντας εἰς τὸν τοῦ ἰδίου γονέως τόπον ὑπεισιέναι, εἴτε ὑπεξούσιοι τῷ τελευτήσαντι εἴτε αὐτεξούσιοι εὑρεθεῖεν, τοσοῦτον ἐκ τῆς κληρονομίας τοῦ τελευτήσαντος λαμβάνοντας μέρος ὅσοι δήποτε ἂν ὦσιν, ὅσον ὁ αὐτῶν γονεὺς εἰ περιῆν ἐκομίζετο, ἥντινα διαδοχὴν in stirpes[3]) ἡ

2) Articulus deest in Ven. 3) Ven. in margine: τοῦ γένους.

Τοὺς δὲ ἀφοριζομένους στρατιώτας εἰς ἐξάνυσιν δημοσίων παρακελεύεται πάσης σπορτούλλων ἀπέχεσθαι λήψεως καὶ μηδὲν καθόλου παρά τινος λαμβάνειν, ἀλλὰ ταῖς οἰκείαις ἀρκεῖσθαι σιτήσεσιν.

Τὴν δὲ τῶν εἰρημένων πάντων παραφυλακὴν τοῖς κατὰ τόπον ἐπισκόποις τε καὶ ἄρχουσιν ἐπιτρέπει.

Πρὸς τούτοις ἀπαγορεύει τοῖς ἄρχουσιν καὶ παντὶ ἑτέρῳ οἶκόν τινος μὴ καταλύειν προφάσει τοῦ ἀγανακτῆσαι[4]) *κατὰ τοῦ δεσπότου τοῦ οἴκου, δίχα μέντοι καινοτομίας καθ' ἑτέρου γενομένης.*[5]) *τῷ τοῦτο πράξαντι τὴν κατὰ τὸ διπλάσιον ἔκτισιν τῆς ζημίας τῆς γενομένης τῷ δεσπότῃ τοῦ οἴκου καὶ ποινὴν δέκα χρυσίου λιτρῶν [ἐπάγει]*[6]) *καὶ βασιλικὴν ἀγανάκτησιν, τούτων παραφυλαττομένων ὑπό τε τῶν ἀρχόντων καὶ τῶν τὰ δημόσια πραττόντων. Ἐγράφη ....*[7])

Nov. 118. **CXLIII.** Auth. 113.

Bas. XLV, 3, 8. Particulae textualiter laudantur in Tract. de peculiis. — Summae: Iulian. c. 109, Athanas. IX, 10, Anonymi them. 350—354 (cf. *Ἀνέκδ.* mea p. 208 sq.), incerti epitomatoris in *Ἀνέκδ.* p. 217, denique Symbatii in Heimb. *Ἀνέκδ.* to. I p. 261.

Διάταξις ἀναιροῦσα τὰ adgnatica *δίκαια καὶ τυποῦσα τὰς ἐξ ἀδιαθέτου κλήσεις.*[1])

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων.

Πολλοὺς καὶ διαφόρους νόμους ἐν τοῖς παλαιοτέροις χρόνοις ἐκπεφωνημένους εὑρίσκοντες, δι' ὧν οὐ δικαίως

4) Cod. Heimbachio teste *ἀνανεῆσαι.* sed Enantiophanes in Basil. ed. Heimb. I p. 812: *ἡ ρνζ' νεαρὰ κωλύει ὡς ἐν ἀγανακτήσει καταλύειν οἶκον, ἐπιτρέπουσα τοῦτο μόνον ἀπὸ καινοτομίας γίνεσθαι.* 5) Cod. *γενομένου.* 6) Supplevit Heimb. forte *ἐπάγων* vel *ἀπειλῶν.* 7) Const. data esse videtur eodem circiter tempore, quo const. CXXXVIII adversus eos invecta est, qui milites privatis utilitatibus inservire patiuntur.

1) In Flor. notatur *βι. τῶν βασιλ. με' τι'. γ' διαιρέσει α' β' γ' δ' ε' ϛ' ζ' καὶ η'.*

διαφορὰ τῆς ἐξ ἀδιαθέτου διαδοχῆς μεταξὺ τῶν συγγενῶν ἐξ ἀῤῥένων τε καὶ θηλειῶν εἰσενήνεκται, ἀναγκαῖον εἶναι συνείδομεν πάσας ὁμοῦ τὰς ἐξ ἀδιαθέτου τῆς συγγενείας διαδοχὰς διὰ τοῦ παρόντος νόμου σαφεῖ καὶ συντόμῳ διαιρέσει διατυπῶσαι, ὥστε τῶν προτέρων νόμων τῶν ὑπὲρ ταύτης τῆς αἰτίας τεθειμένων ἀργούντων τοῦ λοιποῦ ταῦτα μόνα παραφυλάττεσθαι, ἅπερ νῦν διατυποῦμεν. ἐπειδὴ τοίνυν πᾶσα ἡ τοῦ γένους ἐξ ἀδιαθέτου διαδοχὴ τρισὶ γνωρίζεται τάξεσι, τουτέστι τῇ τε τῶν ἀνιόντων καὶ τῇ τῶν κατιόντων καὶ τῇ[2]) τῶν ἐκ πλαγίου, ἥτις εἰς adgnatους καὶ cognatους διαιρεῖται, πρώτην εἶναι διατυποῦμεν τὴν τῶν κατιόντων διαδοχήν.

α΄. Εἴ τις τοίνυν τῶν κατιόντων ὑπείη τῷ ἀδιαθέτῳ τελευτήσαντι οἱασδήποτε φύσεως ἢ βαθμοῦ, εἴτε ἐξ ἀῤῥενογονίας εἴτε ἐκ θηλυγονίας καταγόμενος, καὶ εἴτε αὐτεξούσιος εἴτε ὑπεξούσιος εἴη, πάντων τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου συγγενῶν προτιμάσθω. κἂν γὰρ ὁ τελευτήσας ἑτέρου ὑπεξούσιος ἦν, ὅμως τοὺς αὐτοῦ παῖδας, οἱασδήποτε ἂν ὦσι φύσεως ἢ βαθμοῦ, καὶ αὐτῶν τῶν γονέων προτιμᾶσθαι κελεύομεν ὧν ὑπεξούσιος ἦν ὁ τελευτήσας, ἐπ᾽ ἐκείνοις δηλαδὴ τοῖς πράγμασιν, ἅτινα κατὰ τοὺς ἄλλους ἡμῶν νόμους τοῖς πατρᾶσιν οὐ προσπορίζεται· ἐπὶ γὰρ τῇ χρήσει τῶν πραγμάτων τούτων ὀφειλούσῃ προσπορίζεσθαι ἢ φυλάττεσθαι τοὺς περὶ τούτων ἡμῶν νόμους τοῖς γονεῦσι φυλάττομεν· οὕτω μέντοιγε, ὥστε εἴ τινα τούτων τῶν κατιόντων παῖδας καταλιπόντα τελευτῆσαι συμβαίη, τοὺς ἐκείνου υἱοὺς ἢ θυγατέρας ἢ τοὺς ἄλλους κατιόντας εἰς τὸν τοῦ ἰδίου γονέως τόπον ὑπεισιέναι, εἴτε ὑπεξούσιοι τῷ τελευτήσαντι εἴτε αὐτεξούσιοι εὑρεθεῖεν, τοσοῦτον ἐκ τῆς κληρονομίας τοῦ τελευτήσαντος λαμβάνοντας μέρος ὅσοι δήποτε ἂν ὦσιν, ὅσον ὁ αὐτῶν γονεὺς εἰ περιῆν ἐκομίζετο, ἥντινα διαδοχὴν in stirpes[3]) ἡ

2) Articulus deest in Ven. 3) Ven. in margine: τοῦ γένους.

ἀρχαιότης ἐκάλεσεν. ἐπὶ ταύτης γὰρ τῆς τάξεως τὸν βαθμὸν ζητεῖσθαι οὐ βουλόμεθα, ἀλλὰ μετὰ τῶν υἱῶν καὶ τῶν θυγατέρων τοὺς ἐκ τοῦ προτελευτήσαντος υἱοῦ ἢ θυγατρὸς ἐγγόνους καλεῖσθαι θεσπίζομεν, οὐδεμιᾶς εἰσαγομένης διαφορᾶς, εἴτε ἄῤῥενες εἴτε θήλειαι ὦσι, καὶ εἴτε ἐξ ἀῤῥενογονίας εἴτε ἐκ θηλυγονίας κατάγονται, εἴτε ὑπεξούσιοι εἴτε καὶ αὐτεξούσιοι εἴησαν. καὶ ταῦτα μὲν περὶ τῆς τῶν κατιόντων διαδοχῆς ἐτυπώσαμεν.[4]) ἀκόλουθον δὲ εἶναι συνείδομεν καὶ περὶ τῶν ἀνιόντων διατάξασθαι, ὅπως ἂν εἰς τὴν τῶν κατιόντων κληθεῖεν διαδοχήν.

β΄. Εἰ τοίνυν ὁ τελευτήσας κατιόντας μὲν μὴ καταλίποι κληρονόμους, πατὴρ δὲ ἢ μήτηρ ἢ ἄλλοι γονεῖς αὐτῷ ἐπιζήσουσι, πάντων τῶν ἐκ πλαγίου συγγενῶν τούτους προτιμᾶσθαι θεσπίζομεν, ἐξῃρημένων μόνων ἀδελφῶν[5]) ἐξ ἑκατέρου γονέως συναπτομένων τῷ τελευτήσαντι, ὡς διὰ τῶν ἑξῆς δηλωθήσεται. εἰ δὲ πολλοὶ τῶν ἀνιόντων περίεισι, τούτους προτιμᾶσθαι κελεύομεν, οἵτινες[6]) ἐγγύτεροι τῷ βαθμῷ εὑρεθεῖεν, ἄῤῥενάς τε καὶ θηλείας, εἴτε πρὸς μητρὸς εἴτε πρὸς πατρὸς εἶεν. εἰ δὲ τὸν αὐτὸν ἔχουσι βαθμὸν, ἐξ ἴσης εἰς αὐτοὺς ἡ κληρονομία διαιρεθήσεται, ὥστε τὸ μὲν ἥμισυ λαμβάνειν πάντας τοὺς πρὸς πατρὸς ἀνιόντας ὅσοι δήποτε ἂν ὦσι, τὸ δὲ ὑπόλοιπον ἥμισυ τοὺς πρὸς μητρὸς ἀνιόντας ὅσους δήποτε ἂν αὐτοὺς εὑρεθῆναι συμβαίη. εἰ δὲ μετὰ τῶν ἀνιόντων εὑρεθῶσιν ἀδελφοὶ ἢ ἀδελφαὶ ἐξ ἑκατέρων γονέων συναπτόμενοι τῷ τελευτήσαντι, μετὰ τῶν ἐγγυτέρων τῷ βαθμῷ ἀνιόντων κληθήσονται, εἰ καὶ πατὴρ ἢ μήτηρ εἴησαν, διαιρουμένης εἰς αὐτοὺς δηλαδὴ τῆς κληρονομίας κατὰ τὸν τῶν προσώπων ἀριθμὸν, ἵνα καὶ τῶν ἀνιόντων

4) In Flor. ad marginem notatur: *ζήτει τῶν βασιλ. βι. ϛ΄ τί. ιϑ΄ κεφ. ιδ΄ νεα. ρλδ΄.* mox idem: *βι . . . τί. . . . διατ. κε* (?) *α΄ περὶ τὸ τέλος ὅθεν ἔλαβε τὴν ἀρχὴν . . . νεαρά.* 5) Flor. et Bas. hic et infra ex const. CLVII addunt *ἀδελφόπαιδας.* 6) Ven. *εἴ τινες.*

καὶ τῶν ἀδελφῶν ἕκαστος ἴσην ἔχοι[7]) μοῖραν. οὐδεμίαν χρῆσιν ἐκ τῆς τῶν υἱῶν ἢ θυγατέρων μοίρας ἐν τούτῳ τῷ θέματι δυναμένου τοῦ πατρὸς ἑαυτῷ παντελῶς ἐκδικεῖν, ἐπειδὴ ἀντὶ ταύτης τῆς χρήσεως μέρος αὐτῷ τῆς κληρονομίας καὶ κατὰ δεσποτείας δίκαιον διὰ τοῦ παρόντος δεδώκαμεν νόμου. οὐδεμιᾶς φυλαττομένης διαφορᾶς μεταξὺ τῶν προσώπων τούτων, εἴτε θήλειαι εἴτε ἄῤῥενες εἴησαν οἱ πρὸς τὴν κληρονομίαν καλούμενοι, καὶ εἴτε δι' ἄῤῥενος ἢ θήλεως προσώπου συνάπτονται, καὶ εἴτε αὐτεξούσιος εἴτε ὑπεξούσιος ἦν ὃν διαδέχονται. ὑπόλοιπόν ἐστιν, ἵνα καὶ τὴν τρίτην ὁρίσωμεν τάξιν, ἥτις ἐκ πλαγίου καλεῖται, καὶ εἰς adgnatους καὶ cognatους διαιρεῖται, ἵνα καὶ τούτου τοῦ μέρους διατυπωθέντος πανταχόθεν ὁ νόμος τέλειος εὑρεθείη.[8])

γ'. Εἰ τοίνυν ὁ τελευτήσας μηδὲ κατιόντας μηδὲ ἀνιόντας καταλείψει, πρώτους πρὸς τὴν κληρονομίαν καλοῦμεν τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ τῆς αὐτῆς μητρὸς τεχθέντας, οὓς καὶ μετὰ τῶν πατέρων πρὸς τὴν κληρονομίαν ἐκαλέσαμεν. τούτων δὲ μὴ ὑπόντων ἐν δευτέρᾳ τάξει ἐκείνους τοὺς ἀδελφοὺς πρὸς τὴν κληρονομίαν καλοῦμεν, οἵτινες ἐξ ἑνὸς γονέως συνάπτονται τῷ τελευτήσαντι, εἴτε διὰ τοῦ πατρὸς μόνου εἴτε διὰ τῆς μητρός. εἰ δὲ τῷ τελευτήσαντι ἀδελφοὶ ὑπείησαν καὶ ἑτέρου ἀδελφοῦ ἢ ἀδελφῆς προτελευτησάντων παῖδες, κληθήσονται πρὸς τὴν κληρονομίαν οὗτοι μετὰ τῶν πρὸς πατρὸς καὶ πρὸς μητρὸς θείων, ἀῤῥένων τε καὶ θηλειῶν, καὶ ὅσοι δή ποτε ἂν ὦσι τοσοῦτον ἐκ τῆς κληρονομίας λήψονται μέρος, ὅσον ὁ αὐτῶν γονεὺς ἤμελλεν λαμβάνειν εἰ ἐπέζησεν. ὅθεν ἀκόλουθόν ἐστιν, ἵνα εἰ τυχὸν ὁ προτελευτήσας ἀδελφὸς οὗ οἱ παῖδες περίεισι δι' ἑκατέρου γονέως τῷ νῦν τελευτήσαντι

7) Ven. ἔχοιεν. 8) Flor. hic notat: ση. ὅτι ἡ οδ' νεαρὰ τοῦ κυροῦ λέοντος τοῦ βασιλέως θεσπίζει κτλ. et: ση ὅτι ἡ οε' νεαρὰ τοῦ κυροῦ λέοντος τοῦ βασιλέως θεσπίζει κτλ. quae quomodo huc intrudi potuerint, equidem non video.

προσώπῳ συνήπτετο, οἱ δὲ περιόντες ἀδελφοὶ διὰ τοῦ πατρος μόνου τυχὸν ἢ τῆς μητρὸς αὐτῷ συνήπτοντο, προτιμηθῶσιν οἱ τούτου παῖδες τῶν ἰδίων θείων, εἰ καὶ τρίτου εἰσὶ βαθμοῦ (εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἴησαν οἱ θεῖοι, καὶ εἴτε ἄῤῥενες εἴτε θήλειαι), ὥσπερ ὁ αὐτῶν γονεὺς προετιμᾶτο εἰ περιῆν. καὶ ἐκ τῶν ἐναντίων, εἰ ὁ μὲν περιὼν ἀδελφὸς ἐξ ἑκατέρου γονέως συνάπτεται τῷ τελευτήσαντι, ὁ δὲ προτελευτήσας δι' ἑνὸς γονέως συνήπτετο, τοὺς τούτου παῖδας ἐκ τῆς κληρονομίας ἀποκλείομεν, ὥσπερ καὶ αὐτὸς εἰ περιῆν ἐξεκλείετο. τὸ δὲ τοιοῦτον προνόμιον ἐν ταύτῃ τῇ τάξει τῆς συγγενείας μόνοις παρέχομεν τοῖς τῶν ἀδελφῶν ἀῤῥένων ἢ θηλειῶν υἱοῖς ἢ θυγατράσιν, ἵνα εἰς τὰ τῶν ἰδίων γονέων δίκαια ὑπεισέλθωσιν, οὐδενὶ δὲ ἄλλῳ παντελῶς προσώπῳ ἐκ ταύτης τῆς τάξεως ἐρχομένῳ τοῦτο τὸ δίκαιον συγχωροῦμεν. ἀλλὰ καὶ αὐτοῖς τοῖς τῶν ἀδελφῶν παισὶ τότε ταύτην τὴν εὐεργεσίαν παρέχομεν, ὅτε μετὰ τῶν ἰδίων κρίνονται θείων ἀῤῥένων τε καὶ θηλειῶν, εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἶεν. εἰ δὲ μετὰ τῶν ἀδελφῶν τοῦ τελευτήσαντος καὶ ἀνιόντες ὡς ἤδη προείπομεν πρὸς τὴν κληρονομίαν καλοῦνται, οὐδενὶ τρόπῳ πρὸς τὴν ἐξ ἀδιαθέτου διαδοχὴν τοὺς τοῦ ἀδελφοῦ ἢ τῆς ἀδελφῆς παῖδας καλεῖσθαι συγχωροῦμεν, οὐδὲ εἰ ἐξ ἑκατέρου γονέως ὁ αὐτῶν πατὴρ ἢ μήτηρ συνήπτετο τῷ τελευτήσαντι. ὁπότε τοίνυν τοῖς τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς παισὶ τοιοῦτο προνόμιον δεδώκαμεν, ἵνα τὸν τῶν γονέων ὑπεισιόντες τόπον μόνοι τρίτου ὄντες βαθμοῦ μετὰ τῶν ἐκ δευτέρου βαθμοῦ πρὸς τὴν κληρονομίαν καλῶνται[9]*), ἐκεῖνο πρόδηλόν ἐστιν, ὅτι τῶν θείων τοῦ τελευτήσαντος ἀῤῥένων τε καὶ θηλειῶν, εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἴησαν, προτιμῶνται, εἰ καὶ ἐκεῖνοι τρίτον ὁμοίως συγγενείας βαθμὸν ἔχοιεν.* [§. 1.] *εἰ δὲ μήτε ἀδελφοὺς μήτε παῖδας ἀδελφῶν ὡς εἰρήκαμεν ὁ τελευτήσας καταλείψει,*

9) Ven. *καλοῦνται.*

πάντας τοὺς ἐφεξῆς ἐκ πλαγίου συγγενεῖς πρὸς τὴν κληρονομίαν καλοῦμεν κατὰ τὴν ἑνὸς ἑκάστου βαθμοῦ προτίμησιν, ἵνα οἱ ἐγγύτεροι τῷ βαθμῷ αὐτοὶ τῶν λοιπῶν προτιμῶνται. εἰ δὲ πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ εὑρεθῶσι, κατὰ τὸν τῶν προσώπων ἀριθμὸν μεταξὺ αὐτῶν ἡ κληρονομία διαιρεθήσεται, ὅπερ in capita οἱ ἡμέτεροι λέγουσι νόμοι.

δ΄. Οὐδεμίαν δὲ εἶναι βουλόμεθα διαφορὰν ἐν οἱᾳδήποτε διαδοχῇ ἢ κληρονομίᾳ μεταξὺ τῶν πρὸς τὴν κληρονομίαν καλουμένων ἀῤῥένων ἢ θηλειῶν, οὓς πρὸς τὴν κληρονομίαν κοινῶς ὡρίσαμεν καλεῖσθαι εἴτε δι' ἄῤῥενος εἴτε διὰ θήλεος προσώπου συνήπτοντο τῷ τελευτήσαντι, ἀλλ' ἐπὶ πασῶν τῶν διαδοχῶν τὴν τῶν adgnatων τε καὶ cognatων διαφορὰν ἀργεῖν κελεύομεν, εἴτε διὰ θῆλυ πρόσωπον εἴτε δι' ἐμαγκιπατίονα ἢ ἕτερον οἱονδήποτε τρόπον τοῖς προτέροις ἐτρακταΐζετο νόμοις, καὶ πάντας δίχα τινὸς τοιαύτης διαφορᾶς κατὰ τὸν τῆς ἰδίας συγγενείας βαθμὸν εἰς τὴν ἐξ ἀδιαθέτου τῶν συγγενῶν διαδοχὴν ἐλθεῖν κελεύομεν.

ε΄. Ἐξ ὧν δὲ περὶ τῆς κληρονομίας εἰρήκαμέν τε καὶ διετυπώσαμεν καὶ τὰ περὶ τῆς ἐπιτροπῆς δῆλα καθέστηκε. θεσπίζομεν γὰρ ἕκαστον κατὰ τὸν βαθμὸν καὶ τὴν τάξιν, καθ' ἣν πρὸς τὴν κληρονομίαν καλεῖται ἢ μόνος ἢ μεθ' ἑτέρων, καὶ τὸ λειτούργημα τῆς ἐπιτροπῆς ὑπελθεῖν, οὐδεμιᾶς οὐδὲ ἐν τούτῳ τῷ μέρει διαφορᾶς εἰσαγομένης ἐκ τῶν adgnaticῶν ἢ cognaticῶν δικαίων, ἀλλὰ πάντων ὁμοίως εἰς τὴν ἐπιτροπὴν καλουμένων τῶν τε δι' ἀῤῥενογονίας τῶν τε διὰ θηλυγονίας τῷ ἀνήβῳ συναπτομένων. ταῦτα δὲ λέγομεν, εἰ ἄῤῥενες καὶ τέλειοι τὴν ἡλικίαν εἴησαν καὶ ὑπὸ μηδενὸς νόμου κωλύονται τὴν ἐπιτροπὴν ὑπελθεῖν μηδὲ ἐξκουσατίονι ἁρμοζούσῃ αὐτοῖς κέχρηνται. ταῖς γὰρ γυναιξὶ καὶ ἡμεῖς ἀπαγορεύομεν τὰ τῆς ἐπιτροπῆς ὑπελθεῖν λειτουργήματα, εἰ μὴ μήτηρ ἢ μάμμη εἴη. ταύταις γὰρ μόναις κατὰ τὴν τῆς κληρονομίας τάξιν καὶ τὴν ἐπιτροπὴν ὑπελθεῖν ἐφίεμεν, ἐὰν ἐν ὑπομνήμασι καὶ γάμοις ἑτέροις καὶ τῇ

βοηθείᾳ τοῦ Βελλιανείου δόγματος ἀπαγορεύσωσι. ταῦτα γὰρ φυλάττουσαι πάντων τῶν ἐκ πλαγίου συγγενῶν εἰς τὴν ἐπιτροπὴν προτιμηθήσονται[10]), *τῶν* testamentariων *μόνων ἐπιτρόπων προλαμβανόντων αὐτάς· τὴν γὰρ τοῦ τελευτήσαντος βούλησίν τε καὶ ἐπιλογὴν προτιμᾶσθαι βουλόμεθα. εἰ δὲ πολλοὶ τὸν αὐτὸν τῆς συγγενείας ἔχοντες βαθμὸν καλοῦνται πρὸς τὴν ἐπιτροπὴν, κελεύομεν αὐτοὺς κοινῇ συνελθόντας παρὰ τῷ ἄρχοντι ᾧ τούτου μέλει τοῦ μέρους ἕνα ἢ καὶ πλείονας, ὅσοι πρὸς τὴν διοίκησιν τῆς οὐσίας ἀρκοῦσιν, ἐξ αὐτῶν ἐπιλέξασθαι καὶ ὀνομάσαι, καὶ τοῦτον ἢ τούτους τὰ τοῦ ἀνήβου πράγματα διοικεῖν, τοῦ τῆς ἐπιτροπῆς κινδύνου πᾶσιν ἐπικειμένου τοῖς πρὸς τὴν ἐπιτροπὴν καλουμένοις καὶ τῶν οὐσιῶν αὐτῶν σιωπηρῶς ὑποκειμένων τῷ ἀνήβῳ ὑπὲρ ταύτης τῆς διοικήσεως.*

ς΄. Ταῦτα δὲ πάντα ὅσα περὶ διαδοχῶν τοῦ γένους ἐθεσπίσαμεν ἐπ᾽ ἐκείνοις βουλόμεθα κρατεῖν, ὅσοι τῆς καθολικῆς ὑπάρχουσι πίστεως. ἐπὶ γὰρ τοῖς αἱρετικοῖς τοὺς ἤδη παρ᾽ ἡμῶν τεθέντας νόμους βεβαίους εἶναι κελεύομεν μηδένα καινισμὸν ἢ ἐλάττωσιν ἐκ τοῦ παρόντος ὑφισταμένους νόμου. ἅπερ τοίνυν διὰ ταύτης τῆς διατάξεως τῆς εἰς τὸ διηνεκὲς φυλαχθησομένης ἡ ἡμετέρα ἐθέσπισε γαληνότης, ἐπ᾽ ἐκείνοις βουλόμεθα κρατεῖν τοῖς θέμασιν, ἅτινα ἐκ προοιμίων τοῦ Ἰουλίου μηνὸς τῆς παρούσης ἕκτης ἐπινεμήσεως συνέβη ἢ καὶ μετὰ ταῦτα συμβήσεται. τὰ γὰρ προλαβόντα θέματα τὰ μέχρι τοῦ μνημονευθέντος χρόνου ἀποβάντα κατὰ τοὺς παλαιοὺς νόμους τέμνεσθαι παρακελευόμεθα.

Ἡ ἐνδοξότης τοίνυν ἡ σὴ τὰ διὰ τοῦ παρόντος νόμου παρ᾽ ἡμῶν διατυπωθέντα εἰς τὴν ἁπάντων γνῶσιν ἐλθεῖν

10) In Flor. ad marginem adnotatum est: *ὅτι ταῖς γυναιξὶν ἀπηγόρευται τὰ τῶν ἐπιτρόπων ὑπέρχεσθαι λειτουργήματα, εἰ μὴ μήτηρ ἢ μάμμη εἴη. — ση. ὅτι μόνοι οἱ τεσταμεντάριοι ἐπίτροποι προλαμβάνουσιν εἰς τὴν ἐπιτροπὴν τὴν μητέρα καὶ τὴν μάμμην. — ση. ὅτι αἱ οὐσίαι πάντων τῶν πρὸς τὴν ἐπιτροπὴν καλουμένων σιωπηρῶς τούτῳ ὑπόκεινται.*

προνοησάτω, ἐπὶ ταύτης μὲν τῆς βασιλίδος πόλεως ἰδίκτων κατὰ τὸ σύνηθες προτιθεμένων, ἐν δὲ ταῖς ἐπαρχίαις προστάξεων πεμπομένων πρὸς τοὺς λαμπροτάτους τούτων ἡγουμένους, ὥστε μηδενὶ τῶν τῇ ἡμετέρᾳ βασιλείᾳ ὑποκειμένων ἄγνωστον γενέσθαι τὴν τῆς ἡμετέρας ἡμερότητος περὶ τούτους πρόνοιαν, οὕτω μέντοι ὥστε δίχα πάσης ζημίας τῶν πολιτῶν καὶ ἐπαρχεωτῶν ἐν παντὶ τόπῳ τὴν τοῦ παρόντος νόμου ἐμφάνειαν γενέσθαι. Dat. XVII K. Aug.[11]) septimo [mil.] imp. DN. Iust. PP. Aug. anno XVII post Basilii v. c. cons. anno II ind. VI.[12])

Auth. 116. CXLIV. Nov. 125.

Basil. VII, 1, 18. — Summas praestant Iulian. c. 112, Ath. IV, 17 et Theod. Nov. 125.

Περὶ δικαστῶν.[1])

Ἐπειδή τινες τῶν δικαστῶν μετὰ πολλοὺς τῆς δίκης ἀγῶνας καὶ πλείστας ζημίας τοῖς δικαζομένοις γινομένας ἐπὶ

11) Ven. K. D. i. e. Kal. Decemb. vide notam sequentem.
12) „Anno XVII post" et „anno II ind. VI" ad subscriptionem quae in Ven. est addidi. Iulianus: Dat. VII (vel XVII) Kal. Aug. Septimo Miliario Imp. DN. Iustiniani PP. Aug. anno XVI (al. XVII) post consulat. Fl. Basilii v. c. anno II (al. III). Athan.: ἐγράφη πρὸ ιζʹ καλ. αὐγ. βασιλείας ἰουστινιανοῦ τὸ ιβʹ (lege ιζʹ) μετὰ τὴν ὑπατείαν βασιλείου τὸ βʹ. Theod.: ἐξεφωνήθη μηνὶ αὐγούστῳ ἔτει τῆς βασιλείας ιζʹ μετὰ τὴν ὑπατείαν βασιλείου ἰνδ. ςʹ. — Ind. VI firmatur capite 6. unde Kal. Decembres, quas Ven. habet, emendandae sunt: eae enim in ind. VII incidunt. — Heimbachius in Auth. ex Cod. Neoburg. subscriptionem protulit Dat. III Id. . . . CP. etc. suspectam crediderim. vide enim not. 31 ad const. CXLI.

1) Inscriptio desideratur tam in Ven. quam in Flor. — Apud Ath. est: ὁ αὐτὸς βασιλεὺς Πέτρῳ ἐπάρχῳ πραιτωρίων. — In Auth. vulgo legitur: Idem Aug. Gabrielio PP. hinc Hal. effinxit inscriptionem: ὁ αὐτὸς βασιλεὺς γαβριήλῳ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν πραιτωρίων, eumque temere sequutus est Scr.

ταῖς παρ᾽ αὐτοῖς κινουμέναις ὑποθέσεσι μηνύσεσι κέχρηνται πρὸς τὴν ἡμετέραν γαληνότητα, καὶ τοῦτο τῷ παρόντι γενικῷ νόμῳ συνείδομεν διορθώσασθαι, ὥστε μὴ ὑπέρθεσιν ταῖς ὑποθέσεσιν ἐκ τούτου γίνεσθαι καὶ ἄλλο πάλιν προοίμιον τὰς ἐξετάσεις λαμβάνειν.

α΄. Κελεύομεν τοίνυν μηδένα τῶν δικαστῶν καθ᾽ οἱονδήποτε τρόπον ἢ χρόνον ἐπὶ ταῖς παρ᾽ αὐτοῖς προτιθεμέναις δίκαις μηνύειν πρὸς τὴν ἡμετέραν γαληνότητα, ἀλλ᾽ ἐξετάζειν τελείως τὸ πρᾶγμα καὶ ὅπερ αὐτοῖς δίκαιον καὶ νόμιμον φανείη κρίνειν· καὶ εἰ μὲν τὰ μέρη ἐφησυχάσει τοῖς κεκριμένοις, τὴν ψῆφον καὶ ἐκβιβασμῷ παραδίδοσθαι κατὰ τὴν τῶν νόμων δύναμιν. εἰ δέ τις νομίσοι ἐκ τῆς αὐτοτελοῦς ψήφου ἑαυτὸν βεβλάφθαι, ἐκκλήτῳ κεχρῆσθαι νομίμῳ, καὶ αὐτὴν κατὰ τὴν ὑπὸ τῶν νόμων διωρισμένην ἐγγυμνάζεσθαι τάξιν καὶ τέλειον πέρας δέχεσθαι. εἰ δὲ δύο καὶ πλείονες εἶεν τῆς δίκης διαγνώμονες καὶ μεταξὺ αὐτῶν ἀναφυῇ διαφωνία, καὶ οὕτω κελεύομεν ἕνα ἕκαστον τούτων κατὰ τὰ φαινόμενα αὐτῷ τὴν ἰδίαν διδόναι ψῆφον.

Τὰ τοίνυν διὰ τοῦ παρόντος νόμου τοῦ εἰς τὸ διηνεκὲς ἰσχύσοντος παρὰ τῆς ἡμετέρας γαληνότητος ὁρισθέντα τοῦτο μὲν ἡ σὴ ὑπεροχὴ, τοῦτο δὲ καὶ πάντες οἱ ἄλλοι δικασταὶ μείζονές τε καὶ ἐλάττονες παραφυλάξαι σπευσάτωσαν, ἰδίκτων μὲν ἐν ταύτῃ τῇ βασιλίδι πόλει κατὰ τὸ σύνηθες παρὰ τῆς σῆς ὑπεροχῆς προτιθεμένων, προστάξεων δὲ πρὸς τοὺς τῶν ἐπαρχιῶν λαμπροτάτους ἄρχοντας καταπεμπο-

sed siglae quas ex Codd. MSS. Heimbach profert „Gabrielio PU“ non PP videntur significare. et Gabriel quidem Praef. Urbi alias quoque occurrit, nunquam autem Praef. Praet. fuit. (Apud Lyd. III, 38 legendum *τὴν ἀρχὴν ἀποθεμένου* i. e. „postquam praefecturam urbis deposuit“ non *τὴν ἀρχὴν ἀποδεξαμένου*, quod male vertit *Fuss* „praefectura praetorii potito“.) versio antiqua quam praestat Auth. ex exemplari ad Gabrielem misso confecta est, unde explicandum, quod epilogus in antiqua versione verba *ἰδίκτων — καταπεμπομένων* non agnoscit.

μένων, ὥστε πάντας γνῶναι τὰ ὑπὲρ τῆς τῶν δικαζομένων ὠφελείας παρ' ἡμῶν νομοθετηθέντα. Dat. Id. Oct. CP. DN. Iust. PP. Aug. anno XVII post Basil. v. c. cons. anno II.[2])

Auth. 114. CXLV. Nov. 119.

Cap. 1 habetur in Bas. 29, 4, 1; cap. 2 in Bas. 48, 26, 2; cap. 3 in Bas. 22, 4, 1 et in Epit. 12, 34; cap. 4 et 5 in Bas. 9, 2, 8; cap. 6 in Bas. 10, 21, 3; cap. 7 et 8 in App. Ecl. 24, Proch. 38, 41, Epan. 39, 41, et Bas. 50, 14, 11 cap. 10 in Bas. 5, 2, 8; cap. 11 in Bas. 41, 5, 4. — Summae: Iulian. c. 110, Ath. X, 10, Theod. Nov. 119; praeterea capitis 2 in libro αἱ ῥοπαὶ 33, 2 — cap. 5 ibid. 8, 8, — cap. 7 ibid. 40, 10; Anonymi th. 366 ex cap. 11 (Ἀνεκδ. mea p. 210); incerti epitomatoris capitum 2. 6. 9. (Ἀν. p. 218.)

Ὥστε τὴν διὰ τοὺς γάμους δωρεὰν ἰδικὸν συνάλλαγμα εἶναι, καὶ περὶ ἑτέρων κεφαλαίων.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων.

α'.[1]) Τὴν διὰ τοὺς γάμους δωρεὰν συνάλλαγμα ἰδικὸν εἶναί τε καὶ κρίνεσθαι καὶ μὴ ταῖς ἄλλαις δωρεαῖς αὐτὴν συναριθμεῖσθαι διὰ τοῦ παρόντος νόμου θεσπίζομεν, ἐπειδὴ ἀντ' αὐτῆς ἰσότης προικὸς ἐπιδίδοται. εἴτε τοίνυν γένηται ἐπὶ πράξεως ὑπομνημάτων ἐμφανὴς εἴτε καὶ μή, κελεύομεν αὐτὴν διὰ πάντων τὴν ἰδίαν ἔχειν ἰσχύν, τοῦτο μὲν πρὸς τὴν γυναῖκα τοῦτο δὲ πρὸς τὸν ἄνδρα[2]), εἴτε παρ' αὐτοῦ

2) Ath. καλανδ. ὀκτωβρίων βασιλείας ἰουστινιανοῦ τὸ ιϛ̄ (i. e. ιζ') μετὰ τὴν ὑπατείαν βασιλείου. Theod.: μηνὶ ἰανουαρίῳ ὑπατείᾳ βασιλείου τὸ β' ἐπὶ πέτρου ὑπάρχου. hinc supplevi verba anno XVII et anno II in Ven. omissa. in Auth. est: Dat. XV Kal. Ian. nempe tum ad Gabrielem PU constitutio missa esse videtur.

1) Ad c. 1 Ven. in marg. adscribit: ὁμοίως περὶ προικὸς βι. μδ' τί. ζ' διγ. ιη' (sic). unde forsitan depravatum est, quod ibidem habet Flor.: βι. τῶν βασιλ. μα' τί. ε' κεφ. ι'. 2) Flor. ὅσον πρὸς τὴν γυναῖκα, omissis his: τοῦτο δὲ πρὸς τὸν ἄνδρα.

τοῦ ἀνδρὸς εἴτε παρ' ἑτέρου τινὸς τῇ γυναικὶ ἐπιδίδοται ἤτοι καταγράφεται, ἤγουν εἰς τὸ τοῦ ἀνδρὸς πρόσωπον ἡ δωρεὰ γίνεται ἐφ' ᾧ τὰ αὐτὰ πράγματα εἰς γαμικὴν καταγράψαι δωρεάν. καὶ ταῦτα κρατεῖν κελεύομεν ὅσης ἂν εἴη ποσότητος ἡ δωρεά, κἂν μὴ γένηται καθὼς εἴρηται ἐμφανής.

β'.[3]) Καὶ τοῦτο δὲ διὰ τῆς παρούσης θεσπίζομεν διατάξεως, ὥστε ἄδειαν εἶναι τοῖς νέοις ἐν αὐτῷ τῷ καιρῷ, ἐν ᾧπερ ἔξεστιν αὐτοῖς διατίθεσθαι περὶ τῆς ἄλλης αὐτῶν περιουσίας, καὶ τοὺς ἰδίους οἰκέτας τελευταίαις βουλήσεσιν ἐλευθεροῦν, μηδένα τούτοις ἐμποδισμὸν τῆς ἡλικίας ποιούσης, ἀλλὰ σχολάζοντος τοῦ νόμου τοῦ πρῴην κωλύοντος.

γ'.[4]) Καὶ τοῦτο πρὸς τούτοις παρακελευόμεθα, ὥστε εἴπερ τὶς ἔν τινι συμβολαίῳ ἑτέρου ποιήσηται μνήμην συμβολαίου, μηδεμίαν ἐκ ταύτης τῆς μνήμης ἀπαίτησιν γίνεσθαι, πλὴν εἰ μὴ καὶ τὸ ἕτερον συμβόλαιον οὗτινος μνήμη κατὰ τὸ δεύτερον γέγονε προκομισθείη, ἢ ἑτέρα παρασχεθείη κατὰ τοὺς νόμους ἀπόδειξις, ὅτιπερ καὶ ἡ ποσότης ἧς μνήμη γέγονε ταῖς ἀληθείαις ἐποφείλεται. τοῦτο γὰρ καὶ ἐν τοῖς παλαιοῖς εὑρίσκομεν νόμοις.

δ'. Καὶ τοῦτο δὲ θεσπίζομεν, ὥστε εἴποτε ἐκκλήτου παρακολουθησάσης ἐν τῇ τελευταίᾳ ἐμπροθέσμῳ ἡμέρᾳ ἢ μέρος ἑκάτερον ἢ μόνος ὁ τῇ ἐκκλήτῳ χρησάμενος φθάσοι καὶ τὴν ἑαυτοῦ παρουσίαν φανερώσοι τῷ ἄρχοντι τῷ μέλλοντι τὴν τῆς ἐκκλήτου ὑπόθεσιν ἐξετάζειν, ἢ τοῖς αὐτοῦ συνέδροις ἢ τοῖς τὰς δίκας εἰσάγουσι, καὶ ὁ δικαστὴς τοῦτον ἐν ταῖς ὡρισμέναις ἡμέραις δέξασθαι ἀναβάληται, μηδὲν πρόκριμα τοῖς μέρεσιν ἢ ἑνὶ τούτων ἐκ τούτου παντελῶς γίνεσθαι, ἀλλὰ καὶ μετὰ ταῦτα ἐξετάζεσθαι τὰς τοιαύτας ἐκκλήτους καὶ ψήφῳ περαιοῦσθαι νομίμῳ.

3) Flor. in marg. βι. τῶν βασιλ. μη' τί. κς' νεα. ριθ' κεφ. γ'.
4) Flor. in marg. βι. τῶν βασιλ. κβ' τί. δ' νεα. ριθ' κεφ. δ'.

ε΄.[5]) Ἕτερον πρὸς τούτοις κεφάλαιον τῆς ἡμετέρας δεόμενον νομοθεσίας συνείδομεν ἐπανορθώσασθαι. ἐπειδὴ γὰρ οἱ ἡμέτεροι νόμοι διορίζουσιν, εἴποτε οἱ ἐνδοξότατοι ἔπαρχοι τῶν ἱερῶν πραιτωρίων ψῆφον προενέγκοιεν, μηδεμίαν ἔκκλητον κατ᾽ αὐτῆς ἐπιδίδοσθαι, θεσπίζομεν ὁσάκις ψῆφος τῶν ἐνδοξοτάτων ἐπάρχων οἱουδήποτε κλίματος προενεχθείη[6]) καὶ εἷς ὡς εἰκὸς τῶν δικαζομένων νομίσοι ἑαυτὸν βεβαρῆσθαι, ἔχειν τὸν τοιοῦτον ἄδειαν διδασκαλικὸν προσφέρειν τοῖς ἐνδοξοτάτοις ἐπάρχοις τοῖς τὴν ψῆφον προάγουσιν ἢ τοῖς τούτων συμπόνοις ἢ τοῖς τὰς δίκας εἰσάγουσιν ἐντὸς δέκα ἡμερῶν προθεσμίας μετὰ τὸ προενεχθῆναι τὴν ψῆφον, ὥστε τούτου παρακολουθοῦντος μὴ ἄλλως ἐκβιβασμῷ παραδίδοσθαι τὴν ψῆφον, εἰ μὴ πρότερον ἐγγύας ἀξιοπίστους παράσχοι τὸ νικῆσαν μέρος τοσαύτης ποσότητος ὅσης ἂν εἴη ἡ καταδίκη, ὡς εἰ μετὰ ταῦτα ἀναψηλαφήσεως νομίμῳ τρόπῳ προϊούσης ἡ ψῆφος ἀνατραπείη, τὰ πράγματα αὐτῷ[7]) μετὰ τῶν νομίμων ἐπαυξήσεων ἀποκαθίστασθαι. εἰ δὲ ἐντὸς τῆς μνημονευθείσης τῶν δέκα ἡμερῶν προθεσμίας μετὰ τὸ τὴν ψῆφον προενεχθῆναι μὴ ἐπιδοίη τὸν λίβελλον ὁ νομίζων βεβλάφθαι, κελεύομεν τὸν τοῦ πράγματος ἐκβιβασμὸν δίχα ἐγγύης προϊέναι, τοῦ τῆς ἀναψηλαφήσεως δικαίου φυλαττομένου ἐκείνῳ ὅστις ἑαυτὸν βεβαρῆσθαι νομίσοι.

ϛ΄.[8]) Πρὸς τούτοις θεσπίζομεν, ὥστε εἴπερ συμβαίη τοὺς νέους βούλεσθαι ἀποστῆναι τῆς εἰς αὐτοὺς περιελθούσης καὶ καταδεχθείσης παρ᾽ αὐτῶν κληρονομίας, εἰ μὲν πάντες οἱ δανεισταὶ παρόντες εὑρεθεῖεν ἐν ἐκείνοις τοῖς τόποις ἐν οἷς ἡ εἰς ἀκέραιον ἀποκατάστασις αἰτεῖται, καλεῖ-

5) Flor. in marg. nonnulla habet ex Nov. Leonis Sapientis 77. 6) Ven. προσεν. 7) Scil. ei, qui priore sententia condemnatus erat. 8) Flor. in marg. βι. ι΄ τῶν βασιλ. τί. κα΄ κεφ. ϛ΄. deinde ad c. 8 complura addit ex Theod. Nov. 119 §. 8 et ex adnotationibus ad Basilica.

σθαι παρὰ τοῦ ἄρχοντος τοὺς δανειστὰς καὶ παρόντων πάντων ἀφίστασθαι τοὺς νέους τῆς τοιαύτης κληρονομίας. εἰ δὲ πάντες ἤ τινες τῶν δανειστῶν ἀπόντες εἶεν, κελεύομεν τοὺς νέους βουλομένους τοῦτο πράττειν τῷ τῶν τόπων ἄρχοντι ἐν οἷς αὐτοὶ διάγουσι προσιέναι, ἐκεῖνον δὲ διὰ τῶν συνειθισμένων κηρυγμάτων καλεῖν τοὺς δανειστάς. καὶ εἰ ἐντὸς τριῶν μηνῶν προθεσμίας μηδαμῶς παραγένωνται οἱ δανεισταὶ, ἐξεῖναι τούτοις δίχα κινδύνου τῆς τοιαύτης ἀναχωρεῖν κληρονομίας, προνοοῦντος τοῦ ἄρχοντος παρ' ᾧ ἡ εἰς ἀκέραιον ἀποκατάστασις πράττεται, ποῦ ὀφείλει τὰ κληρονομιαῖα πράγματα κινητά τε καὶ ἀκίνητα φυλάττεσθαι, τῆς ποσότητος δηλαδὴ τούτων διὰ δημοσίας ἀπογραφῆς κατὰ πρᾶξιν ὑπομνημάτων φανερουμένης.

ζ'. Ἔτι θεσπίζομεν, ὥστε εἴ τις κακῇ πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως ταῦτα ἐκποιήσοι, ὁ δὲ νομίζων τὰ αὐτὰ πράγματα προσήκειν ἑαυτῷ τοῦτο γινώσκων ἐντὸς δέκα ἐνιαυτῶν μεταξὺ τῶν παρόντων καὶ εἴκοσι μεταξὺ τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ τοὺς νόμους τὸν ἀγοραστὴν ἢ τὸν τὴν δωρεὰν δεχόμενον ἢ ἐκεῖνον εἰς ὃν τὰ πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ μετενεχθείη, τὸν τὰ τοιαῦτα πράγματα κομιζόμενον βεβαίως ταῦτα ἔχειν, μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων καὶ τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδρομήν. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης καὶ ὅτι τὰ πράγματα αὐτῷ προσήκει καὶ ὅτι γέγονεν ἡ[9]) ἐκποίησις, κελεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται, ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκομίσατο.

η'. Περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας ταῦτα

9) Proch. et Epan. articulum omittunt. non male.

διατυπῶσαι συνείδομεν[10]), ὥστε εἴ ποτέ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἐνιαυτοὺς παρὼν εἴη ἐπί τινας δὲ ἀπὼν, ἄλλους τοσούτους αὐτῷ ἐνιαυτοὺς πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς τῆς δεκαετίας ἀπὼν γέγονε. ταῦτα δὲ πάντα, ἅτινα περὶ τῆς χρονικῆς ὡρίσαμεν παραγραφῆς, οὐκ ἐν ταῖς προλαβούσαις ἀλλ' ἐν ταῖς μελλούσαις καὶ μόνον μετὰ τὸν παρόντα νόμον ὑποθέσεσί τε καὶ πράγμασι κρατεῖν παρακελευόμεθα.

θ'. Ἐπειδὴ δὲ πρὸ τούτου νόμον[11]) προηγάγομεν, ὥστε τοὺς διατιθεμένους ἢ χειρὶ ἰδίᾳ ἢ διὰ τῶν μαρτύρων τὰ ὀνόματα τῶν κληρονόμων ἐγγράφειν ταῖς διαθήκαις, ἔγνωμεν δὲ ἐκ τῆς τοιαύτης ἀκριβείας πολλὰς διαθήκας ἀνατραπῆναι, οἷα τῶν διατιθεμένων μὴ δυναμένων τὴν τοιαύτην ἀκρίβειαν παραφυλάξαι ἢ ὡς εἰκὸς μὴ βουλομένων γνῶναί τινας τὴν ἰδίαν αὐτῶν βουλὴν, κελεύομεν ἄδειαν μὲν εἶναι τοῖς βουλομένοις ταῦτα φυλάττειν ἐν ταῖς αὐτῶν διαθήκαις· εἰ δὲ καὶ ταῦτα μὴ φυλάξουσιν ἀλλὰ κατὰ τὴν παλαιὰν συνήθειαν διάθωνται, καὶ οὕτω βεβαίαν εἶναι τὴν διαθήκην θεσπίζομεν, εἴτε δι' ἑαυτοῦ τις εἴτε δι' ἑτέρου προσώπου τὸ ὄνομα τοῦ κληρονόμου ἐγγράψει, εἴπερ ὅλως τὴν λοιπὴν νόμιμον παραφυλακὴν ἐν τῇ διαθήκῃ ὁ τεστάτωρ παραφυλάξει.

ι'. Τὸν δὲ νόμον[12]), δι' οὗ ἐθεσπίσαμεν μὴ μεταφέρεσθαι εἰς ἑτέρους τὰ εἰς τὸν ἡμέτερον οἶκον ἀπὸ εὐαγοῦς ἐκκλησίας περιερχόμενα πράγματα, σχολάζειν θεσπίζομεν, τοῦτο μὲν ἐπὶ τοῖς ἤδη εἰς τὸν ἡμέτερον οἶκον νομίμως περιελθοῦσι, τοῦτο δὲ καὶ τοῖς μετὰ ταῦτα μέλλουσι περιέρχεσθαι.

ια'. Εἴποτε δέ τις διάθηται καί τι πρᾶγμα ἀκίνητον

10) Hal. συνοίδαμεν.

11) l. 29 C. de testam. 6, 23. Cf. etiam const. LXXXVI.

12) Apud Iulianum scholiastes hanc legem non extare dicit. verum enimvero intelligitur const. LXXII c. 1.

τῇ ἰδίᾳ φαμιλίᾳ ἢ ἑτέρῳ τινὶ προσώπῳ ὀνόματι ληγάτου καταλείψει καὶ ἰδικῶς εἴπῃ, μηδενὶ χρόνῳ τὸ αὐτὸ πρᾶγμα ἐκποιεῖσθαι ἀλλὰ παρὰ τοῖς κληρονόμοις ἢ διαδόχοις ἐκείνου ᾧτινι καταλειφθῇ διαμένειν, ἐπὶ τούτου τοῦ ληγάτου κελεύομεν τὸν φαλκίδιον νόμον χώραν παντελῶς μὴ ἔχειν, ἐπειδὴ τὴν ἐκποίησιν τούτου αὐτὸς ἐκώλυσεν ὁ διαθέμενος. ταῦτα δὲ κρατεῖν κελεύομεν ἐπ' ἐκείνοις τοῖς θέμασι τοῖς μήπω κατὰ δικαστικὴν ψῆφον ἢ κατὰ φιλικὴν σύμβασιν ἢ καθ' οἱονδήποτε νόμιμον τρόπον τμηθεῖσιν.

Ἡ ὑπεροχὴ τοίνυν ἡ σὴ ἃ διὰ τοῦ παρόντος νόμου εἰς τὸ διηνεκὲς κρατήσοντος ἡ ἡμετέρα ἐθέσπισε γαληνότης ἰδίκτων μὲν ἐν ταύτῃ τῇ βασιλίδι πόλει προτιθεμένων, προστάξεων δὲ πρὸς τοὺς πασῶν τῶν ἐπαρχιῶν ἡγουμένους καταπεμπομένων εἰς τὴν τῶν πάντων γνῶσιν ἐλθεῖν παρασκευάσει. Dat. XIII.[13]) Kal. Febr. Constantinop. DN. Iustiniani PP. Aug. ann. XVII. post Basilii V. C. Cons. ann. III.[14])

Nov. 122. CXLVI. Edict. 6.

CXLVI.

Venetus ad Nov. 122 notam habet: ἡ δὲ ρκβ' οὐχ εὑρέθη et Florentinus nonnisi summam Theodori exhibet. constitutionem ipsam inter Edicta Iustiniani numero 6 Ven. repraesentat. — Summas praestant Athan. XXI, 3 et Theod. Nov. 122.

Ἔδικτον τοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου Ἰουστινιανοῦ.

Ἔγνωμεν ὡς μετὰ τὴν παίδευσιν τὴν κατὰ φιλανθρωπίαν τοῦ δεσπότου θεοῦ γενομένην[1]) οἵ τὰς πραγματείας

13) Athan. πρὸ ις' καλ. Iulian. XIV. 14) Annum XVII et III in Ven. omissum, ex Iul. Ath. et Theod. addo.

1) De peste imperator loquitur, quae a mense Octobri anni 541 Constantinopoli obtinuerat. unde apud Ath. in rubrica sermo est de consuetudine, quae πρὸ τοῦ θανατικοῦ obtinuit.

καὶ τὰς μεθοδείας μετερχόμενοι καὶ οἱ διαφόρων τεχνῶν καὶ οἱ περὶ τὴν γῆν ἐργάται, ἔτι γε μὴν καὶ οἱ ναῦται, ὀφείλοντες μᾶλλον καλλίονες γενέσθαι, εἰς πλεονεξίαν δεδώκασι, καὶ διπλασίονας καὶ τριπλασίονας τιμάς τε καὶ μισθοὺς παρα τὴν ἀρχαίαν συνήθειαν ἐπιζητοῦσι.

α΄. Συνείδομεν τοίνυν διὰ θείου ἰδίκτου πᾶσιν ἀπαγορεῦσαι τὴν τοιαύτην πλεονεξίαν, καὶ μηδένα τοῦ λοιποῦ τολμᾶν πραγματευτὴν ἢ ἐργάτην ἢ τεχνίτην ἐξ οἱασδήποτε μεθόδου[2]*) ἢ ἐμπορίας ἢ γεηπονίας πλείονα τῆς παλαιᾶς συνηθείας ἐπιζητεῖν τιμήματα ἢ μισθούς. κελεύομεν καὶ τοὺς τὰς μετρήσεις τῶν οἰκοδομικῶν καὶ γεηπονικῶν καὶ τῶν ἄλλων ἔργων ποιοῦντας μηδὲν πλέον λογίζεσθαι τοῖς ἐργαζομένοις, ἀλλὰ καὶ αὐτοῖς τὴν ἀρχαίαν συνήθειαν φυλάττειν. ταῦτα δὲ παραφυλάττειν κελεύομεν καὶ τοὺς ἐπιτάττοντας οἱαδήποτε ἔργα ἢ καί τινα ἤδη*[3]*) ὠνουμένους· οὐδὲ γὰρ αὐτοῖς ἐξεῖναι πλέον τοῦ ἔθους τοῦ διατεταγμένου παρέχειν συγχωροῦμεν· γινωσκόντων τῶν πλέον τὶ τῆς παλαιᾶς συνηθείας ἐπιζητούντων, ὡς τριπλασίονα ποσότητα εἰσκομίσαι τῷ δημοσίῳ ἀναγκασθήσονται, εἰ παρὰ τὸ ἐξ ἀρχῆς διατεταγμένον λαβόντες ἢ δεδωκότες*[4]*) φανείησαν.*

Ταῦτα δὲ ζητεῖσθαι καὶ ἐκδικεῖσθαι κελεύομεν παρά τε τῆς σῆς ὑπεροχῆς καὶ τοῦ ἐνδοξοτάτου ἐπάρχου ταύτης τῆς εὐδαίμονος πόλεως. βουλόμεθα γὰρ δι᾿ ὑμῶν τοὺς παραβαίνοντας ταύτην ἡμῶν τὴν διατύπωσιν ἀπαιτεῖσθαι τὴν ὁρισθεῖσαν ποινὴν καὶ τιμωρίαις ὑποβάλλεσθαι· ποινῆς ἐπικειμένης πέντε χρυσίου λιτρῶν ταῖς πειθομέναις ὑμῖν τάξεσιν, εἴ τι τῶν παρ᾿ ἡμῶν διατεταγμένων ἀμεληθείη.[5]) Dat. X Kal. Apr. CP. DN. Iustiniani PP. Aug. anno XVII post Basilii v. c. cons. anno III.[6])

2) *μεθοδείας?* Const. CXXXVII c. 4 *μεθόδιον* scribitur. 3) *εἴδη?* 4) Ven. *δεδοκότες.* 5) Ven. *ἀμελεθείη.* 6) In Ven. subscriptio est: D. II K. Apr. CP. DN. Iustiniani PP. Aug. post Bilisario v. c. cons. haec vitiosa esse nemo est quin

Nov. 132. CXLVII. Auth. 130.

Basil. I, 1, 58 (54). — Summas praestant Athan. III, 4, Theod. Nov. 132, Nomoc. XIV titt. 3, 15.

Ἴδικτον περὶ πίστεως Κωνσταντινουπολίταις.[1])

Πρῶτον εἶναι καὶ μέγιστον ἀγαθὸν πᾶσιν ἀνθρώποις πιστεύομεν τὴν τῆς ἀληθοῦς καὶ ἀμωμήτου τῶν Χριστιανῶν πίστεως ὀρθὴν ὁμολογίαν, εἰς τὸ διὰ πάντων αὐτὴν κρατύνεσθαι, καὶ πάντας τοὺς τῆς οἰκουμένης ὁσιωτάτους ἱερέας εἰς ὁμόνοιαν συναφθῆναι καὶ ὁμοφώνως τὴν ὀρθὴν τῶν Χριστιανῶν πίστιν ὁμολογεῖν τε καὶ κηρύττειν, καὶ πᾶσαν πρόφασιν παρὰ τῶν αἱρετικῶν ἐφευρισκομένην ἀφαιρεθῆναι. ὅπερ δείκνυται ἐκ τῶν παρ' ἡμῶν διαφόρως γραφέντων λόγων τε καὶ ἰδίκτων.[2]) ἀλλ' ἐπείπερ οἱ αἱρετικοὶ, μηδὲ τὸν τοῦ θεοῦ ἐννοοῦντες φόβον μηδὲ τὰς ἠπειλημένας τοῖς τοιούτοις ποινὰς ἐκ τῆς τῶν νόμων αὐστηρίας ἐνθυμούμενοι, τοῦ διαβόλου ἔργον πληροῦσι, καί τινας τῶν ἁπλουστέρων ἀπατῶντες τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας παρασυνάξεις καὶ παραβαπτίσματα λαθραίως ποιοῦσιν[3]), εὐσεβὲς ἡγησάμεθα διὰ τοῦ παρόντος[4]) ἡμῶν ἰδίκτου παραινέσαι τοῖς τοιούτοις, ἐφ' ᾧ καὶ αὐτοὺς ἀποστῆναι τῆς αἱρετικῆς μανίας, καὶ μηδὲ τὰς ἑτέρων ψυχὰς δι' ἀπάτης ἀπολλύναι, ἀλλὰ μᾶλλον προσδραμεῖν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, ἐν ᾗ τὰ ὀρθὰ πρεσβεύεται δόγματα καὶ πᾶσαι αἱ αἱρέσεις μετὰ τῶν ἀρχηγῶν αὐτῶν ἀναθεματίζονται. γινώσκειν γὰρ ἅπαντας βουλόμεθα, ὡς εἰ τοῦ λοιποῦ

videat. nam (ut taceam „II Kal.“ dici non posse) p. c. Belisarii i. e. anno 536 pestis nondum obtinuerat. rectius Athanasius: ἐγράφη πρὸ ι' καλ. ἀπριλ. βασιλείας ἰουστινιανοῦ τὸ ιξ' ὑπατείας βασιλείου τὸ γ', unde subscriptionem emendavi.

1) Adscribitur in Ven. βι α' τῶν βασιλ. τί. α' κεφ. τελευταῖον. Auth. pleniorem inscriptionem praestat. 2) Cuiusmodi complura recenset Biener Gesch. d. Novell. p. 482. 3) Ven. ποιοῦντι. 4) Ven. τοῦ παρ' ἡμῶν.

τινες εὑρεθῶσιν ἢ παρασυνάγοντες ἢ πρὸς αὐτοὺς συναγόμενοι, οὐκ ἔτι παντελῶς τούτων ἀνεξόμεθα, ἀλλὰ τοὺς μὲν οἴκους, ἔνθα τὶ τοιοῦτον[5]*) ἁμαρτάνεται, τῇ ἁγίᾳ προσκυρώσομεν ἐκκλησίᾳ, τοῖς δὲ παρασυνάγουσιν ἢ πρὸς αὐτοὺς συναγομένοις τὰς ἐκ τῶν διατάξεων ποινὰς ἐπαχθῆναι πᾶσι τρόποις κελεύομεν.* Dat. Non. April. Constant. DN. Iustin. PP. Aug. [ann. XVIII post] Basilii V. C. cons. [ann. III].[6])

Auth. 115. CXLVIII. **Nov. 120.**

Extat in Cod. Ambrosiano (Heimb. *Ἀνέκδ.* I p. LXXVI). reperiuntur eius capita integerve textus in Coll. XXV capit. c. 24, Coll. LXXXVII capit. c. 14—17. Proch. 15, 1. 5. 6, Epan. 10, 1. 2. 4. 5. 9—11, Basil. V, 2, 1—7. 9—13. — Summae: Iulian. c. 111 (qui paene textualiter graeca vertit), Athan. II, 2, Theod. Nov. 120, in Nomoc. XIV titt. 2, 1. 2. 10, 1. 11, 1, in Epitome 7, 40. 8, 8, in libro *αἱ ῥοπαὶ* 10, 3. 25, 19, denique in *Ἀνέκδ.* meis p. 218.

Περὶ ἐκποιήσεως καὶ ἐμφυτεύσεως ἐκκλησιαστικῶν πραγμάτων.[1])

Πολλῶν καὶ διαφόρων νόμων ἐπὶ ταῖς ἐκποιήσεσι καὶ ἐμφυτεύσεσι καὶ μισθώσεσι καὶ τῇ λοιπῇ διοικήσει τῶν ἐκ-

5) *τοιοῦτον* in Ven. deest. 6) Inclusa suppleo ex Athan. (*Δατ. νον. ἀπριλλ. βασιλείας ἰουστινιανοῦ τὸ ιη´ μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ´*) et Theod. (*ἐξεφωνήθη μηνὶ μαΐῳ* [sic] *μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ´*). quod Ath. et Theod. annum post cons. Basilii IV habent non III, ex singulari computatione temporis ortum esse videtur. caeterum Heimb. ex unico Cod. Authentici subscriptionem addit: Dat. III Id. Mart. Appione v. c. cons. quae subscriptio sane quadrat, si inscriptionem „Ioanni PP." quam nonnulli Codices habent pro genuina habueris. at refellitur testimonio reliquorum fontium.

1) In Ven. inscriptio non est. Hal. hanc exhibet: *ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων.* et Athan. Auth. similiter Petro inscribunt. in Cod. Ambrosiano autem Ioanni inscripta esse dicitur. — Ven. ad rubricam adscriptum habet: *τί. βι. κϛ´ τί. η´ διγ. δ´ ὅτι πολλῶν ὄντων*

κλησιαστικῶν πραγμάτων φοιτησάντων συνείδομεν πάντα τῷ παρόντι περιλαβεῖν νόμῳ.

α΄. Θεσπίζομεν τοίνυν, μηδεμίαν ἄδειαν ἔχειν τοὺς διοικοῦντας τὰ πράγματα τῆς κατὰ τὴν βασιλίδα πόλιν ἁγιωτάτης μεγάλης[2]) ἐκκλησίας ἢ ὀρφανοτροφείου ἢ ξενοδοχείου ἢ πτωχοτροφείου ἢ νοσοκομείου ἢ ἄλλου εὐαγοῦς οἴκου ἐν τῇ βασιλίδι πόλει ἤτοι τῇ ταύτης ἐνορίᾳ τυγχάνοντος (ἐξηρημένων μόνων τῶν εὐαγῶν μοναστηρίων) πιπράσκειν ἢ δωρεῖσθαι ἢ ἀνταλλάττειν ἢ ἐπὶ ἀντιδώρῳ διδόναι ἢ οἱῳδήποτε ἄλλῳ τρόπῳ ἐκποιεῖν πρᾶγμα ἀκίνητον ἢ πολιτικὴν σίτησιν ἢ γεωργικὸν ἀνδράποδον, εἰ μὴ πρὸς βασιλικὸν οἶκον ἡ ἀνταλλαγὴ γένηται μόνη· ἀλλ᾽ οὔτε παροικικῷ δικαίῳ δίδοσθαί τι συγχωροῦμεν. τὰς δὲ ἐμφυτεύσεις παρὰ τῆς εἰρημένης ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τῶν μνημονευθέντων εὐαγῶν οἴκων γίνεσθαι κελεύομεν ἐπί τε τῷ προσώπῳ αὐτοῦ τοῦ λαμβάνοντος καὶ ἄλλων δύο ἐφεξῆς κληρονόμων, μὴ πλέον ἕκτης μοίρας τοῦ ὑφεστῶτος[3]) κανόνος συγχωρουμένου τῷ τὴν ἐμφύτευσιν κομιζομένῳ. περὶ δὲ διαφερόντων προαστείων τῇ αὐτῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ τοῖς εἰρημένοις εὐαγέσιν οἴκοις τοῖς ἐπὶ τῆς βασιλίδος πόλεως ἢ τῆς αὐτῆς περιοικίδος οὖσι κελεύομεν, εἰ μὲν τὰ τοιαῦτα προάστεια πρόσοδον ἔχει, ἐπὶ ὁλοκλήρῳ τῷ κανόνι παρὰ τῶν διοικούντων τοὺς αὐτοὺς εὐαγεῖς τόπους εἰς ἐμφύτευσιν ταῦτα κατὰ τὸν εἰρημένον τρόπον τῷ λαμβάνοντι καὶ ἄλλαις δύο διαδοχαῖς δίδοσθαι, καὶ μηδένα παντελῶς κουφισμὸν ἀλλὰ καὶ προσθήκην γίνεσθαι. εἰ δὲ μὴ ἔχει ταῦτα[4]) τὰ προάστειά τινα παντελῶς

ἐπιτρόπων ἀρκεῖ καὶ ἡ τοῦ ἑνὸς αὐθεντία, quod quomodo huc pertineat nequeo divinare. — Flor. adnotat: βι. τῶν βασιλ. ε΄ τί. β΄ νεαρὰ ρκ΄. et addit (ex scholiis Basil. ut videtur) ἀνάγν. βι. κ΄ τῶν βασιλ. τί. β΄ περὶ ἁπλῆς ἐμφυτεύσεως et Theodori Nov. 120 §. 1—7. 2) Verbum μεγάλης Ven. omittit. 3) Coll. XXV capit. ἐφεστῶτος. sed et Athan. ὑφεστ. Auth.: *instantis*, sed Iulian. *subsistentis*. 4) Coll. XXV cap. τὰ αὐτά.

πρόσοδον, ἄδειαν παρέχομεν τοῖς διοικηταῖς τῶν εὐαγῶν τόπων ἐπί τινι ποσότητι ταῦτα ὡς προείρηται εἰς ἐμφύτευσιν διδόναι. [§. 1.] εἰ δὲ συμβαίη οἱονδήποτε πρᾶγμα ἔκ τινος τῶν εἰρημένων εὐαγῶν τόπων ἐμφυτευτικῷ δικαίῳ διδόμενον ἢ εἰς βασιλικὸν οἶκον ἢ εἰς τὸ θεῖον ἡμῶν ταμιεῖον ἢ εἰς πόλιν τινὰ ἢ εἰς[5]) βουλευτήριον ἢ εἰς ἄλλον τινὰ εὐαγῆ οἶκον περιελθεῖν, ἄδειαν παρέχομεν τοῖς διοικηταῖς τῶν εὐαγῶν τόπων ὑφ' ὧν ἐξ ἀρχῆς ἡ ἐμφύτευσις γέγονεν, ἡνίκα περιέλθῃ εἰς ἓν τῶν εἰρημένων προσώπων ἡ τοιαύτη ἐμφύτευσις, φανεροῦν τὴν ἑαυτῶν γνώμην εἴσω διετίας, καὶ ἢ παρ' ἐκείνοις καταλιμπάνειν τὸ αὐτὸ πρᾶγμα εἰς οὓς περιῆλθε[6]) καὶ τὴν ἐνιαυσιαίαν πρόσοδον τὴν τῷ πάκτῳ περιεχομένην κομίζεσθαι, ἢ τοῦτο ἀναλαμβάνειν τῆς ἐμφυτεύσεως λυομένης, εἴπερ τοῦτο λυσιτελὲς αὐτοῖς εἶναι νομίσαιεν. [§. 2.] εἰ δέ τινές εἰσι τόποι ἢ τῇ αὐτῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἤ τινι τῶν εἰρημένων εὐαγῶν οἴκων προσήκοντες, ἐν οἷς παλαιαὶ οἰκήσεις τυγχάνουσαι κατηνέχθησαν καὶ ἐξ ὧν οὐδεμία παρέχεται πρόσοδος, οἱ δὲ μνημονευθέντες εὐαγεῖς οἶκοι οἷς διαφέρουσιν οἱ τόποι τούτους ἀνοικοδομῆσαι μὴ δύνανται, ἄδειαν δίδομεν τοῖς τούτων διοικηταῖς τῷ τῆς ἐμφυτεύσεως διηνεκεῖ δικαίῳ ἐκδιδόναι τοὺς αὐτοὺς τόπους, οὕτω μέντοιγε ὥστε τὴν ἐμφύτευσιν ἢ ἐπὶ τρίτῃ μοίρᾳ τῶν στεγονομίων, ἅτινα ἐκ τῶν οἰκημάτων ἔτι ἑστώτων συνήγετο, ἐκ προοιμίων τοῦ χρόνου τοῦ ἐμφυτεύματος προϊέναι· ἢ εἴπερ ὁ ἐμφυτευτὴς βουληθείη μᾶλλον ἐπὶ τούτῳ τῷ ὅρῳ λαβεῖν τοὺς τόπους, ὥστε πρότερον οἰκοδομῆσαι καὶ ἐκ τῶν προσγινομένων ἐκεῖσε κατὰ διατίμησιν στεγονομίων τὸ ἥμισυ μέρος διδόναι τῷ εὐαγεῖ οἴκῳ ἐξ οὗ τοὺς αὐτοὺς τόπους λαμβάνει, καὶ τοῦτο γενέσθαι[7]) συγχωροῦμεν, κεχρη-

5) Praepositio non est in Ven. nec apud Hal. addidi ex Coll. XXV cap. cuius lectionem firmat Iulian. Ath. Theod. Auth. 6) Ven. παρῆλθε. 7) Coll. cit. Epan. et Bas. *γίνεσθαι.* non male.

σθαι δὲ τὸν τοιοῦτον ἐμφυτευτὴν καὶ ταῖς ἐκεῖσε εὑρισκομέναις ἐκ τῶν κατενεχθέντων οἰκημάτων ὕλαις.

β΄. Εἰ δέ τις βουληθείη οἱονδήποτε πρᾶγμα ἀκίνητον ὀνόματι χρήσεως λαβεῖν παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως ἢ ἑνὸς τῶν μνημονευθέντων εὐαγῶν οἴκων, μὴ ἄλλως τοῦτο λαμβανέτω, εἰ μὴ ἕτερον εὐθὺς πρᾶγμα δεσποτείας δικαίῳ παράσχῃ τῷ εὐαγεῖ οἴκῳ ἐξ οὗ τὸ αὐτὸ πρᾶγμα λαμβάνει, τοσαύτην ἔχον πρόσοδον ὁπόσην ἔχει τὸ πρᾶγμα ὅπερ αὐτῷ δίδοται καὶ μὴ πλείοσι δημοσίοις τελέσμασι βεβαρημένον, ὥστε μετὰ τὴν αὐτοῦ τελευτὴν ἢ μετὰ τὸν χρόνον ἐφ'[8]) ὃν ἡ δόσις τῆς χρήσεως συνήρεσε (μὴ ὑπερβαίνοντα δηλαδὴ τὴν τοῦ λαμβάνοντος ζωὴν) ἑκάτερον πρᾶγμα ἐπ' ἀκεραίῳ καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν εἰς τὸν αὐτὸν εὐαγῆ οἶκον περιελθεῖν.

γ΄. Τὰς μισθώσεις δὲ παρ' αὐτῶν τῶν εὐαγῶν οἴκων γίνεσθαι συγχωροῦμεν, εἰς οὓς ἂν τοῖς συναλλάττουσιν ἐνιαυτοὺς[9]) συναρέσοι, μὴ ὑπερβαινούσας[10]) δηλαδὴ τὸν τριακονταετῆ χρόνον.

δ΄. Εἰ δὲ συμβαίη τινὰ τῶν εἰρημένων εὐαγῶν οἴκων ὀνόματι δημοσίων συντελειῶν ἢ ἄλλης οἱασοῦν συμβαινούσης ἀνάγκης τῷ εὐαγεῖ οἴκῳ χρημάτων δεηθῆναι, ἐξεῖναι τοῖς τούτου διοικηταῖς ἀκίνητον πρᾶγμα ὑποτίθεσθαι καὶ δοῦναι εἰς ἰδικὸν ἐνέχυρον, ἵνα ὁ δανειστὴς νέμηται τὸ αὐτὸ πρᾶγμα καὶ τοὺς τούτου καρποὺς ἀναλέγηται καὶ λογίζηται ἑαυτῷ τὰ μὲν εἰς αὐτὰ τὰ δανεισθέντα χρήματα, τὰ δὲ εἰς τόκους μὴ πλείους τοῦ τετάρτου μέρους τῆς ἑκατοστῆς.[11]) εἰ δὲ καταβάλωσι τὸ χρέος οἱ προεστῶτες τοῦ αὐτοῦ εὐαγοῦς οἴκου ἢ ἐκ τῶν καρπῶν πληρωθῇ ὁ δανειστὴς, ἐπανελθεῖν πάλιν τὸ πρᾶγμα ἐπὶ τὸν εὐαγῆ οἶκον ἐξ οὗ καὶ δέδοται.

8) Ven. ὑφ'. 9) Ven. ἐνιαυτοῖς. 10) Hal. Epan. et Bas. ὑπερβαίνοντας. et ita habuit Auth. 11) Graeci ad l. 26 C. de usuris 4, 32 de huiusmodi usuris a venerabilibus domibus percipiendis loquuntur. vide etiam Bas. ed. Heimb. III p. 58 schol. s.

ε'. Τὰς δὲ ἐμφυτεύσεις καὶ ὑποθήκας καὶ τὰς ὑπὲρ πενταετίαν μισθώσεις βουλόμεθα γίνεσθαι παρὰ μὲν τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως γνώμῃ καὶ συναινέσει τοῦ μακαριωτάτου ταύτης ἀρχιεπισκόπου καὶ πατριάρχου, ὀμνύντων παρόντος αὐτοῦ τῶν τε θεοφιλεστάτων οἰκονόμων καὶ τῶν χαρτουλαρίων τῆς αὐτῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ὡς οὐ πρὸς περιγραφὴν τῶν ταύτης δικαίων τὸ συνάλλαγμα γίνεται· ἐπὶ δὲ τοῖς ἄλλοις εὐαγέσιν οἴκοις, εἰ μέν εἰσι χαρτουλάριοι, αὐτοὺς τὸν ἶσον τρόπον ὀμνύναι παρόντος τοῦ προεστῶτος τοῦ εὐαγοῦς οἴκου, εἰ δὲ μή εἰσι χαρτουλάριοι, αὐτοὺς τοὺς προεστῶτας τῶν εὐαγῶν οἴκων προκειμένων τῶν ἁγίων εὐαγγελίων τὸ συνάλλαγμα ποιεῖσθαι, ἐγγραφομένους μεθ' ὅρκου τοῖς τοιούτοις συμβολαίοις ὡς οὐ πρὸς βλάβην ἢ περιγραφὴν τοῦ εὐαγοῦς οἴκου γίνεται τὸ συνάλλαγμα. [§. 1.] τοῖς δὲ οἰκονόμοις καὶ ὀρφανοτρόφοις καὶ τοῖς τῶν λοιπῶν εὐαγῶν οἴκων διοικηταῖς ἔτι γε μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις καὶ τοῖς τούτων γονεῦσί τε καὶ παισὶ καὶ τοῖς ἄλλοις τοῖς κατὰ γένος αὐτοῖς ἢ ἐκ γαμικοῦ δικαίου συναπτομένοις ἀπαγορεύομεν ἐμφυτεύσεις τε καὶ μισθώσεις ἤγουν ὑποθήκας πραγμάτων τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων δι' ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου λαμβάνειν γινωσκόντων αὐτῶν, ὡς εἰ τοιοῦτό τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔσται καὶ πᾶσαν τὴν περιουσίαν αὐτῶν τε τῶν λαμβανόντων καὶ τῶν οἰκονόμων καὶ χαρτουλαρίων καὶ διοικητῶν, οἷς κατὰ τὸν εἰρημένον τρόπον συνάπτονται, εἰς τὸν εὐαγῆ οἶκον ἐξ οὗ τὸ πρᾶγμα λαμβάνουσι μετὰ τὴν αὐτῶν τελευτὴν περιελθεῖν κελεύομεν.

ϛ'. Καὶ ταῦτα μὲν ἐπὶ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ τῶν εἰρημένων εὐαγῶν οἴκων τῶν ἐν τῇ βασιλίδι πόλει καὶ τῇ αὐτῆς περιοικίδι τυγχανόντων διετυπώσαμεν. ἐπὶ δὲ ταῖς ἄλλαις ἁγιωτάταις ἐκκλησίαις καὶ μοναστηρίοις καὶ ξενῶσι καὶ νοσοκομείοις καὶ λοιποῖς εὐαγέσιν οἴκοις τοῖς ἐν ἁπάσαις ταῖς ἐπαρχίαις τῆς ἡμετέρας πολιτείας κειμένοις,

οὐ μὴν ἀλλὰ καὶ μοναστηρίοις ἐν τῇ βασιλίδι πόλει καὶ τῇ αὐτῆς περιοικίδι τυγχάνουσιν ἀκολούθως διορίσαι συνείδομεν. [§. 1.] *ἄδειαν τοίνυν δίδομεν τοῖς εἰρημένοις εὐαγέσιν οἴκοις μὴ μόνον πρόσκαιρον ἐμφύτευσιν ποιεῖσθαι*[12]) *τῶν ἀκινήτων πραγμάτων τῶν αὐτοῖς προσηκόντων, ἀλλὰ καὶ διηνεκῶς ταῦτα ἐμφυτευτικῷ δικαίῳ τοῖς βουλομένοις διδόναι. καὶ εἰ μὲν ἁγιώταται ὦσιν ἐκκλησίαι ἢ ἕτεροι εὐαγεῖς οἶκοι, ὧν τὴν διοίκησιν ὁ κατὰ τόπον ὁσιώτατος ἐπίσκοπος ἢ δι' ἑαυτοῦ ἢ διὰ τοῦ εὐαγοῦς αὐτοῦ κλήρου ποιεῖται, κατὰ γνώμην*[13]) *αὐτοῦ καὶ συναίνεσιν γίνεσθαι τὸ τοιοῦτο συνάλλαγμα, ὀμνύντων παρόντος αὐτοῦ τῶν οἰκονόμων καὶ διοικητῶν καὶ χαρτουλαρίων τοῦ αὐτοῦ εὐαγοῦς οἴκου, ὡς ἐκ ταύτης τῆς ἐμφυτεύσεως οὐδεμία ζημία τῷ αὐτῷ εὐαγεῖ οἴκῳ ἐπάγεται. εἰ δὲ πτωχεῖα ἢ ξενῶνες ἢ νοσοκομεῖα ἢ ἕτεροι εὐαγεῖς οἶκοι ὦσιν ἰδίαν διοίκησιν ἔχοντες, εἰ μὲν ἁγίους εὐκτηρίους οἴκους εἶναι συμβαίη, κατὰ γνώμην τοῦ πλείονος μέρους τῶν ἐκεῖσε λειτουργούντων κληρικῶν*[13a])*, οὐ μὴν ἀλλὰ καὶ τοῦ οἰκονόμου· εἰ δὲ ξενὼν ἢ πτωχεῖον ἢ νοσοκομεῖον ἢ ἕτερος εὐαγὴς οἶκος, τὸν προεστῶτα τούτων τὸ συνάλλαγμα ποιεῖσθαι, ὀμνύντων τῶν διοικητῶν τῶν αὐτῶν εὐαγῶν οἴκων ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου ἐπισκόπου παρ' οὗ προβάλλονται ἢ χειροτονοῦνται, ὡς οὐδὲν πρὸς βλάβην ἢ περιγραφὴν τῶν αὐτῶν εὐαγῶν οἴκων ἐπὶ τῷ τοιούτῳ συναλλάγματι γίνεται.* [§. 2.] *ἐπὶ δὲ τῶν εὐαγῶν μοναστηρίων τοὺς ἡγουμένους αὐτῶν μετὰ τοῦ πλείονος μέρους τῶν ἐκεῖσε λειτουργούντων μοναχῶν τὸ συνάλλαγμα ποιεῖσθαι. καὶ ἐπὶ τῶν εἰρημένων δὲ πάντων κελεύομεν ἐγγράφεσθαι τῷ συμβολαίῳ μεθ' ὅρκου, ὡς οὐ πρὸς βλάβην*

12) Ven. *γενέσθαι.* 13) Ven. *κατὰ τὴν γν.* idem tamen infra rectius articulum omittit. 13a) Iulian. addit: „contractus procedat." ego potius mox *τῶν προεστώτων* legerim; quamquam Ven. Flor. Auth. Iul. Coll. 25 capp. Bas. adeoque Epit. 7, 40 lectionem *τὸν προεστῶτα* firmant.

ἢ περιγραφὴν τῶν αὐτῶν εὐαγῶν οἴκων τὸ πρᾶγμα πράττεται. καὶ ταύτης δὲ τῆς παραφυλακῆς οὕτω προϊούσης κουφισμὸν μὴ πλείονα γίνεσθαι τοῦ ἕκτου μέρους τῆς προσόδου, ἣν ἔχει τὸ εἰς ἐμφύτευσιν διδόμενον πρᾶγμα. ὅσα δὲ περὶ τῶν καταπεπτωκότων οἴκων τῶν προσηκόντων τοῖς εὐαγέσιν οἴκοις τοῖς ἐν τῇ βασιλίδι πόλει κειμένοις ἀνωτέρω διετυπώσαμεν, ταῦτα καὶ ἐπὶ τούτων[14]) τῶν εὐαγῶν οἴκων κρατεῖν παρακελευόμεθα. καὶ τοῦτο δὲ ἐπὶ τῶν αὐτῶν[15]) εὐαγῶν οἴκων διατυπῶσαι συνείδομεν, ὥστε εἴ τινες ἐξ αὐτῶν εἴτε ὑπὲρ δημοσίων συντελειῶν εἴτε ὑπὲρ ἄλλης ἀναγκαίας αἰτίας τοῦ αὐτοῦ οἴκου χρέεσιν ἔνοχοι γένωνται, καὶ οὐκ ἔστι δυνατὸν ἐκ πραγμάτων κινητῶν τὰ αὐτὰ διαλυθῆναι χρέα, κατὰ πρώτην μὲν τάξιν εἰς ἰδικὸν ἐνέχυρον δίδοσθαι ἀκίνητον πρᾶγμα τῷ δανειστῇ, ἵνα τοὺς τούτου καρποὺς ἀναλεγόμενος καταλογίζηται ἑαυτῷ τὰ μὲν εἰς αὐτὰ τὰ δανεισθέντα χρήματα, τὰ δὲ εἰς τόκους οὐ πλείονας τοῦ τετάρτου μέρους τῆς ἑκατοστῆς. εἰ δὲ μὴ δυνηθῶσι τούτῳ τῷ τρόπῳ διαλῦσαι τὸ χρέος, κελεύομεν τοὺς μὲν ὑπὸ τῶν ἁγιωτάτων πατριαρχῶν χειροτονουμένους, εἴτε μητροπολῖται εἴτε ἐπίσκοποι ὦσιν εἴτε ἀρχιμανδρῖται εἴτε ὀρφανοτρόφοι ἢ πτωχοτρόφοι ἢ ξενοδόχοι ἢ νοσοκόμοι ἢ ἄλλων εὐαγῶν οἴκων διοικηταὶ, παρ' αὐτοῖς τοῖς ἁγιωτάτοις πατριάρχαις ὑφ' ὧν χειροτονοῦνται ἢ προβάλλονται ὑπομνήματα ποιεῖσθαι, καὶ μεθ' ὅρκου τῶν διοικητῶν καὶ συναινέσεως τοῦ πλείονος μέρους τῶν ἐν αὐτοῖς λειτουργούντων τὸ χρέος γίνεσθαι φανερὸν καὶ ὅτι οὐκ ἔστι δυνατὸν ἐκ πράγματος κινητοῦ τοῦτο διαλυθῆναι· τοὺς δὲ ὑπὸ μητροπολιτῶν ἐπισκόπων[16]) χειροτονουμένους, εἴτε ἐπίσκοποι ὦσιν εἴτε ἀρχι-

14) Deest in Ven. et Flor. supplevi ex Coll. 25 capp. Auth. (*his*) Iulian. (*istis*). 15) In Ven. et Flor. αὐτῶν deest. addo ex Coll. 25 cap. Auth. (*ipsis*) Iulian. (*eaedem*). 16) Ven. et Flor. Bas. ἢ ἐπισκ. Auth. omittit. Iulian.: a metropolitanis episcopis.

μανδρῖται εἴτε ὀρφανοτρόφοι εἴτε πτωχοτρόφοι ἢ ἄλλων εὐαγῶν οἴκων διοικηταί, παρ' αὐτοῖς ὁμοίως τοῖς μητροπολίταις ἐπισκόποις[17]) *τὰ τοιαῦτα ὑπομνήματα συγγράφειν· παρ' ἐκείνοις δὲ τοῖς ἐπισκόποις, οἵτινες ἢ παρὰ πατριαρχῶν ἢ παρὰ μητροπολιτῶν ἐπίσκοποι*[18]) *χειροτονοῦνται, καὶ ἔχουσιν ὑπὸ τὴν ἰδίαν δικαιοδοσίαν ἢ μοναστήρια ἢ πτωχεῖα ἢ ξενῶνας ἢ νοσοκομεῖα ἢ ἄλλους εὐαγεῖς οἴκους, κατὰ τὸν ὅμοιον τρόπον τὰ ὑπομνήματα γίνεσθαι, οὕτω μέντοιγε, ὥστε εἴτε παρὰ πατριάρχαις εἴτε παρὰ μητροπολίταις εἴτε παρ' ἄλλοις ἐπισκόποις τὰ τοιαῦτα ὑπομνήματα πράττεται, μηδεμίαν ὑπὲρ αὐτῶν ζημίαν ἢ δαπάνην τοὺς εὐαγεῖς οἴκους ὑφίστασθαι. διὰ τοῦτο γὰρ οὐ βουλόμεθα τοῦ λοιποῦ παρὰ τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν ἢ τοῖς ἐκδίκοις τῶν τόπων τὰ τοιαῦτα ὑπομνήματα παρὰ τῶν μνημονευθέντων προσώπων ἤγουν οἴκων πράττεσθαι, ἵνα μηδεμίαν ζημίαν ὑφίστανται. μετὰ δὲ τὸ οὕτως ταῦτα παρακολουθῆσαι παρὰ τοῖς μνημονευθεῖσιν ἁγιωτάτοις πατριάρχαις ἢ μητροπολίταις ἢ ἄλλοις ἐπισκόποις, τηνικαῦτα τοὺς εἰρημένους διοικητὰς τοῦ ἐποφείλοντος*[19]) *εὐαγοῦς*[20]) *οἴκου ἐγγράφως*[20a]) *ἐν δημοσίῳ τῆς πόλεως τόπῳ προτιθέναι ἐπὶ εἴκοσιν ἡμέρας, καὶ τούτῳ τῷ τρόπῳ προτρέπειν τοὺς ἀγοράσαι βουλομένους τὸ ἀκίνητον πρᾶγμα ἵνα ὁ τὸ πλεῖον παρέχων τῶν ἄλλων προτιμηθῇ. τούτων δὲ πάντων προϊόντων τὴν πρᾶσιν γίνεσθαι τοῦ τιμήματος πᾶσι τρόποις ὑπὲρ τοῦ ὀφλήματος διδομένου, ἵνα μὴ ἄλλως ἔχοι ὁ ἀγοραστὴς τὸ ἀσφαλές, εἰ μὴ τὸ τίμημα ὑπὲρ αὐτοῦ τοῦ χρέους καταβάλῃ, καὶ τοῦτο ῥητῶς ἐγγραφῇ μεθ' ὅρκου τῇ ὠνεακῇ συγγραφῇ, καὶ ὅτι οὐδὲν πρὸς βλάβην ἢ*

17) Ven. et Flor. Bas. *ἢ ἐπισκ.* quod ex Coll. cit. Auth Iul. emendavi. 18) Coll. 25 cap. *ἢ ἐπισκόπων.* Auth. et Iulian. *a metropolitis episcopis.* 19) Ita reposui ex Coll. cit. adstipulantibus Auth. (*debitricis*) et *Iul.* (*cui debitum imminet*). Ven. et Flor. *ἐπ' ὠφελείᾳ ὄντος.* 20) Flor. *τοῦ εὐαγοῦς οἴκου.* Ven. *τοῦ οἴκου.* 20a) Hal. *ἔγγραφον.* sed lectionem *ἐγγράφως* etiam Iul. et Auth. firmant.

περιγραφὴν τοῦ αὐτοῦ εὐαγοῦς οἴκου γίνεται. εἰ δὲ κατὰ τὸν εἰρημένον τρόπον ἀγοραστὴς τοιούτου[21]) πράγματος μὴ εὑρεθῇ, κελεύομεν τὸν ὀφειλόμενον ἔκ τινος τῶν εἰρημένων εὐαγῶν οἴκων τῷ δικαίῳ ὅπερ pro soluto[22]) λέγεται τὴν αὐτὴν λαμβάνειν κτῆσιν, δικαίας καὶ ἀκριβοῦς διατιμήσεως γινομένης καὶ προστιθεμένης τῷ τιμήματι τῆς δεκάτης μοίρας τοῦ παντὸς τιμήματος εἰς αὐτὴν[23]) τὴν ποσότητα, καὶ λαμβάνειν τὸ πρᾶγμα τὸν δανειστὴν ἀντὶ καταβολῆς βεβαίᾳ δεσποτείᾳ κτηθησόμενον, οὕτω μέντοιγε, ὥστε τοὺς διοικητὰς τοῦ ἐποφείλοντος εὐαγοῦς οἴκου καὶ τὸ πλέον μέρος τῶν ἐν αὐτῷ λειτουργούντων ταῖς τοιαύταις πράσεσι συναινεῖν. τὸ δὲ παρεχόμενον ἐπὶ τούτῳ ἀκίνητον πρᾶγμα μὴ κατ' ἐπιλογὴν τοῦ δανειστοῦ δίδοσθαι, ἀλλὰ κατὰ τὴν ἰσότητα τοῦτο μὲν τῶν εὐπόρων τοῦτο δὲ καὶ ἀπόρων κτήσεων τοῦ αὐτοῦ εὐαγοῦς οἴκου, καὶ τῆς τούτων προσόδου καὶ δημοσίων καὶ τῆς λοιπῆς καταστάσεως. [§. 3.] εἰ δέ τις ἢ ἐπίσκοπος ἢ οἰκονόμος ἢ διοικητὴς οἱουδήποτε εὐαγοῦς οἴκου εἴτε ἐν τῇ βασιλίδι πόλει εἴτε ἐν ταῖς ἐπαρχίαις κειμένου χρήματα ἐδανείσατο ἢ μετὰ ταῦτα δανείσεται, κελεύομεν μηδὲ αὐτοῖς ταῦτα καταλογίζεσθαι ὑπὸ[24]) τοῦ εὐαγοῦς οἴκου, εἰ μὴ πρότερον δείξουσιν, ὅτι εἰς χρείας τοῦ εἰρημένου εὐαγοῦς οἴκου ταῦτα προεχώρησε, μήτε αὐτὸν τὸν δανειστὴν ἢ τοὺς κληρονόμους αὐτοῦ κατὰ τοῦ εὐαγοῦς οἴκου ἔχειν τινὰ ὑπὲρ αὐτῶν ἀγωγὴν, εἰ μὴ δείξουσιν, ὡς εἰς αἰτίας τῷ εὐαγεῖ οἴκῳ προσηκούσας τὰ χρήματα προεχώρησεν, ἀλλὰ κατὰ τοῦ δανεισαμένου τὰ χρήματα καὶ[25]) τῶν αὐτοῦ κληρονόμων τὰς ἰδίας κινεῖν ἐναγωγάς.

ζ'. Καὶ τοῦτο δὲ κελεύομεν, ὥστε ἐξῃρημένης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τοῦ

21) Coll. 25 cap. et Hal. *τοῦ τοιούτου*. non male. 22) Ven. inter lineas: *προτιμήσεως*. et ita habent Basilica. 23) Coll. cit. *εἰς ταύτην*. quod praetulerim. 24) Coll. cit. et Bas. *ὑπὲρ*, ut et Auth. legit. 25) Coll. cit. *ἢ*. sic Auth. et Iul.

εὐαγοῦς ὀρφανοτροφείου καὶ ξενώνων καὶ πτωχείων τῶν ἐν τῇ βασιλίδι πόλει καὶ ὑπὸ τὴν αὐτῆς ὄντων ἐνορίαν ἐξεῖναι πάσαις ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς εὐαγέσιν οἴκοις, οὐ μὴν ἀλλὰ καὶ μοναστηρίοις ἔν τε τῇ βασιλίδι πόλει καὶ ἐν διαφόροις ἐπαρχίαις κειμένοις, ἀνταλλαγὰς πρὸς ἀλλήλους ποιεῖσθαι, ὅταν ἑκατέρῳ εὐαγεῖ οἴκῳ φυλάττηται τὸ ἀζήμιον, συναινούντων ἐγγράφως ἢ διὰ καταθέσεως τῷ τοιούτῳ συναλλάγματι οὐ μόνον τῶν διοικητῶν ἑκατέρου εὐαγοῦς οἴκου ἀλλὰ καὶ τοῦ πλείονος μέρους τῶν ἐν αὐτοῖς λειτουργούντων. τὰ δὲ ἀπὸ βασιλικοῦ οἴκου εἰς οἱονδήποτε εὐαγῆ τόπον[26] *περιελθόντα ἢ μετὰ ταῦτα περιελευσόμενα κατ᾽ οὐδένα τρόπον πιπράσκεσθαι ἢ ὑποτίθεσθαι ἢ ἀνταλλάττεσθαι ἢ ὅλως ἐκποιεῖσθαι*[27] *συγχωροῦμεν, οὐδὲ εἰ πρὸς ἀλλήλους οἱ εὐαγεῖς οἶκοι τοιοῦτό τι πράξαιεν.* [§. 1.] *ἐπειδὴ δὲ ἔγνωμεν παρά τινων γίνεσθαι καὶ ἐκποιήσεις μοναστηρίων ἐπὶ τῷ ταῦτα ἀπὸ ἱερατικοῦ σχήματος εἰς ἰδιωτικὴν διαγωγὴν μετασχηματίζεσθαι, καὶ τοῦτο πᾶσι τρόποις κωλύομεν. εἰ δέ τι τοιοῦτο γενόμενον εὑρεθείη, ἄδειαν παρέχομεν τῷ κατὰ τὸν τόπον ὁσιωτάτῳ ἐπισκόπῳ τὸ τοιοῦτον μοναστήριον ἐκδικεῖν καὶ εἰς τὸ ἀρχαῖον σχῆμα ἐπανάγειν. εἰ δέ τις ἐκ τῶν εἰρημένων εὐαγῶν οἴκων, τῶν τε ἐν τῇ βασιλίδι πόλει τῶν τε ἐν ταῖς ἐπαρχίαις ὄντων (ἐξῃρημένης τῆς ἁγιωτάτης μεγάλης*[28] *ἐκκλησίας τῆς βασιλίδος πόλεως), κτῆσιν ἔχοι πολλοῖς δημοσίοις τελέσμασι βεβαρημένην, ἐξ ἧς οὐδεμία εἰσάγεται πρόσοδος τῷ εὐαγεῖ οἴκῳ, ἄδειαν παρέχομεν τοῖς τοῦ αὐτοῦ εὐαγοῦς οἴκου διοικηταῖς τὴν τοιαύτην κτῆσιν ἐκποιεῖν ἐν*[29] *οἱῳδήποτε τρόπῳ βουληθεῖεν πρὸς τὸ λυσιτελὲς τοῦ αὐτοῦ εὐαγοῦς οἴκου, ὑπομνημάτων δηλαδὴ καὶ*

26) Flor. *οἶκον.* 27) Ven. Flor. et Coll. cit. cum Bas. *ὑποκεῖσθαι.* sed Auth. „omnino alienari". Iul. „quocunque modo alienari". Coll. 87. capp. *ἐκποιεῖσθαι.* Theod. *ἐκποιεῖται.* Athan. *ἐκποιείσθω.* 28) Ven. *μεγ.* omittit. 29) In Coll. 25 cap. *ἐν* deest. nec agnosci videtur a Iul. et Auth.

ἐπὶ τῇ τοιαύτῃ ἐκποιήσει πραττομένων παρ' ἐκείνοις, ἀφ'[30]) ὧν οἱ διοικηταὶ τῶν τοιούτων τόπων προβάλλονται ἢ χειροτονοῦνται, καὶ ὀμνύντων ἐπὶ τῶν ἁγίων γραφῶν τῶν προεστώτων τοῦ τοιούτου εὐαγοῦς οἴκου καὶ τοῦ πλείονος μέρους τῶν ἐν αὐτῷ λειτουργούντων, ὡς οὐδὲ κατὰ προδοσίαν οὐδὲ πρὸς χάριν ἢ οἱανδήποτε περιγραφὴν ἡ ἐκποίησις γίνεται, ἀλλὰ διὰ τὸ φυλαχθῆναι τὸ ἀβλαβὲς τῷ αὐτῷ εὐαγεῖ οἴκῳ. τοῖς δὲ οἰκονόμοις καὶ διοικηταῖς καὶ χαρτουλαρίοις τῶν ὁπουδήποτε ὄντων εὐαγῶν οἴκων καὶ τοῖς αὐτῶν γονεῦσί τε καὶ παισὶ καὶ τοῖς ἄλλοις τοῖς ἢ κατὰ γένος ἢ κατὰ γαμικὸν δίκαιον αὐτοῖς συναπτομένοις μισθώσεις ἢ ἐμφυτεύσεις ἢ ἀγορασίας ἢ ὑποθήκας πραγμάτων ἀκινήτων τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων ὑπεισιέναι ἢ δι' ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου, καθὰ καὶ τοῖς ἐν τῇ βασιλίδι πόλει οὖσιν, ἐπὶ ταῖς αὐταῖς ποιναῖς ἀπαγορεύομεν.

η'. Εἰ δέ τις ἢ μισθωτὴς[31]) ἢ ἐμφυτευτὴς πράγματος διαφέροντος ἢ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἢ ἑτέρῳ εὐαγεῖ οἴκῳ ἐν οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας κειμένῳ ἢ χεῖρον ποιήσει τὸ πρᾶγμα ὅπερ[32]) ἢ ἔλαβεν ἢ μετὰ ταῦτα λάβοι, ἢ ἐπὶ διετίαν μὴ καταβάλῃ τὸν παρ' αὐτοῦ ὁμολογηθέντα ἐμφυτευτικὸν ἢ μισθωτικὸν κανόνα, δίδομεν ἄδειαν τῷ εὐαγεῖ οἴκῳ, ἐξ οὗ ἡ μίσθωσις ἢ ἡ ἐμφύτευσις γέγονε, καὶ τὰ ὀφειλόμενα τούτῳ[32a]) ὑπὲρ τοῦ προλαβόντος χρόνου καὶ τὴν ἀρχαίαν κατάστασιν τοῦ μισθωθέντος ἤτοι ἐμφυτευθέντος πράγματος ἀπαιτεῖν, καὶ ἐκβάλλειν τῆς ἐμφυτεύσεως ἤτοι μισθώσεως, μὴ δυνάμενον περὶ ἐμπονημάτων ἀγωγήν τινα κατὰ τῶν εὐαγῶν οἴκων κινεῖν. εἰ δὲ μὴ βούλοιντο οἱ τούτων διοικηταὶ ἐκβάλλειν τοῦτον, ἀπαιτεῖσθαι μὲν αὐτὸν παρακελευόμεθα ἅπερ ἐκ τῆς μισθώ-

30) ὑφ'? sic supra. 31) Sic Coll. 25 cap. Ath. Theod. Bas. — Ven. et Hal. *μισθωτός*. 32) Auth. legit *παρ' ὅπερ*. 32[a]) *τοῦτον*? Coll. 25 capp. in nonnullis *τούτων*. Auth. *μόνον* legisse videtur.

σεως ἤτοι ἐμφυτεύσεως ἐποφείλειν γινώσκεται, μέχρι δὲ τὸν ὁρισθέντα χρόνον περαιώσει τὸ δεδομένον αὐτῷ πρᾶγμα κρατεῖν αὐτὸν καὶ τὰ συνδόξαντα διδόναι. εἰ δὲ ἀποφύγοι, ἄδειαν παρέχομεν τοῖς προεστῶσι τῶν αὐτῶν εὐαγῶν τόπων τὸ ἀζήμιον τοῖς εὐαγέσιν οἴκοις ἐκ τῶν ἐκείνου πραγμάτων περιποιεῖν, μὴ δυναμένου μηδὲ ἐνταῦθα περὶ ἐμπονημάτων τὶ προτιθέναι.

θ΄. Ταῖς δὲ ἁγιωτάταις ἐκκλησίαις Ὀδύσσου[33]) *καὶ Τομέως τῶν πόλεων ἐπιτρέπομεν ἐκποιεῖν πράγματα ἀκίνητα ὑπὲρ τῆς τῶν αἰχμαλώτων ἀναῤῥύσεως, πλὴν εἰ μὴ ἐπὶ ταύτῃ τῇ αἱρέσει*[34]) *κτήσεις τινὲς αὐταῖς ἐδόθησαν, ἐφ᾽ ᾧ κατὰ μηδένα τρόπον ταύτας ἐκποιεῖσθαι. καὶ τοῦτο δὲ συγχωροῦμεν, ὥστε τὴν κατὰ τῶν Ἱεροσολυμιτῶν ἁγιωτάτην ἐκκλησίαν ἄδειαν ἔχειν τοὺς οἴκους τοὺς αὐτῇ προσήκοντας καὶ κειμένους ἐν τῇ αὐτῇ ἁγίᾳ πόλει πιπράσκειν μὴ ἐπ᾽ ἐλάττονι τιμήματι, ἤπερ ἐκ τῶν ἐνοικίων αὐτῶν ἐπὶ πεντήκοντα ἐνιαυτοὺς συνάγεται, ὥστε ἐκ τῆς τούτων τιμῆς ἄλλην πρόσοδον καλλίονα ὠνεῖσθαι. εἰ δέ τινες οἱῳδήποτε εὐαγεῖ οἴκῳ εἴτε ἐν τῇ βασιλίδι πόλει εἴτε ἐν ταῖς ἐπαρχίαις κειμένῳ ἀπόρους κτήσεις δωρήσονται ἢ πωλήσουσιν ἢ ἄλλῳ τρόπῳ παράσχωσιν ἢ καταλείψουσι, κελεύομεν ὑπὲρ τῶν τοιούτων πραγμάτων μηδεμίαν βλάβην ὑπομένειν τὸν εὐαγῆ οἶκον εἰς ὃν ἡ τοιαύτη κτῆσις περιῆλθεν, ἢ δημοσίων ὀνόματι ἢ ἄλλης οἱασδήποτε αἰτίας χάριν βαρύνεσθαι, ἀλλ᾽ ἅπαν τὸ τοιοῦτον βάρος εἰς τοὺς δεδωκότας καὶ τοὺς αὐτῶν κληρονόμους ἐπανιέναι, ἀναγκαζομένους ἀναλαβεῖν τὰς δεδομένας τοιαύτας κτήσεις, καὶ ἀποκαθιστᾶν ἐκ τῆς ἰδίας περιουσίας τῷ εὐαγεῖ οἴκῳ πᾶσαν ζημίαν ἐκ τοιαύτης αἰτίας αὐτῷ συμβαίνουσαν. εἰ δὲ καὶ τοιοῦτος δόλος ἐν τῷ πράγματι παρακολουθήσοι ὥστε καί τινα χρήματα ὑπὲρ τούτου τῷ εὐαγεῖ οἴκῳ δοθῆναι, καὶ ταῦτα κελεύομεν εἰς ἴδιον*

33) Sic Ven. et Flor. et reliqui omnes. 34) Ven. *προαιρέσει.*

κέρδος αὐτὸν τὸν εὐαγῆ οἶκον ἔχειν, τὰ ἄπορα δὲ πράγματα τῷ δεδωκότι καὶ τοῖς αὐτοῦ κληρονόμοις παντὶ τρόπῳ ἀποκαταστῆναι. [§. 1.] πρὸς τούτοις κελεύομεν, ὥστε μηδεμίαν ἀνάγκην ταῖς ἁγιωτάταις ἐκκλησίαις ἢ τοῖς ἄλλοις εὐαγέσι τόποις ἔν τε τῇ βασιλίδι πόλει καὶ ἐν πάσαις ταῖς τῆς ἡμετέρας πολιτείας ἐπαρχίαις κειμένοις[35]) ἐπάγεσθαι κτήσεις ἀπόρους ἢ εὐπόρους ὁπουδήποτε κειμένας ὠνεῖσθαι, ἵνα μὴ εὑρεθῶσι διὰ ταύτην τὴν πρόφασιν καὶ ἃς ἔχουσιν ἀπολλύντες ἢ χρέεσιν ἐνεχόμενοι. εἰ δέ τις βουληθείη πρᾶγμα ἀκίνητον ὀνόματι χρήσεως λαβεῖν παρά τινος τῶν εἰρημένων εὐαγῶν οἴκων (καθὰ καὶ ἀνωτέρω περὶ τῶν εὐαγῶν οἴκων τῶν ἐν τῇ βασιλίδι πόλει κειμένων διετυπώσαμεν), μὴ ἄλλως τοῦτο λαμβανέτω, εἰ μὴ ἕτερον εὐθὺς πρᾶγμα δεσποτείας δικαίῳ παράσχῃ τῷ εὐαγεῖ οἴκῳ, ἐξ οὗ τὸ αὐτὸ πρᾶγμα λαμβάνει, τοσαύτην ἔχον πρόσοδον, ὁπόσην ἔχει τὸ πρᾶγμα ὅπερ αὐτῷ δίδοται, καὶ μὴ πλείοσι τελέσμασι βεβαρημένον, ὥστε μετὰ τὴν ἐκείνου τελευτὴν ἢ τὸν χρόνον ἐφ' ὃν ἡ δόσις τῆς χρήσεως συνήρεσε (μὴ ὑπερβαίνοντα δηλαδὴ τὴν τοῦ λαμβάνοντος ζωὴν), ἑκάτερον πρᾶγμα ἐπ' ἀκεραίῳ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν εἰς τὸν αὐτὸν εὐαγῆ οἶκον περιελθεῖν. καὶ ταῦτα μὲν περὶ τῶν ἀκινήτων πραγμάτων ἐκελεύσαμεν.

ι'. Περὶ δὲ τῶν ἱερῶν σκευῶν τῶν διαφερόντων τῇ αὐτῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τῆς βασιλίδος πόλεως ἢ τοῖς ἄλλοις εὐκτηρίοις οἴκοις ἐν οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας κειμένοις γενικῶς διατυποῦμεν, ὥστε μὴ ἄλλως ταῦτα πιπράσκεσθαι ἢ ὑποτίθεσθαι εἰ μὴ ὑπὲρ τῆς τῶν αἰχμαλώτων ἀναῤῥύσεως. εἰ δὲ πλείονα σκεύη ἔν τινι τῶν μνημονευθέντων εὐαγῶν οἴκων εἴη εἰς μηδεμίαν ἀναγκαίαν χρῆσιν ποιοῦντα, καὶ συμβῇ τὸν τοιοῦτον εὐαγῆ τόπον χρέεσι βαρύνεσθαι, καὶ οὐκ ἔστιν ἄλλα κινητὰ πράγματα ἐξ ὧν ὀφείλει

35) Ven. hic repetit verbum ἀνάγκην. Scr. propterea priori loco ἀνάγκην omisit.

τα χρέα ἀποδοθῆναι, ἄδειαν αὐτοῖς δίδομεν πράξεως ὑπομνημάτων ὡς ἀνωτέρω εἴρηται συνισταμένης τὰ εὑρισκόμενα περιττὰ σκεύη ἢ ἄλλοις εὐαγέσι τόποις χρείαν ἔχουσι πωλεῖν, ἢ χωνεύειν καὶ ὁμοίως πιπράσκειν, καὶ τὴν αὐτῶν τιμὴν εἰς τὸ χρέος παρέχειν, ὥστε μὴ τὰ ἀκίνητα πράγματα ἐκποιεῖσθαι.

ια΄. Εἰ δὲ παρὰ τὰ διηγορευμένα ἡμῖν τῷ παρόντι νόμῳ συνάλλαγμά τι γένηται ἐπὶ τοῖς διαφέρουσι πράγμασι κινητοῖς τε καὶ ἀκινήτοις ἑνὶ τῶν εἰρημένων εὐαγῶν οἴκων, ἀναδιδόσθω[36]*) μὲν τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἤτοι τῷ εὐαγεῖ οἴκῳ τὸ πρᾶγμα ἐφ᾽ ᾧ τοιοῦτό τι παρηκολούθησε μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν, μενέτω δὲ παρ᾽ αὐτῇ καὶ τὸ τίμημα ἢ τὸ ἀντίδωρον ἢ τὸ ὑπὲρ ἀμείψεως ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῷ δεδομένον. εἰ δὲ ἐμφύτευσις πραχθείη παρὰ τὰ διηγορευμένα ἡμῖν, ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἢ τοῖς εὐαγέσι τόποις τὸ αὐτὸ πρᾶγμα κελεύομεν, καὶ τὸν ἐμφυτευτὴν τὸ πάκτον τελεῖν κατὰ τὴν δύναμιν τῶν ἐμφυτευτικῶν συμβολαίων. εἰ δὲ δωρηθείη πρᾶγμα ἐκκλησιαστικὸν ἢ ἑτέρου εὐαγοῦς οἴκου, καὶ αὐτὸ ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἢ τοῖς ἄλλοις εὐαγέσι τόποις μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν, καὶ τοσοῦτον ἕτερον ὅσου*[37]*) ἄξιόν ἐστι τὸ αὐτὸ πρᾶγμα. εἰ δὲ ὑποθήκη παρὰ ταῦτα δοθείη, ὁ δανειστὴς τὸ ἐποφειλόμενον ἀπολλύτω καὶ τὸ αὐτὸ πρᾶγμα τῷ εὐαγεῖ τόπῳ ἀποδιδότω. τῶν συμβολαιογράφων τῶν θαῤῥούντων παρὰ τόνδε ἡμῶν τὸν νόμον τοιούτοις ὑπουργεῖν συμβολαίοις διηνεκεῖ ἐξορίᾳ καταδικαζομένων. εἰ δέ τι πρὸ τούτου τοῦ νόμου κατὰ τὰς παλαιὰς διατάξεις γέγονε, κελεύομεν τοῦτο πᾶσι τρόποις τὴν ἰδίαν ἔχειν ἰσχύν. πάντα δὲ, ὅσα παρὰ τοὺς παλαιοὺς νόμους γέγονεν, ἀνατραπῆναι θεσπίζομεν, καὶ τὰ πράγματα τὰ παρὰ τὴν δύναμιν αὐτῶν δεδομένα τοῖς εὐαγέσιν οἴκοις ἀναδίδοσθαι, τοῦ*

36) Ita Coll. 25 capp. — Ven. Hal. Bas. *ἀναδίδοσθαι.*
37) Hal. *ὅσον.*

δὲ λοιποῦ κατὰ τὸν παρόντα νόμον πάντα γίνεσθαι διατυποῦμεν, σχολαζουσῶν μετὰ ταῦτα πασῶν τῶν ἄλλων διατάξεων τῶν ἐπὶ τοῖς τοιούτοις θέμασι πρῴην φοιτησασῶν.

Ἡ ὑπεροχὴ τοίνυν ἡ σὴ ἅπερ διὰ τοῦ παρόντος νόμου εἰς τὸ διηνεκὲς ἰσχύσοντος ἡ ἡμετέρα ἐθέσπισε γαληνότης ἄτρωτα παραφυλάξαι σπουδασάτω, ἐδίκτων ἐν τοῖς συνήθεσι καὶ μόνον[38]) τόποις ἐπὶ δέκα ἡμέρας προτιθεμένων, καὶ μηδενὸς ὑπὲρ ταύτης τῆς αἰτίας ἐν ταῖς ἐπαρχίαις στελλομένου. ἡμεῖς γὰρ προνοοῦμεν, ποίῳ τρόπῳ δίχα τῆς τῶν ὑπηκόων συντελεστῶν τε βλάβης πᾶσιν ἡ παροῦσα ἡμῶν γενικὴ διάταξις ἐμφανὴς κατασταίη. D. VII Id. Mai.[39]) CP. DN. Iust. PP. A. anno XVIII post Basilii v. c. cons. anno III.[40])

CXLIX. Nov. 158.

Summae: Ath. IX, 13 (cf. Ἀνεκδ. p. 223), Theod. Nov. 158 (quae in Basil. 35, 18, 1 transiit) et Epitome tit. 3 schol. 16. — Inscriptionem praestat Athanas.: Ὁ αὐτὸς βασιλεύς.

Περὶ τοῦ παραπέμπεσθαι τὸ τῆς διασκέψεως δίκαιον καὶ ἐπὶ ἀνήβων.

Δέησις ἡμῖν ἀνεγνώσθη[1]) Θέκλας τῆς καὶ Μανοῦς[2]), διδάσκουσα Θέκλαν τινὰ καταλῦσαι τὸν βίον ἐπὶ Σεργίᾳ θυγατρὶ τὴν ἄνηβον ἡλικίαν ἀγούσῃ, ἑκκαίδεκά τε μόλις ἡμέρας ἐπιζήσασαν τῇ μητρὶ τὴν παῖδα τελευτῆσαι ἐπὶ τῆς ἔναγχος συμβάσης τῶν ἀνθρώπων φθορᾶς.[3]) καὶ ἀδελφὴν μὲν τὴν ὑμῶν δεηθεῖσαν καθεστάναι φησὶ τῷ Σεργίας πατρί, Κοσμᾶν δὲ τὸν Θέκλας ἀδελφὸν ἀντιποιήσασθαι τοῦ Σερ-

38) Hal. νομίμοις. 39) Ath. ἰδ. ἰουν. Theod. μηνὶ ἰουλίῳ. Coll. cit. IV Id. Mai. 40) Annos quos Ven. non habet, supplevi ex Coll. 25 capp. Iuliano. Athan. (auctoritate lectionum a Fabroto et Leunclavio prolatarum) et Theodoro, qui insuper ἰνδ. ζʹ addit.

1) Flor. ἀνενέχθη. 2) Flor. θέκλης τῆς καὶ μαννοῦς. Ath. μάννους vel μάνου. 3) Τὸ μέγα θανάσιμον anni 541 et 542.

γίας κλήρου, καὶ δίκην αὐτῇ ὑπὲρ τούτου λαχεῖν. τὴν δὲ, ὡς ἄν γε μὴ περὶ τῶν οὐκ ὀρθῶς ἐχόντων[4]) *φιλονεικοίη, γενέσθαι πρὸς Ἰωάννην συνήγορον τῆς ἐπὶ χώρας ἀγορᾶς, καὶ πυθέσθαι τούτου περὶ τῶν νόμων τῶν τὴν ὑπόθεσιν ταύτην ὁρώντων, κἀκεῖνον ἐν γράμμασιν ἀπόκρισιν αὐτῇ παρασχεῖν, δηλοῦντα δι' αὐτῆς ὡς ἐπ' αὐτὴν ὁ Σεργίας φέροιτο κλῆρος. διὰ ταῦτα τοίνυν Ἰωάννην αὐτὸν ἑλέσθαι τῆς ὑποθέσεως δικαστὴν, πράξαντος ὑπὲρ Κοσμᾶ Ἀσκληπιοῦ τινος σκρινιαρίου τῆς κατὰ τὴν Ἕω στρατηγίδος*[5]) *ἀρχῆς, καὶ ψῆφον Ἰωάννην παρασχεῖν ἐναντίαν οἷς ἐν γράμμασιν ἀπεκρίνατο, χρησάμενον εἰς τὴν ψῆφον τῷ Θεοδοσίου τοῦ τῆς θείας λήξεως νόμῳ*[6]) *τῷ λέγοντι τὸν οὔπω ἐνιαυτῶν ἑπτὰ γενόμενον μὴ δύνασθαι τὸν μητρῷον οἰκειοῦσθαι κλῆρον εἰ μὴ ἐπίτροπον ἔχοι, ἀλλ'*[7]) *ἐπ' ἐκείνους φέρεσθαι τοῦτον, οἷς ἁρμόζειν ἤμελλεν εἰ μὴ πρὸς τὸν κλῆρον ὁ τελευτήσας ἄνηβος ὑπὸ τῶν νόμων ἐκλήθη. καὶ οὐκ εἶπε ταῦτα μόνον ἐπὶ τῆς ψήφου, ἀλλὰ καὶ παρεσκεύασεν τὴν ἡμῶν δεομένην συνθήκας ἀκολούθως θέσθαι τῇ ψήφῳ, καὶ ὑπηγόρευσε ταύτας αὐτὰς πάλιν πρὸς Ἀσκληπιὸν τὸν ὑπὲρ Κοσμᾶ τὴν δίκην ἀγωνισάμενον. ἤτησέ τε ἡμᾶς μὴ περιϊδεῖν αὐτὴν οὕτως ἀδικουμένην, μάλιστα μὲν ὡς καὶ νόμου κατὰ τὸν ἐπώνυμον ἡμῶν κώδικα κειμένου, κελεύοντος τὸν λαλεῖν δυνάμενον*[8]) *καὶ τὸν μητρῷον κλῆρον καλῶς οἰκειοῦσθαι, καὶ αὖθις ἕτερον ἡμῶν τεθεικότων νόμον*[9])*, βουλόμενον ἐπειδάν τις κληρονομίαν εἰς αὐτὸν κατενεχθεῖσαν*[9a]) *πρὶν οἰκειώσεται αὐτὴν ἢ τὴν ἐναντίαν ὑπὲρ αὐτῆς δείξει γνώμην, καταλύσῃ τὸν βίον, παραπέμπειν τοῖς κληρονόμοις τοῖς αὐτοῦ ἐπὶ τούτῳ τῷ κλήρῳ τὸ τῆς διασκέψεως δίκαιον· τὸν γὰρ*

4) Flor. *ἐχ.* omittit. 5) Ita Flor. Ven. *στρατηγίδα.* 6) l. 18 C. de iure delib. 6, 30. 7) Athan. *ἀλλὰ τελευτήσαντος αὐτοῦ ἐπ' ἐκ.* fortasse rectius. 8) Verba ***τὸν λαλεῖν δυνάμενον*** in Ven. exciderunt. intellegitur l. 1 C. ad SC. Tertull. 6, 56. 9) l. 19 C. de iure delib. 6, 30. 9a) Sic Ven. et Flor. Hal. coni. *κληρονομίας — κατενεχθείσης.*

δὴ παρ' ἡμῶν ἔναγχος τεθειμένον νόμον[10]) μίαν ἐπὶ τῶν κληρονομιῶν adgnatois τε καὶ cognatois παρέχοντα τάξιν μὴ χώραν ἔχειν ἐπὶ ταύτης τῆς ὑποθέσεως πρεσβυτέρας οὔσης τῆς ἡμέρας[11]), ἐξ ἧς ὁ νόμος ἐκελεύσθη κρατεῖν.

α'. Θεσπίζομεν τοίνυν τὴν ἐνδοξότητα τὴν σὴν, εἰ ταῦτα οὕτως ἔχοντα εὕροις, βοηθῆσαι τῇ δεηθείσῃ καὶ φυλάξαι τὸν νόμον αὐτῇ τὸν ἡμέτερον τὸ τῆς διασκέψεως αὐτῇ παρέχοντα δίκαιον, ὡς Σεργίας πρὶν ἐνιαυτὸν παρελθεῖν ἐπιτελευτησάσης τῇ οἰκείᾳ μητρὶ, βουλομένῃ[11a]) τε τὸν τῆς μητρὸς Σεργίας οἰκειώσασθαι κλῆρον παρασχεῖν. οὐδὲ γὰρ ἄν τις ἐναντίους[12]) εἴποι τόν τε Θεοδοσίου τοῦ τῆς εὐσεβοῦς λήξεως τόν τε ἡμέτερον νόμον κατ' αὐτὸ μὲν κειμένους βιβλίον, ἡμῶν δὲ μηδὲν ἐναντίον ἐν αὐτῷ κεῖσθαι δι' ἧς ὑπὲρ αὐτοῦ τεθείκαμεν διατάξεως ἰσχυρισαμένων. ἀλλὰ κρατείτω μὲν ὁ ἡμέτερος ἐπὶ τῆς παρούσης ὑποθέσεως ἐπί τε τῶν παραπλησίων τοῦ ζητουμένου θέματος νόμος, κρατείτω δὲ ὁ Θεοδοσίου τοῦ τῆς θείας λήξεως ἐφ' ὧν ἐνιαυτὸς ἔφθασε παρελθεῖν καὶ ὁ τῆς διασκέψεως ἐξέπεσε χρόνος. αἱ γὰρ γεγραμμέναι μετὰ τὴν ψῆφον συνθῆκαι πρὸς ἐλεύθερον[13]) γενόμεναι τὸν μηδὲ προσπορίζειν δυνάμενον πρόδηλον ὡς οὐδεμίαν ἀγωγὴν δεδώκασι Κοσμᾷ περὶ τῶν κατ' αὐτὴν ὡμολογημένων. Dat. prid. Id. Iul. CP. DN. Iustiniani PP. Aug. [anno XVIII][14]) [post Basilii] v. c. cons. [anno III].[15])

10) Const. CXLIII de anno 543. 11) Ven. et Flor. ἡμετέρας. 11a) Scil. τῇ δεηθείσῃ. 12) Ven. ἐναντίως. Flor. ἐναντίως ἔχειν. 13) Scil. Asclepium. 14) Inclusa Ven. omittit. annum imperii XVIII habet Theod. et ita apud Ath. legendum est pro ιγ'. 15) Ath. τὸ δ'. cf. const. CXLVII not. 6.

Nov. 130. **CL.** Auth. 118.

Summae: Iulian. c. 123, Athan. XX, 2, Theod. Nov. 130.

Περὶ παρόδου στρατιωτῶν.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων.

Πρώτην καὶ μεγίστην ἡγούμεθα σύστασιν εἶναι τῆς ἡμετέρας πολιτείας τὸ καὶ ἀμέμπτως τὸ ἡμέτερον στράτευμα ἐν ταῖς παρόδοις ἀποτρέφεσθαι καὶ τὸ ἀβλαβὲς καὶ ἀζήμιον τοῖς ἡμετέροις ὑποτελέσι φυλάττεσθαι.

α΄. Κελεύομεν τοίνυν, ὁσάκις πάροδος γένηται τῶν ἡμετέρων ἀρχόντων τε καὶ στρατευμάτων, δελεγάτορας[1]*) συνιέναι αὐτοῖς τοὺς τὴν φροντίδα ποιουμένους τῆς αὐτῶν ἀποτροφῆς, τοὺς δὲ ἑκάστης ἐπαρχίας ἄρχοντας δι᾽ ὧν πάροδος γίνεται ἑτοιμασίαν ποιεῖσθαι τῶν ὀφειλόντων*[2]*) γίνεσθαι δαπανημάτων, ὥστε τοὺς τοῦ ἡμετέρου στρατεύματος ἐν ἑκάστῃ ἐπαρχίᾳ παριόντας ἀμέμπτως ἀποτρέφεσθαι. καὶ τοὺς μὲν ἑκάστου τάγματος ὀπτίονας ὑποδέχεσθαι τὰ εἴδη δίχα τινὸς διαστροφῆς καὶ ῥογεύειν τοῖς ἐξάρχοις καὶ τοῖς στρατιώταις τὰς ἐν εἴδει χορηγουμένας ἀννόνας, ἔχειν δὲ τοὺς αὐτοὺς ὀπτίονας καὶ τὴν ἀφωρισμένην αὐτοῖς προφάσει παραμυθίας πεντεκαιδεκάτην μοῖραν. τὰ δὲ ἐξ ἔθους* recauta *γίνεσθαι παρὰ τῶν ὀπτιόνων τοῖς ὑποτελέσιν ὑπὲρ τῶν παρ᾽ αὐτῶν δαπανωμένων, κινδύνῳ τῶν σὺν αὐτοῖς ὄντων ἐξάρχων καὶ τριβούνων καὶ κομήτων καὶ διασωστῶν καὶ δελεγατόρων καὶ τῶν ἑκάστου τάγματος πρωτευόντων. καὶ κατὰ μηδένα τρόπον δωρεὰν ἀναλίσκειν τοὺς στρατιώτας παρὰ τῶν συντελεστῶν, εἴτε προφάσει τοῦ μὴ γίνεσθαι ὡς εἰκὸς ἑτοιμασίαν εἴτε* introit*ων ὀνόματι, ὧν καὶ αὐτὴν*

1) Ven. *διλιγάτορας.* 2) Ven. *ὀφειλομένων.*

τὴν προσηγορίαν παντελῶς ἀναιροῦμεν, ἐφ' ᾧ πανταχόθεν ἀβλαβεῖς καὶ ἀζημίους φυλάττεσθαι τοὺς ἡμετέρους ὑποτελεῖς.

β'. Τὰ δὲ εἴδη τα εὑρισκόμενα ἐν ἑκάστῳ τόπῳ αὐτὰ λαμβάνειν τοὺς στρατιώτας, καὶ μὴ ἕτερα ἐπιζητεῖν ἅπερ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ οὐχ εὑρίσκονται, καὶ ἐκ τούτου διαστροφὴν ἢ ζημίαν ἐπαγαγεῖν τοῖς ἡμετέροις ὑποτελέσι.

γ'. Τὴν δὲ γινομένην παρὰ τῶν κτητόρων δαπάνην καὶ δηλουμένην διὰ τῶν recautων κελεύομεν λογίζεσθαι αὐτοῖς παρὰ τοῦ θρόνου τῆς σῆς ὑπεροχῆς χωρὶς τῆς οἱασοῦν διαστροφῆς ἢ ζημίας ἢ ἐπινοίας εἰς τὴν συντέλειαν τὴν παρ' αὐτῶν τῷ δημοσίῳ διδομένην ὑπὲρ τῆς ἐπινεμήσεως ἐκείνης, καθ' ἣν ἡ δαπάνη γίνεται. εἰ δὲ πλείονα τῶν συντελουμένων παρὰ τῶν δεδωκότων τὰ εἴδη εὑρεθῇ τὰ ἀναλισκόμενα, κελεύομεν ἐκ τοῦ παντὸς σώματος τῶν δημοσίων τῆς αὐτῆς ἐπαρχίας πληροῦσθαι τοὺς ὑπὲρ τὴν ἰδίαν συντέλειαν δαπανήσαντας. εἰ δὲ μὴ ἔχει ἡ αὐτὴ ἐπαρχία δημόσια ἀρκοῦντα εἰς τὴν γενομένην δαπάνην, πληροῦσθαι τοὺς τὴν αὐτὴν δαπάνην ποιησαμένους ἐκ τῆς γενικῆς τραπέζης τῆς διοικουμένης παρὰ τῆς σῆς ἐνδοξότητος, ἤγουν παρακρατεῖν αὐτοὺς ταῦτα ἐκ τῶν παρ' αὐτῶν[3]) συντελουμένων κατὰ τὴν ἐφεξῆς ἐπινέμησιν καὶ ταῦτα λογίζεσθαι αὐτοῖς ἐκ τρόπου παντὸς διὰ τῶν τὰ δημόσια ἀνυόντων. τούτων ἁπάντων προϊόντων τε καὶ παραφυλαττομένων κινδύνῳ τῆς τε σῆς ἐνδοξότητος καὶ τῶν ἑκάστης ἐπαρχίας τρακτευτῶν καὶ ἀρχόντων καὶ τῶν πειθομένων αὐτοῖς τάξεων καὶ ἐκληπτόρων καὶ πολιτευομένων καὶ πάντων τῶν τὰ δημόσια χειριζόντων.

δ'. Καὶ τοῦτο δὲ κελεύομεν παραφυλάττεσθαι, ὥστε μηδένα τῶν ἐξάρχων ἢ τῶν στρατιωτῶν προφάσει παρόδου ἢ ἀπὸ τῶν πόλεων ἢ[3a]) χωρίων ἐν ἀπαργυρισμῷ τι λαμβάνειν.

3) Ven. αὐτοῦ. 3a) ἢ τῶν.

εἰ δὲ εὑρεθείη τὶς ὑπὲρ παρόδου ἐν ἀπαργυρισμῷ[4]) λαμβάνων, κελεύομεν τὸν τοιοῦτόν τι πράττοντα ἀπαιτεῖσθαι διπλάσιον πᾶν ὅπερ λαβεῖν ὑπὲρ τούτου τολμήσει.

ε΄. Εἰ δέ τινες τῶν ἡμετέρων ἐξάρχων ἢ τῶν στρατευμάτων[5]) ἢ τῶν ὀπτιόνων αὐτῶν μὴ recauta ποιήσουσι τῆς γενομένης παρ᾽ αὐτῶν δαπάνης, κελεύομεν τοὺς τὴν δαπάνην χορηγήσαντας συντελεστὰς πρᾶξιν ὑπομνημάτων συνιστᾶν, εἰ μὲν εὑρεθῇ ὁ ἄρχων ἐν τοῖς τόποις ἐκείνοις, παρ᾽ αὐτῷ καὶ τῷ ὁσιωτάτῳ τῆς πόλεως ἐπισκόπῳ, εἰ δὲ μὴ εὑρεθῇ ὁ ἄρχων ἐν τοῖς αὐτοῖς τόποις, παρὰ τῷ ὁσιωτάτῳ τῆς πόλεως ἐπισκόπῳ ἢ τῷ ἐκδίκῳ τῶν τόπων, ὑφ᾽ οὓς ἡ κτῆσις διάκειται ἐξ ἧς γέγονεν ἡ δαπάνη, καὶ διὰ τῆς τοιαύτης πράξεως δῆλα ποιεῖν, τίνες τῶν ἡμετέρων ἀρχόντων ἢ μετὰ ποίου στρατεύματος τὴν πάροδον ποιούμενοι οὐκ ἐποίησαν recauta καὶ πόσην ποσότητα ἐδαπάνησαν, καὶ τὴν τοιαύτην πρᾶξιν πέμπεσθαι πρὸς τὴν σὴν ἐνδοξότητα, τὴν δὲ σὴν ὑπεροχὴν ὡσανεὶ recautων γενομένων τοῖς μὲν ὑποτελέσι παρέχειν ἢ καὶ λογίζεσθαι τὴν παρ᾽ αὐτῶν γενομένην δαπάνην, καθάπερ ἀνωτέρω εἰρήκαμεν, παρακρατεῖν δὲ αὐτὴν τὴν ποσότητα τὴν διὰ τῆς πράξεως δηλουμένην ἐκ τῶν δελεγατευομένων ἀπὸ τοῦ δημοσίου τοῖς ἐξάρχοις καὶ τοῖς στρατιώταις τοῖς τὴν δαπάνην ποιησαμένοις.

ϛ΄. Πρὸς τούτοις κελεύομεν, τοὺς ἡμετέρους ἐξάρχους εἴτε καὶ τοὺς διασώζοντας τὸ στράτευμα καὶ delegatoras ἐν ταῖς παρόδοις προπέμπειν[6]) εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ μέλλει τὸ ἡμέτερον στράτευμα καταντᾶν καὶ ἑτοιμασίαν ποιεῖν τῶν δαπανημάτων, καὶ μὴ πέμπειν εἰς ἑτέρας πόλεις ἢ κτήσεις ἢ χωρία ὡς δὴ ὀφειλόντων τῶν τοῦ στρατεύματος ἐκεῖσε μεῖναι καὶ ἐκ τούτου ἀργυρολογεῖν τὰς κτήσεις καὶ τὰ χωρία. εἰ δὲ λαβεῖν τι ὑπὲρ τούτου τολμήσουσι, κελεύο-

4) Ven. verba *λαμβάνειν — ἀπαργυρισμῷ* omittit. 5) Auth. „militum" i. e. *στρατιωτῶν*. 6) Osenbrüggen *τινὰς* addendum esse iudicavit. non opus: *προπέμπειν* enim intransitive dictum est.

μεν καὶ οὕτω μὲν τὴν εἰρημένην πρᾶξιν γίνεσθαι δηλοῦσαν τό τε δοθὲν καὶ τίνι δέδοται, λογίζεσθαι δὲ τοῖς ζημιωθεῖσι παρὰ τῆς σῆς ἐνδοξότητος ἢ παρέχεσθαι κατὰ τὸν ἀνωτέρω ἡμῖν εἰρημένον τρόπον πάντα ὅσα διὰ τῆς τοιαύτης πράξεως δηλωθείη, τοὺς δὲ ἐξάρχους καὶ τοὺς ὁπωσοῦν διασώζοντας τὸ ἡμέτερον στράτευμα καὶ τοὺς delegatoρας ἐν διπλασίονι ποσότητι δοῦναι ἅπερ λαβεῖν τολμήσουσιν ὑπὲρ τούτου, τοὺς δὲ προμετάτορας καὶ τιμωρίας καὶ ἐξορίας ὑπομένειν.

ζ΄. Εἰ δέ τινες τῶν ἀρχόντων τῶν ἐπαρχιῶν συνδοιαζόμενοι πολλάκις τοῖς διασώζουσι τὸ ἡμέτερον στράτευμα μὴ ἑτοιμάσωσι τὰς δαπάνας, καὶ ἐκ τούτου εἰς διαφόρους πόλεις τε καὶ χωρία τούτους παραγάγωσι, κελεύομεν τοὺς τοιούτους τῆς ἀρχῆς πανομένους δημεύσει καὶ ἐξορίᾳ μετὰ τῶν πειθομένων αὐτοῖς τάξεων ὑποβάλλεσθαι, τοὺς δὲ ἡμετέρους ὑποτελεῖς καὶ οὕτως ἀζημίους φυλάττεσθαι ἢ ἐκ τῆς τῶν recautων δόσεως ἢ ἐκ τῆς κατὰ τὸν εἰρημένον τρόπον ὀφειλούσης γίνεσθαι πράξεως.

η΄. Ταῦτα δὲ φυλάττεσθαι παρακελευόμεθα οὐ μόνον ἐν ταῖς παρόδοις τῶν ἡμετέρων ἀρχόντων καὶ στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἐξ οἱουδήποτε ἔθνους εἰς συμμαχίαν τῆς ἡμετέρας πολιτείας παρ᾽ ἡμῶν[7]) πεμπομένων.

θ΄. Ὥστε μὴ[8]) προφάσει τῆς τῶν μιτάτων δόσεως ἐνυβρίζεσθαι τὴν τῶν ἡμετέρων ὑπηκόων ἐλευθερίαν, θεσπίζομεν[9]) μηδενὶ ἐξεῖναι παντελῶς τῶν ἡμετέρων στρατιωτῶν εἰς τὰς αὐθεντικὰς οἰκήσεις ἐν αἷς οἱ δεσπόται τῶν οἰκημάτων εὑρεθεῖεν μένοντες λαμβάνειν ἑαυτοῖς μιτάτα, ἀλλ᾽ ἐκείνας μὲν ἀνενοχλήτους φυλάττεσθαι τοῖς ἰδίοις δεσπόταις, λαμβάνειν δὲ τοὺς στρατιώτας ἐν ἑτέραις διαίταις μιτάτα.

7) Auth. ἡμῖν habuisse videtur. Iulian.: gentis in auxilio nostro arcessitae. 8) Flor. ὥστε μηδὲ, et quidem ita quasi haec periodus capiti 8 iungenda sit. 9) Quod Hal. et Scr. habent θεσπίζομεν δέ, hoc nec Ven. nec. Flor. comprobatur.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦ παρόντος δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης[10]) *ἔν τε τῇ βασιλίδι πόλει καὶ τοῖς κατὰ τόπον ὁσιωτάτοις ἐπισκόποις τοῖς τε λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσι καὶ πᾶσι τοῖς ἡμετέροις ὑποτελέσιν ἐν ἑκάστῃ ἐπαρχίᾳ καὶ πόλει δῆλα καταστησάτω, ὥστε εἰδέναι τοὺς ἡμετέρους ὑποτελεῖς τὰ παρ' ἡμῶν ὑπὲρ τῆς αὐτῶν ἀβλαβείας διατυπωθέντα, καὶ γινώσκειν, ὡς εἴπερ παρὰ ταῦτά τι πραχθείη καὶ οἱ ἀδικούμενοι σιωπῇ τὸ πρᾶγμα παραδώσουσιν, αὐτοὶ τῆς τοιαύτης βλάβης ἑαυτοῖς αἴτιοι γενήσονται.* Dat. Kal. Mart. CP. DN. Iustiniani PP. Aug. ann. XVIII. post Basilii V. C. cons. ann. IV.[11])

Nov. 131. **CLI.** Auth. 119.

Extat in Cod. Ambrosiano L. 49 (cf. Schneider Krit. Jahrb. 1847. I S. 186). cap. 13. 14 in Coll. XXV capp. in fine, cap. 1—3. 5. 6. 10—12 in Coll. LXXXVII capp. c. 22—26. Basil. V, 3, 1—17. — Summas praestant Iulian. c. 119, Athan. II, 3, Theod. Nov. 131, incertus epitomator in Nomoc. XIV titt. II, 1. III, 14. IX, 27. X, 5. 8. XI, 1; Basil. XLI, 4, 1 schol. 5; *αἱ ῥοπαί* 19, 7. 24, 41. 28, 16. 42, 8; Epitome VIII, 13.

Περὶ τῶν ἐκκλησιαστικῶν κανόνων καὶ προνομίων τῶν εἰς τὰς ἁγιωτάτας ἐκκλησίας ὁρώντων.[1])

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων.

Περὶ τῶν ἐκκλησιαστικῶν κανόνων καὶ προνομίων καὶ ἄλλων κεφαλαίων εἰς τὰς ἁγιωτάτας[2]) *ἐκκλησίας καὶ τοὺς*

10) Hal. *ὑπεροχή*. 11) Ven.: Dat. Kal. Mart. CP. DN. Iustiniani PP. Aug. Basilii v. c. cons. supplevi ex Ath. (qui tamen *τὸ γ'* post cons. Basilii habet) et Theod. Iulian.: „Dat. Kal. Mart. post cons. Basilii anno IV ind. VIII. proposita Constantinopoli." Auth. in Cod. Monac. Dat. XVII Kal. Oct. imp. dni nri Iustiniani PP. Aug. Escurialensem Dat. XVI Kl. Ian. habere et addere: anno XVIIII p. c. Basilii v. c. auctor est Heimb.

1) Ven. *ὁρ.* omittit. idem adscribit: *ζήτει τὸ β' κεφ. τοῦ α' τί. νομοκάνονος.* 2) Ambr. *ἁγ. τοῦ θεοῦ ἐκκλ.*

λοιποὺς σεβασμίους[3]) οἴκους ὁρώντων τὸν παρόντα νόμον προφέρομεν.

α'. Θεσπίζομεν τοίνυν, τάξιν νόμων ἐπέχειν τοὺς ἁγίους ἐκκλησιαστικοὺς κανόνας τοὺς ὑπὸ τῶν ἁγίων τεσσάρων[4]) συνόδων ἐκτεθέντας ἢ βεβαιωθέντας, τουτέστι τῆς ἐν Νικαίᾳ τῶν τιη', καὶ τῆς ἐν Κωνσταντινουπόλει τῶν ἁγίων ρν' πατέρων, καὶ τῆς ἐν Ἐφέσῳ πρώτης[5]) ἐν ᾗ Νεστόριος κατεκρίθη, καὶ τῆς ἐν Καλχηδόνι καθ' ἣν Εὐτύχης μετὰ Νεστορίου ἀνεθεματίσθη. τῶν γὰρ προειρημένων ἁγίων[6]) συνόδων καὶ τὰ δόγματα καθάπερ τὰς θείας γραφὰς δεχόμενα καὶ τοὺς κανόνας ὡς νόμους φυλάττομεν.

β'. Καὶ διὰ τοῦτο θεσπίζομεν, κατὰ τοὺς αὐτῶν ὅρους τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης πάπαν πρῶτον εἶναι πάντων τῶν ἱερέων, τὸν δὲ μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως τῆς νέας Ῥώμης δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης, τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι.

γ'. Τὸν δὲ κατὰ καιρὸν μακαριώτατον ἀρχιεπίσκοπον τῆς Πρώτης Ἰουστινιανῆς τῆς ἡμετέρας πατρίδος ἔχειν ἀεὶ ὑπὸ τὴν οἰκείαν δικαιοδοσίαν τοὺς ἐπισκόπους τῶν ἐπαρχιῶν Δακίας μεδιτεῤῥανέας καὶ Δακίας ῥιπενσίας, Πρεβαλέας[7]), Δαρδανίας καὶ Μυσίας τῆς ἀνωτέρας καὶ Παννονίας, καὶ παρ' αὐτοῦ τούτους χειροτονεῖσθαι, αὐτὸν δὲ ὑπὸ τῆς οἰκείας συνόδου χειροτονεῖσθαι, καὶ ἐν αὐταῖς ταῖς ὑποκειμέναις αὐτῷ ἐπαρχίαις τὸν τόπον ἐπέχειν αὐτὸν τοῦ ἀπο-

3) Ven. *τόπους καὶ οἴκους*. malui Ambros. Hal. Bas. Auth. sequi. 4) Sic Flor. Iul. Athan. Coll. 87 capp. et Auth. contra Ven. et Bas. *ἑπτά*. 5) In Ambros. numerus patrum qui synodo Ephes. (200) et Chalcedon (630) adfuerunt insertus est. 6) Ven. inserit *ἑπτὰ*. Coll. autem 87 capp. *δ'*, uti Auth. 7) Ven. *προβαλέας*. Ambros. *πριβάλεως*. Ath. *πραεβάλεως*. Theod. PREBALEος. Hal. (quem sequitur Scr.) *τριβαλλέας*. — Caeterum Ven. paulo ante scribit *μαδιτερρ.* et *ῥιπερσίας*.

στολικοῦ Ῥώμης θρόνου κατὰ τὰ ὁρισθέντα ἀπὸ τοῦ ἁγίου πάπα Βιγιλίου.[8])

δ΄. Καὶ τὸν ὅμοιον τρόπον τὸ δίκαιον τῆς ἀρχιερωσύνης, ὅπερ τῷ ἐπισκόπῳ Ἰουστινιανῆς Καρχηδόνος τῆς Ἀφρικῆς διοικήσεως δεδώκαμεν ἐξ οὗπερ ὁ θεὸς ταύτην ἡμῖν ἀποκατέστησε, φυλάττεσθαι κελεύομεν. καὶ αἱ ἄλλαι δὲ πόλεις καὶ οἱ τούτων ἐπίσκοποι, οἷς ἐν διαφόροις τόποις μητροπολιτικὸν δίκαιον παρεσχέθη, τοῦ τοιούτου προνομίου εἰς τὸ διηνεκὲς ἀπολαυέτωσαν, πάντα δὲ τὰ προνόμια καὶ τὰς παραμυθίας, ἅπερ[9]) *ἐκ βασιλικῆς φιλοτιμίας ἢ καὶ καθ' ἕτερον οἱονδήποτε τρόπον ταῖς ἁγίαις ἐκκλησίαις ἢ ἑτέροις σεβασμίοις τόποις παρεσχέθη, βεβαίως αὐτοῖς διὰ πάντων φυλαττέσθω.*

ε΄. Πρὸς τούτοις θεσπίζομεν, καὶ πασῶν τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἄλλων σεβασμίων οἴκων τὰς κτήσεις μηδὲ ῥυπαρὰς λειτουργίας μήτε extraordinarias[10]) *διαγραφὰς ὑπομένειν. εἰ μέντοι ὁδοστρωσίας ἢ γεφυρῶν οἰκοδομῆς ἢ ἀνανεώσεως χρεία γένηται, κατὰ μίμησιν τῶν ἄλλων κτητόρων τὸ τοιοῦτον ἔργον καὶ τὰς ἁγίας ἐκκλησίας καὶ τοὺς ἄλλους σεβασμίους οἴκους πληροῦν*[11]), *ἡνίκα ὑπ' ἐκείνην κέκτηνται τὴν πόλιν ὑφ' ἣν τὸ τοιοῦτον γίνεται ἔργον. εἴ τινα δὲ πράγματα ἀπὸ βουλευτικῶν ὑποστάσεων εἰς οἱανδήποτε ἁγιωτάτην ἐκκλησίαν ἢ ἄλλον σεβάσμιον οἶκον κατὰ τοὺς νόμους ἐληλύθασιν ἢ μετὰ ταῦτα περιέλθωσιν, ἐλεύθερα εἶναι ταῦτα θεσπίζομεν τῆς τῶν* lucrativων *διαγραφῆς.*

ς΄. Ἀντὶ δὲ τῶν χρονίων παραγραφῶν τῶν δέκα καὶ εἴκοσι καὶ τριάκοντα ἐνιαυτῶν ταῖς ἁγίαις ἐκκλησίαις καὶ τοῖς ἄλλοις ἅπασι σεβασμίοις τόποις μόνην τὴν τῶν τεσσα-

8) Ambros. (ut et Balsamon) *Βασιλείου.* 9) Ven. et Bas. *ὥσπερ.* mox *φυλάττεσθαι* legendum. 10) Ven. inter lineas *ἔξω τῶν διατεταγμένων.* Ambros. addit *οἱασδήποτε.* Coll. 87 cap. *ἐκστραόρδινα οἱαδήποτε.* 11) Ven. *πληρῶν.*

ράκοντα ἐνιαυτῶν παραγραφὴν ἀντιτίθεσθαι προστάττομεν, τούτου αὐτοῦ φυλαττομένου καὶ ἐν τῇ ἀπαιτήσει τῶν ληγάτων καὶ τῶν κληρονομιῶν τῶν εἰς εὐσεβεῖς αἰτίας καταλελειμμένων.

ζ'. Εἴ τις δὲ βουληθείη οἰκοδομῆσαι σεβάσμιον εὐκτήριον ἢ μοναστήριον, μὴ ἄλλως ἀρχέσθω τοῦ οἰκοδομήματος, εἰ μὴ ὁ τῶν τόπων ὁσιώτατος ἐπίσκοπος εὐχὴν ἐκεῖσε ποιήσει καὶ τὸν τίμιον πήξει σταυρόν. ὁ δὲ ἅπαξ ἀρχόμενος[12]) ἢ νέον κτίζειν εὐκτήριον ἢ παλαιὸν ἀνανεοῦν τρόποις ἅπασιν ἀναγκαζέσθω παρὰ τοῦ μακαριωτάτου τῶν τόπων ἐπισκόπου καὶ τῶν οἰκονόμων αὐτοῦ καὶ τοῦ πολιτικοῦ ἄρχοντος ἢ αὐτὸς εἰ περιείη ἢ τούτου τελευτῶντος οἱ κληρονόμοι αὐτοῦ τὸ ἀρχθὲν ἔργον πληροῦν.

η'. Εἴ τις ἐν τῷ ἰδίῳ[13]) οἴκῳ ἢ προαστείῳ ἢ χωρίῳ ἐκκλησιαστικὴν λειτουργίαν τολμήσοι ἐπιτελέσαι ἢ ἄλλοις ἐπιτελέσαι συγχωρήσοι δίχα κληρικῶν τῷ ὁσιωτάτῳ ἐπισκόπῳ τῶν τόπων ὑποκειμένων, κελεύομεν τὸν οἶκον τούτου ἢ προάστειον ἢ χωρίον ὅπου τοιοῦτό τι ἁμαρτηθείη τῇ κατὰ τὸν τόπον ἁγιωτάτῃ ἐκκλησίᾳ ἐκδικεῖσθαι διὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου καὶ τοῦ οἰκονόμου αὐτοῦ καὶ τοῦ πολιτικοῦ τῶν τόπων ἄρχοντος. εἰ δὲ ἀγνοοῦντος τοῦ τῶν τόπων δεσπότου οἱ αὐτοῦ φροντισταὶ ἢ μισθωταὶ ἢ ἐμφυτευταὶ ἐναντίον τὶ ποιήσουσιν ἢ γενέσθαι συγχωρήσουσι, τὸν μὲν δεσπότην τοῦ τόπου μηδὲν πρόκριμα ἢ ζημίαν ὑπομένειν, τοὺς δὲ τοῦτο ποιήσαντας ἢ γενέσθαι συγχωρήσαντας ἐκ τῆς ἐπαρχίας ὅπου τοῦτο ἁμαρτηθείη ἐκβάλλεσθαι, τῶν πραγμάτων αὐτῶν τῇ κατὰ τὸν τόπον ἁγιωτάτῃ ἐκκλησίᾳ ἐκδικουμένων.

θ'. Εἴ τις εἰς ὄνομα τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κληρονομίαν ἢ ληγάτον καταλείψει[14]),

12) Ven. ἀπαρχόμενος. sequor Flor. et Bas. quibuscum facit Auth. 13) Athan. Theod. Nomoc. XIV titt. ἰδιωτικῷ habent. sed cf. const. LXXV. 14) Ath. τὰ αὐτὰ καὶ ἐπὶ

κελεύομεν τὴν ἐκκλησίαν τοῦ τόπου ἐν ᾧ ὁ διαθέμενος τὴν οἴκησιν εἶχε λαβεῖν τὸ καταλελειμμένον. εἰ δέ τις ἕνα τῶν ἁγίων κληρονόμον γράψει ἢ ληγάτον αὐτῷ καταλείποι, καὶ μὴ ἰδικῶς ὀνομάσοι τὸν τόπον ἐν ᾧπερ ἐστὶν ὁ σεβάσμιος οἶκος, εὑρεθείησαν δὲ ἐν τῷ αὐτῷ τόπῳ ἢ τῇ πόλει πλείονα εὐκτήρια τοῦ αὐτοῦ ἁγίου, ἐκείνῳ μᾶλλον τῷ οἴκῳ τῷ πενιχροτέρῳ τὸ καταλειφθὲν[15]) *παρεχέσθω. εἰ δὲ μή ἐστιν ἐν τῇ πόλει οἶκος τοῦ ὀνομασθέντος ἁγίου, εὑρίσκεται δὲ ἐν τῇ ἐνορίᾳ αὐτῆς, ἐκείνῳ διδόσθω. εἰ δὲ μήτε ἐν τῇ ἐνορίᾳ εὑρίσκεται τοιοῦτος οἶκος, τότε τῇ ἐκκλησίᾳ τῆς πόλεως ἐν ᾗ ὁ διαθέμενος τὴν οἴκησιν εἶχε τὸ καταλειφθὲν παρεχέσθω.*

ι΄. Εἴ τις κατασκευὴν σεβασμίου[16]) *εὐκτηρίου ἢ ξενῶνος ἢ πτωχείου ἢ ὀρφανοτροφείου ἢ νοσοκομείου ἢ ἄλλου σεβασμίου οἴκου ἐν τελευταίᾳ βουλήσει γενέσθαι διατυπώσει, τὸ εὐκτήριον μὲν εἴσω πέντε ἐνιαυτῶν πληροῦσθαι*[17]) *κελεύομεν προνοίᾳ τοῦ τῶν τόπων ἐπισκόπου καὶ τοῦ πολιτικοῦ ἄρχοντος, τὸν δὲ ξενῶνα καὶ τὸ πτωχεῖον ἢ ἄλλον σεβάσμιον οἶκον εἴσω ἑνὸς ἐνιαυτοῦ γίνεσθαι. εἰ δὲ ἐντὸς τοῦ ἐνιαυτοῦ μὴ ποιήσουσιν οἱ κληρονόμοι τὸν ξενῶνα ἢ οἱονδήποτε σεβάσμιον οἶκον ὑπὸ τοῦ διαθεμένου διατυπωθέντα γενέσθαι, κελεύομεν τούτους οἶκον ἢ ἀγοράζειν ἢ μισθοῦσθαι, ὅπου δύνανται τὰ κελευσθέντα πληρῶσαι ἕως ἂν ὁ τοιοῦτος σεβασμιώτατος*[18]) *οἶκος πληρωθείη. καὶ εἰ μὲν αὐτὸς ὁ διαθέμενος ὁρίσει τοὺς ὀφείλοντας ξενοδόχους γενέσθαι ἢ πτωχοτρόφους ἢ ἄλλους τοιούτους διοικητὰς εἴτε τοῖς ἰδίοις κληρονόμοις τὴν τοιαύτην ἐπιλογὴν παράσχοι, κελεύομεν τρόποις ἅπασι τοὺς κληρονόμους αὐτοῦ τὰ παρ' αὐτοῦ διατυπωθέντα πληροῦν, τῶν κατὰ τὸν τόπον μακαριω-*

κληρονομίας καὶ fideicommissoυ *κρατεῖ*. Fabrot. Leuncl. Heimbach fiscoυ pro fideicommissoυ legunt!! 15) Ven. *παραληφθὲν* sine articulo. 16) In Ven. deest relicta lacuna. 17) Ven. *κληρ.* omisso *κελεύομεν*. 18) Hal. *σεβάσμιος*, quod forsan praestat.

τάτων ἐπισκόπων ἐποπτευόντων εἰ καλῶς ἡ διοίκησις προβαίνει, καὶ εἰ εὕρωσι μὴ χρησίμους ὄντας τοὺς διοικητὰς, ἄδειαν ἐχόντων ἄνευ ζημίας ἄλλους ἀντὶ τούτων ἐπιτηδείους ποιεῖν.

ια΄. Εἰ δὲ καί τις ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἢ ἀποτροφῆς πενήτων κληρονομίαν ἢ ληγάτον καταλίποι ἐν πράγμασι κινητοῖς ἢ ἀκινήτοις, εἴτε ἅπαξ εἴτε ἐτήσιον, καὶ τοῦτο τρόποις ἅπασι κατὰ τὴν τοῦ διαθεμένου γνώμην ἀπὸ τῶν κελευσθέντων τοῦτο ποιῆσαι πληρούσθω. εἰ δὲ μὴ ἰδικῶς εἴποι ποίου τόπου πένησι ταῦτα κατέλιπε, κελεύομεν τὸν ὁσιώτατον ἐπίσκοπον τῆς πόλεως ἐν ᾗ τὴν οἴκησιν ὁ διαθέμενος εἶχε παραλαμβάνειν τὰ αὐτὰ πράγματα καὶ τῆς αὐτῆς πόλεως πένησι διανέμειν. εἰ δὲ καὶ ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων τὶ καταλέλειπται καὶ μὴ ὀνομαστὶ ὁ διαθέμενος εἴποι διὰ τίνος χρὴ γίνεσθαι[19]) τὴν ἀνάῤῥυσιν, καὶ οὕτως κελεύομεν τὰ πράγματα τὰ ἐπὶ τούτῳ καταλειφθέντα τὸν τῶν τόπων ἐπίσκοπον καὶ τὸν τούτου οἰκονόμον λαβεῖν καὶ τὸ τοιαῦτον εὐσεβὲς ἔργον πληροῦν. ἐν πάσαις γὰρ ταῖς τοιαύταις εὐσεβέσι βουλήσεσι τοὺς ὁσιωτάτους ἐπισκόπους τῶν τόπων βουλόμεθα προνοεῖν, ὥστε πάντα κατὰ τὴν τοῦ τελευτήσαντος βούλησιν προβαίνειν, εἰ καὶ τὰ μάλιστα παρὰ τῶν διαθεμένων ἢ τῶν δωρησαμένων ἀπηγορεύθη αὐτοῖς ἔχειν πρὸς ταῦτά τινα μετουσίαν. εἰ δὲ οἱ ταῦτα ποιῆσαι κελευσθέντες ἅπαξ καὶ δὶς παρὰ τοῦ μακαριωτάτου τῶν τόπων ἐπισκόπου καὶ τῶν τούτου οἰκονόμων διὰ δημοσίων προσώπων ὑπομνησθέντες ὑπέρθωνται τὰ διατυπωθέντα πληρῶσαι, κελεύομεν τούτους ἅπαν κέρδος καταλειφθὲν αὐτοῖς παρὰ τοῦ ταῦτα κελεύσαντος ἀπολλύναι, τοὺς δὲ ὁσιωτάτους τῶν τόπων ἐπισκόπους πάντα τὰ πράγματα τὰ πάσαις ὡς εἴρηται ταῖς εὐσεβέσιν αἰτίαις ἀφορισθέντα μετὰ καρπῶν καὶ ἐπαυξήσεων τοῦ μέσου χρόνου καὶ τοῦ μνημονευθέντος κέρδους

19) Ven. γενέσθαι.

ἐκδικεῖν, καὶ ἅπερ ὁ διαθέμενος διετύπωσε πληροῦν, εἰδότας ὡς εἰ ῥαθυμήσαιεν ὑπὲρ τούτων πάντων λόγον τῷ θεῷ παρέξουσιν. εἰ μέντοι ὁ ὁσιώτατος τῶν τόπων ἐπίσκοπος παραλίποι τὶ τῶν ἡμῖν εἰρημένων, ἐξέστω καὶ τῷ ὁσιωτάτῳ αὐτοῦ μητροπολίτῃ ταῦτα ἀπαιτεῖν καὶ πληροῦν. καὶ παντὶ δὲ ἑτέρῳ ἄδεια ἔστω τὴν τοιαύτην ζήτησιν κινεῖν καὶ σπουδάζειν, ἵνα τρόποις ἅπασιν αἱ τοιαῦται εὐσεβεῖς[20]) αἰτίαι πληρωθῶσιν.[20])

ιβ'. Εἰ δὲ ὁ κληρονόμος τὰ εἰς εὐσεβεῖς αἰτίας καταλελειμμένα μὴ πληρώσει, λέγων τὴν καταλειφθεῖσαν αὐτῷ περιουσίαν μὴ ἀρκεῖν εἰς ταύτας, κελεύομεν, παντὸς τοῦ ἐκ τοῦ φαλκιδίου κέρδους σχολάζοντος ὅσον δήποτε εὑρεθείη ἐν τῇ αὐτῇ[21]) οὐσίᾳ προχωρεῖν προνοίᾳ τοῦ ἁγιωτάτου τῶν τόπων ἐπισκόπου εἰς τὰς αἰτίας, εἰς ἃς καταλέλειπται. εἰ δὲ ληγάτον παρά τινος εἰς εὐσεβεῖς αἰτίας καταλειφθείη, κελεύομεν εἴσω μηνῶν ἓξ ἀπὸ τῆς ἐμφανίσεως τῆς διαθήκης[22]) ἀριθμουμένων τοῦτο πᾶσι τρόποις παρέχεσθαι οἷς καταλέλειπται. εἰ δὲ ὑπέρθωνται οἱ τούτῳ[23]) βεβαρημένοι τὸ τοιοῦτο ληγάτον παρασχεῖν, καὶ καρποὺς καὶ τόκους καὶ πᾶσαν νόμιμον ἐπαύξησιν ἀπαιτηθήσονται ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ τοῦτο καταλιπόντος. εἰ δὲ ληγάτον ἐτήσιον οἱῳδήποτε σεβασμίῳ οἴκῳ καταλειφθῇ, εἰ μὲν οἱ ταῦτα δοῦναι κελευσθέντες, ἢ ὁ τόπος ἐξ οὗ ἐκελεύσθη τοῦτο παρέχεσθαι, ἐν τῇ αὐτῇ ἢ τῇ γείτονι ἐπαρχίᾳ εἴη, κελεύομεν μηδενὶ τρόπῳ τὸ τοιοῦτον ληγάτον ἐκποιεῖσθαι. εἰ δὲ οἱ τόποι ἢ τὰ πρόσωπα ἐξ ὧν τοῦτο δοθῆναι προσετάχθη ποῤῥωτέρω εἴησαν, τηνικαῦτα ἐξέστω ἐκείνοις οἷς τοῦτο καταλέλειπται, εἰ καὶ τὸ ἐνεχόμενον μέρος συναινεῖ, ἀμείβειν τὸ ληγάτον καὶ πλη-

20) Ven. a voce *εὐσεβεῖς* ad *αἰτίας* principio cap. 12 *ὁμοιοτελεύτοις* deceptus aberravit. 21) *τοιαύτῃ* habent Hal. Ambros. Coll. cit. et Bas. quod facile praetulerim. 22) *Αἱ ῥοπαὶ* addunt *ἢ τῆς ἀσφαλείας τουτέστι τοῦ ἰδιοχείρου ἐκείνου ὅστις ἠσφαλίσατο δοῦναί τι εἰς εὐσεβεῖς αἰτίας.* 23) Ven. *τούτων βαρημ.*

σίον λαμβάνειν ὑπὲρ τούτου πρόσοδον εὔπορον, καὶ μετὰ προσθήκης οὐκ ἐλάττονος τοῦ τετάρτου μέρους τῆς καταλειφθείσης ποσότητος, καὶ μηδὲ πολλοῖς δημοσίοις τελέσμασι βεβαρημένην. εἰ δὲ καὶ πωλῆσαι βούλοιντο[24]) τὸ τοιοῦτο ληγάτον, μὴ ἔλαττον τίμημα λαμβάνειν τοῦ ὅσον ὑπὲρ τοῦ τοιούτου ληγάτου ἐπὶ λε΄ ἐνιαυτοὺς συνάγηται, οὕτω μέντοι, ὥστε τὸ τοιοῦτο τίμημα εἰς τὸ συμφέρον τοῦ προειρημένου σεβασμίου οἴκου ὅπου καταλειφθῇ προχωρεῖν.

ιγ΄. Ἀπαγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις πράγματα κινητὰ ἢ ἀκίνητα ἢ αὐτοκίνητα, ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς οἱῳδήποτε τρόπῳ περιέλθοι, εἰς ἰδίους συγγενεῖς ἢ ἄλλα οἱαδήποτε πρόσωπα οἱῳδήποτε τρόπῳ μεταφέρειν· εἰς αἰχμαλώτων δὲ ἀνάῤῥυσιν καὶ πτωχῶν ἀποτροφὰς καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας ἢ ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας ἐκκλησίας ἐκ τούτων δαπανᾶν ἄδειαν ἐχέτωσαν. καὶ εἴ τι ἐκ τῶν τοιούτων πραγμάτων μετὰ τελευτὴν αὐτῶν εἰς τὴν αὐτῶν περιουσίαν μείνῃ, κελεύομεν τοῦτο τῇ δεσποτείᾳ τῶν ἁγιωτάτων ἐκκλησιῶν ὧν τὴν ἱερωσύνην εἶχον διαφέρειν. ἐπ᾽ ἐκείνοις γὰρ μόνον τοῖς πράγμασιν ἄδειαν αὐτοῖς τοῦ ἐκποιεῖν ἢ καταλιμπάνειν οἷς ἂν βουληθείησαν συγχωροῦμεν, ἅπερ πρὸ τῆς ἐπισκοπῆς ἀποδειχθῶσιν ἐσχηκότες, ἢ μετὰ τὴν ἐπισκοπὴν ἀπὸ τῶν κατὰ γένος αὐτοῖς συνημμένων εἰς αὐτοὺς περιέλθοι οὓς ἐξ ἀδιαθέτου δύνανται μέχρι τετάρτου βαθμοῦ[25]) διαδέχεσθαι. ταῦτα δὲ ἅπαντα, ἅπερ εἰρήκαμεν περὶ τῶν πραγμάτων τῶν μετὰ τὴν ἐπισκοπὴν περιερχομένων εἰς τοὺς ὁσιωτάτους ἐπισκόπους, καὶ ἐπὶ τῶν εὐλαβεστάτων ὀρφανοτρόφων καὶ πτωχοτρόφων καὶ νοσοκόμων καὶ γεροντοκόμων καὶ ξενοδόχων καὶ πάντων τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων οἴκων κρατεῖν θεσπίζομεν ἐπὶ τοῖς πράγμασι τοῖς ἐν τῷ καιρῷ τῆς ἰδίας διοικήσεως κατὰ τὸν εἰρη-

24) Ven. *βούλοιτο.* Ambros. et Coll. cit. *βουληθῶσι.*
25) Cf. l. 41 §. 2 C. de episc. 1, 3.

μένον τρόπον εἰς αὐτοὺς περιερχομένοις. εἰ δέ τις ἐπίσκοπος ἢ κληρικὸς ἢ οἱουδήποτε ἐκκλησιαστικοῦ βαθμοῦ ὑπηρέτης ἢ ἐκκλησίας διακόνισσα τελευτήσοι ἄνευ διαθηκῶν καὶ νομίμων διαδόχων, ἡ τούτων διαδοχὴ τῇ ἐκκλησίᾳ διαφερέτω ἐν ᾗ ἔτυχον κεχειροτονημένοι.

ιδ΄. Κελεύομεν δὲ μηδένα αἱρετικὸν μηδὲ κατὰ μίσθωσιν μηδὲ κατ᾽ ἐμφύτευσιν μηδὲ κατὰ ἀγορασίαν ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ πράγματα ἀκίνητα λαμβάνειν ἀφ᾽ οἱασδήποτε ἁγιωτάτης ἐκκλησίας ἢ ἄλλου σεβασμίου τόπου. εἰ δέ τι τοιοῦτο ἁμαρτηθείη, ὁ μὲν αἱρετικὸς, εἴ τι ὑπὲρ ταύτης τῆς αἰτίας παράσχοι, τοῦτο ἀπολέσει[26]), τὰ δὲ τοιαῦτα πράγματα τῷ σεβασμίῳ τόπῳ ἀφ᾽ οὗ καὶ ἐδόθησαν ἐκδικείσθωσαν, ὁ δὲ διοικητὴς τοῦ οἴκου ὁ τὰ αὐτὰ[27]) πράγματα τῷ αἱρετικῷ δεδωκὼς πάσης ἀποκινείσθω διοικήσεως καὶ εἰς μοναστήριον ἐμβαλλέσθω, καὶ ἐπὶ ἕνα ἐνιαυτὸν τῆς ἁγίας κοινωνίας χωριζέσθω ὅστις αἱρετικοῖς Χριστιανοὺς προδέδωκεν. εἰ δὲ ὀρθόδοξος κτῆσιν ἔχων, ἐν ᾗ ἐστὶν ἁγία ἐκκλησία, ἐκποιήσει ἢ καταλείψει ἢ[28]) κατ᾽ ἐμφύτευσιν ἢ μίσθωσιν ἢ κατὰ οἱανδήποτε διοίκησιν ταύτην δέδωκεν Ἰουδαίῳ ἢ Σαμαρείτῃ ἢ Ἕλληνι ἢ Μοντανιστῇ ἢ Ἀρειανῷ ἢ ἄλλῳ αἱρετικῷ, ἡ ἁγιωτάτη ἐκκλησία τῆς αὐτῆς κώμης τὴν τούτων δεσποτείαν ἐκδικείτω. εἰ δέ τις τῶν αἱρετικῶν, οἷς συναριθμοῦμεν καὶ τοὺς Νεστοριανοὺς καὶ τοὺς Ἀκεφάλους καὶ τοὺς Εὐτυχιανιστὰς, τολμήσοι σπήλαιον τῆς ἰδίας ἀπιστίας[29]) οἰκοδομῆσαι ἢ Ἰουδαῖοι νέαν συναγωγὴν κατασκευάσαι, ἡ τῶν τόπων ἁγία ἐκκλησία τὰς οἰκοδομὰς τῇ ἰδίᾳ δεσποτείᾳ ἐκδικείτω. εἰ δέ τις κατ᾽ ἐμφύτευσιν ἢ μίσθωσιν ἢ ἑτέραν οἱανδήποτε διοίκησιν τὴν ἰδίαν δέδωκε κτῆσιν τῷ τοιούτῳ προσώπῳ, εἰ μὲν ἐγίνωσκεν ὁ δεσπότης τῆς κτή-

26) Ven. et Hal. ἀπολέσοι. praeferenda videbatur lectio Collectionis cit. et Bas. 27) Hal. et Coll. cit. τὰ τοιαῦτα. 28) Ven. omittit. 29) Hal. et Bas. πίστεως. Nom. XIV titt. καταγώγιον τῆς ἰδίας θρησκείας.

σεως, ὅτι αἱρετικῷ ταύτην κατεπίστευσεν, πάσας τὰς προσόδους ἐκείνου τοῦ χρόνου τοῦ περιεχομένου[30]) τῷ συναλλάγματι τὴν ἐκκλησίαν τῆς πόλεως ὑφ' ἣν ἡ κτῆσις διάκειται ἐκδικεῖν· εἰ δὲ ἠγνόει ὁ δεσπότης τῆς κτήσεως, ὅτι αἱρετικὸς ἦν ὁ ταύτην ἐμπιστευθεὶς, αὐτὸν μὲν τὸν δεσπότην διὰ τὴν ἄγνοιαν ἀζήμιον φυλαχθῆναι, τὸν δὲ αἱρετικὸν ἐν ἑκατέρῳ θέματι καὶ ἐκβληθῆναι τῶν κτήσεων καὶ τὴν οὐσίαν αὐτοῦ τῷ δημοσίῳ προσκυρωθῆναι.

ιε'. Οἱ δὲ ὀρφανοτρόφοι ἐπιτρόπων καὶ κουρατώρων τάξιν ἐχέτωσαν, οὕτω μέντοι ἵνα καὶ χωρὶς ἱκανοδοσίας καὶ ἐνάγωσι καὶ ἐνάγωνται περὶ τῶν πραγμάτων τῶν τοῖς ὀρφανοῖς κυρίως καὶ αὐτοῖς τοῖς ὀρφανοτροφείοις ἀνηκόντων· τὰ δὲ πράγματα ἅπερ ἔτυχόν τινι τῶν ὀρφανῶν διαφέρειν δημοσίων ταβουλαρίων παρόντων καὶ ὑπομνημάτων πραττομένων, ἐν μὲν τῇ βασιλίδι πόλει παρὰ τῷ μαγίστρῳ τῶν κήνσων, ἐν δὲ ταῖς ἐπαρχίαις παρὰ τοῖς ἄρχουσιν αὐτῶν ἢ τοῖς ἐκδίκοις τῶν τόπων, λαμβάνειν τοὺς ὀρφανοτρόφους καὶ φυλάττειν, καὶ εἰ ἀναγκαῖον νομίσουσι καὶ ἐκποιεῖν καὶ τὸ τούτων τίμημα τοῖς ὀρφανοῖς φυλάττειν ἢ ἕτερα πράγματα ἀντ' ἐκείνων ἀγοράζειν· μὴ ὑποκεῖσθαι δὲ ἐπιτροπικοῖς ἢ κουρατωρικοῖς λογισμοῖς. φυλάττεσθαι δὲ κελεύομεν τῷ εὐαγεῖ ὀρφανοτροφείῳ ταύτης τῆς βασιλίδος πόλεως καὶ τῷ ξενῶνι τῷ καλουμένῳ τοῦ τῆς ὁσίας μνήμης Σαμψὼν καὶ τοῖς ὑπὸ τὴν αὐτοῦ δικαιοδοσίαν καθεστῶσιν εὐκτηρίοις ἢ ξενοδοχείοις ἢ ἄλλοις σεβασμίοις οἴκοις πάντα τὰ προνόμια, ἅπερ[31]) ἔχει ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία Κωνσταντινουπόλεως.

Ἅτινα τοίνυν διὰ τοῦ παρόντος νόμου εἰς τὸ διηνεκὲς ἰσχύσοντος ἡ ἡμετέρα ἐθέσπισε γαληνότης, ἡ σὴ ὑπεροχὴ ἰδίκτων κατὰ τὸ σύνηθες κατὰ τὴν βασιλίδα ταύτην πόλιν προτιθεμένων εἰς τὴν ἁπάντων γνῶσιν ἐλθεῖν σπευσάτω.

30) Longe alia praestat Ambros. 31) Hinc usque ad finem cuncta desunt apud Hal.

ἡμεῖς γὰρ προνοήσομεν[31a]), *ὅπως ἄνευ πάσης τῆς τῶν ὑποτελῶν ζημίας καὶ ἐν ταῖς ἐπαρχίαις φανερωθείη.* Dat. XV. K. April. Constant. DN. Iustiniani PP. Aug. ann. XVIII post Basilii V. C. cons. ann. IV. Ind. VIII.[32])

Nov. 128. CLII. Auth. 133.

Capita nonnulla sunt in Bas. VI, 3, 14. 41. LVI, 18. (unde in Flor. adnotatum est: *βι. τῶν βασιλ. νϛ' νεαρὰ ρκη' ἀπὸ τῆς ἀρχῆς ἡ νεαρὰ μέχρι διαιρέσεως κβ'.*) Epan. VII, 6. 7. — Summae: Iul. c. 124, Ath. XX, 1, Theod. Nov. 128, *αἱ ῥοπαὶ* XIII not. 75.

Περὶ τῆς τῶν δημοσίων ἀνύσεως καὶ καταβολῆς καὶ ἑτέρων κεφαλαίων.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων.[1])

α'. Ὅσα πρὸς ὠφέλειαν τῶν ἡμετέρων ὑποτελῶν ὁρᾷ σπουδάζοντες διαπράττεσθαι καὶ τὸν παρόντα τίθεμεν νόμον, δι' οὗ θεσπίζομεν, κατὰ τὸν ἰούλιον ἤτοι αὔγουστον μῆνα μιᾶς ἑκάστης ἐπινεμήσεως τὰς μερικὰς διατυπώσεις τῶν συντελειῶν τῆς μελλούσης ἐπινεμήσεως ἐν τῷ δικαστηρίῳ τῶν ἑκάστης διοικήσεως ἐνδοξοτάτων ἡμῶν ὑπάρχων πραττομένων ὑπομνημάτων φανεροῦσθαι, σημαινούσας τὸ ὁπόσον ἐν ἑκάστῃ ἐπαρχίᾳ ἤτοι πόλει ὑπὲρ ἑκάστου ἰούγου ἢ ἰουλίων[2])

31[a]) His verbis imperator uti vix potuit dum Praef. Praetorio alloqueretur. itaque haec const. forte ut c. CLV ad Petrum mag. off. directa et Petro P. P. missa est. 32) Ven. annum XVIII et IV et Ind. VIII omittit. Iulianus: Dat. XV Kal. April. Constantinopoli imp. DN. Iustiniani PP. Aug. anno XVIII post Basilii v. c. cons. ann. IV Ind. VII (lege VIII). Athan.: *ἐγράφη πρὸ ιδ'* (al. *ιβ'*, al. *ιη'*) *καλ. ἀπριλ. βασιλείας ἰουστινιανοῦ ιβ'* (lege *ιη'*) *ὑπατείας* (lege *μετὰ ὑπατείαν*) *βασιλείου τὸ δ'*. Theod.: *ἐξεφωνήθη μηνὶ ἀπριλίῳ ἔτει ιη' μετὰ τὴν ὑπατείαν βελισαρίου* (lege *βασιλείου τὸ δ'*) *ἰνδ. η'*.

1) Hal. *ὑπ. τῶν ἱερῶν πρ.* 2) Sic. Ven. Flor. nec non Auth. et Iulian. si Codicum scripturam recte explicueris. proinde coniecturae *μιλίων* (millenarum) quam olim proposui

ἢ κεντουρίων ἢ ἄλλων οἱωνδήποτε ὀνόματι[3]) τοῦτο μὲν ἐν εἴδει τοῦτο δὲ ἐν χρυσίῳ δημοσίων ἕνεκεν ἐπίκειται, φανερούσας δὲ καὶ τῶν εἰδῶν τὴν ἀποτίμησιν κατὰ τὴν τράπεζαν καὶ τὴν ἐν ἑκάστῳ τόπῳ κρατοῦσαν συνήθειαν, καὶ τί ἐξ αὐτῶν εἰς τὴν ἄρκαν[4]) εἰσφέρεσθαι ἢ ἐν ἑκάστῃ ἐπαρχίᾳ δίδοσθαι ἢ δαπανᾶσθαι προσήκει[5])· οὕτω δὲ συντιθεμένας τὰς τοιαύτας διατυπώσεις τοῖς τῶν ἐπαρχιῶν ἄρχουσιν εὐθέως πέμπεσθαι ἐν προοιμίοις ἑκάστης ἐπινεμήσεως, καὶ δι' αὐτῶν προτίθεσθαι ἐν ταῖς ὑπ' αὐτοὺς καθεστώσαις πόλεσιν ἐντὸς τοῦ σεπτεμβρίου μηνὸς ἢ ὀκτωβρίου· ἀλλὰ καὶ τοῖς βουλομένοις τὰ ἴσα τούτων ἐκ τοῦ δικαστηρίου τῶν ἐνδοξοτάτων ὑπάρχων ἀνυπερθέτως δίδοσθαι, ὥστε τοὺς συντελεστὰς γινώσκειν καθ' ὃν τρόπον ὀφείλουσι τὰς συντελείας εἰσφέρειν. εἰ δὲ πρὸ τῆς ἐμφανείας εἰς ἑτέρους τίτλους παρὰ τοὺς περιεχομένους τῇ μερικῇ διατυπώσει τοῦ αὐτοῦ ἐνιαυτοῦ οἱ συντελεσταὶ τὰ δημόσια καταβάλλωσι ἢ κατὰ τὴν ἐπαρχίαν δαπανήσουσι, κελεύομεν αὐτοὺς εἰς τὰς τῆς αὐτῆς ἰνδικτίονος συντελείας ταῦτα λογίζεσθαι, ὥστε μηδεμίαν αὐτοὺς ὑπομένειν ζημίαν. εἰ δὲ κατὰ τὸν παρ' ἡμῶν ὁρισθέντα καιρὸν μὴ ἐκπεμφθῶσιν αἱ τοιαῦται μερικαὶ διατυπώσεις, οἱ μὲν κατὰ καιρὸν διοικοῦντες τὰ ἡμέτερα πραιτώρια λ' χρυσίου λιτρῶν ποινὴν καταθήσουσιν, οἱ δὲ ἑκάστης ἐπαρχίας τρακτευταὶ κ' χρυσίου λιτρῶν ποινὴν εἰσπραχθήσονται. εἰ δὲ ὁ ἄρχων στελλομένας τὰς αὐτὰς μερικὰς διατυπώσεις ἐν[6]) τῇ ἐπαρχίᾳ μὴ προθήσει, ι' χρυσίου λιτρῶν ποινὴν ζημιωθήσεται καὶ ἔκπτωσιν τῆς ζώνης ὑπομενέτω, τῆς αὐτοῦ τάξεως ε' χρυσίου λιτρῶν ποινὴν εἰσπραττομένης.[7])

locus non est. vide not. 15 ad const. XXI et tractatum Zur Kenntniss des röm. Steuerwesens in Mém. de l'Acad. de St. Pétersbourg VI no. 9. 1863. p. 22. 3) Verbum *ὀνόμ.* Auth. non agnoscit. et videtur glossema esse, quo significatur *ἰουλίων κτλ.* esse *ὀνόματα.* 4) Hal. *ἄρκλαν.* 5) Verba *δίδοσθαι — προσήκει* in Ven. desunt, eorumque loco lacuna est. 6) Pro *ἐν* in Ven. parva lacuna relicta est. 7) Ven. *εἰσπραχθήσεται.*

β'. Κελεύομεν δὲ τὴν μὲν τῶν εἰδῶν εἰσκομιδὴν εὐθέως ἐκ προοιμίων ἑκάστης ἐπινεμήσεως ἄρχεσθαι, τοὺς δὲ ἀργυρικοὺς τίτλους κατὰ τοὺς καιροὺς τοὺς ὡρισμένους.

γ'. Ὑπὲρ δὲ τῶν δημοσίων συντελειῶν τὰς ἀποχὰς ἤτοι ἀμεριμνίας, μερικάς τε καὶ πληναρίας, πᾶσι τρόποις παρὰ τῶν τὰ δημόσια ὑποδεχομένων γίνεσθαι διορίζομεν, σημαινούσας τὴν τῶν χρημάτων ποσότητα καὶ τῶν εἰδῶν, οὐ μὴν ἀλλὰ καὶ τῶν ἰούγων ἤτοι τῶν ἰουλίων ἤγουν κεντουρίων, καὶ τὰ ὀνόματα τῶν κτήσεων, ὑπὲρ ὧν τὰς συντελείας ὑποδέχονται. εἰ δὲ κατὰ τὸν εἰρημένον τρόπον τὰς ἀποχὰς ἤγουν ἀμεριμνίας μὴ ποιήσουσι, κελεύομεν αὐτοὺς καὶ ποινὴν δέκα χρυσίου λιτρῶν ἀπαιτεῖσθαι καὶ βασάνους ὑπομένειν, τοῦ ἄρχοντος ὁμοίως τῆς ἐπαρχίας ι' χρυσίου λιτρῶν ποινὴν εἰσπραττομένου, εἰ περὶ τούτου προσελευσθεὶς μὴ ἐκδικήσει, καὶ συνελάσει τὰς ἀποχὰς ἤτοι ἀμεριμνίας καθ' ἣν διωρίσαμεν[8]) τάξιν συγγραφῆναι.

δ'. Καὶ τοῦτο κελεύομεν παραφυλαχθῆναι, ὥστε εἴ τις ὡς εἰκὸς τῶν συντελεστῶν ἀμφιβάλοι περὶ κτήσεως ὑπὲρ ἧς δημόσια εἰσπράττεται ἢ ὑπὲρ τῆς τῶν δημοσίων ποσότητος, πᾶσι τρόποις τοὺς τῶν δημοσίων ἀπογραφῶν φύλακας ἀναγκάζεσθαι ὑπὸ τοῦ τῆς ἐπαρχίας ἄρχοντος, ἢ ἐκείνου ἀμελοῦντος παρὰ τοῦ τῶν τόπων ὁσιωτάτου ἐπισκόπου, ταύτας προφέρειν καὶ τὴν τῶν δημοσίων ἀποδεικνύναι ποσότητα κατὰ τὴν δύναμιν τῆς δημοσίας ἀπογραφῆς, καὶ οὕτως εἰσπράττεσθαι τὸν κεκτημένον.

ε'. Καὶ ἐν τούτῳ δὲ τοῖς ἡμετέροις συντελεσταῖς βοηθῆσαι συνείδομεν, ὥστε μὴ ἀνάγκην ἐπάγεσθαι τοῖς κτήτορσιν ὑποδέκτας ὀνομάζειν τῆς ἐν χρυσίῳ συντελείας[9]) πρὸς τὸ μή τινα ἐκ τούτου ὑπομένειν αὐτοὺς βλάβην, ἀλλὰ τούτους, οἷς ἐν ἑκάστῃ ἐπαρχίᾳ ἢ πόλει ὁ κίνδυνος τῆς τῶν δημο-

8) Ven. *δὲ ὡρίσ.* 9) Ita Hal. recte coniecit firmantibus Athan. et Auth. Theod. *ὑποδέκτας τοῦ χρυσίου.* Ven. et Flor. *τοὺς ἐν χρυσίῳ συντελεστάς.*

σίων ἀπαιτήσεως ἐπίκειται, εἴτε ἄρχοντες εἶεν εἴτε πολιτευόμενοι εἴτε ἐξάκτορες εἴτε βίνδικες εἴτε κανονικάριοι ἢ ἄλλοι τινὲς, τῷ ἰδίῳ κινδύνῳ ὑποδέχεσθαι τὰ χρήματα καὶ ἐκπέμπειν ἢ καὶ ἀναλίσκειν εἰς ἃς ἀφωρίσθησαν χρείας.

ϛʹ. Καὶ τοῦτο δὲ παραφυλαχθῆναι κελεύομεν, ὥστε κανονικάριον τοιοῦτον ἐν τῇ ἐπαρχίᾳ στέλλεσθαι, ὅστις δύναται τῷ κινδύνῳ τῶν προβαλλομένων αὐτὸν εἰσπράττειν τὰ δημόσια τέλη, ὥστε κατὰ μηδεμίαν πρόφασιν ἐξπελλευτὴν μετ᾽ αὐτὸν διέπεσθαι[10]) καὶ ζημίαν τοῖς ὑποτελέσιν ἐπάγειν· τοῦ γὰρ ἐξπελλευτοῦ καὶ αὐτὴν τὴν προσηγορίαν τοῦ λοιποῦ ἀναιροῦμεν. εἰ δὲ ἀνεπιτήδειος εὑρεθῇ ὁ κανονικάριος, μὴ ἐξπελλευτὴς πεμπέσθω, ἀλλ᾽ ἐκείνου ἀποκινουμένου ἄλλος στελλέσθω κανονικάριος. καὶ αὐτὸν δὲ τὸν κανονικάριον ἀρκεῖσθαι κελεύομεν ταῖς ὡρισμέναις συνηθείαις καὶ μηδεμίαν τοῖς ὑποτελέσιν ἐπάγειν βλάβην.

ζʹ. Εἴ ποτε δὲ συμβαίη ἐπιβολὴν οἱασδήποτε κτήσεως ὁμοδούλων ἢ ὁμοκήνσων γενέσθαι, ἐξ ἐκείνου τοῦ χρόνου κελεύομεν τὸν τὴν ἐπιβολὴν δεχόμενον ἀπαιτεῖσθαι ὑπὲρ αὐτῆς τὰ δημόσια, ἐξ οὗ παρεδόθη αὐτῷ ἡ ἐπιβαλλομένη κτῆσις· μὴ ἄλλως δὲ τὴν ἐπιβολὴν γίνεσθαι, εἰ μὴ ἐγγράφως περὶ τούτου ἐξέτασις γένηται παρὰ τῷ τῆς ἐπαρχίας ἄρχοντι, καὶ ψῆφος αὐτοῦ προέλθῃ διορίζουσα τὸν ὀφείλοντα[11]) δέξασθαι τὴν ἐπιβολήν. εἰ δέ τις νομίσειε βεβλάφθαι, ἔξεστιν αὐτῷ ἐκκαλεῖσθαι, ἵνα ἐν τῷ δικαστηρίῳ τῶν ἐνδοξοτάτων ἐπάρχων ἡ ἔκκλητος ἐγγυμνάζηται[12]) καὶ κατὰ τοὺς νόμους πέρας δέχηται.

ηʹ. Εἴ ποτε δὲ συμβαίη δεσπότην οἱασδήποτε κτήσεως ἢ μὴ φαίνεσθαι ἢ πρὸς τὴν τῶν δημοσίων καταβολὴν μὴ ἀρκεῖν, ὥστε διὰ τοῦτο τὴν τῆς ἐπιβολῆς ἀνάγκην γενέσθαι, κελεύομεν παραχρῆμα ταύτην παραδίδοσθαι τοῖς ὁμόδουλα

10) ἐκπέμπεσθαι Flor. 11) Ven. ὀφειλόμενον. 12) Ven. ἐγγυμνάζεται.

ἢ ὁμόκηνσα χωρία κεκτημένοις μετὰ πάντων τῶν ἐν αὐτῇ εὑρισκομένων γεωργῶν καὶ πεκουλίων αὐτῶν καὶ ἐνθηκῶν καὶ καρπῶν καὶ ζώων καὶ παντὸς ἄλλου ἰνστρούκτου καὶ instrumentου τοῦ ἐκεῖσε εὑρισκομένου. εἰ δὲ ἢ τὸ πρόσωπον τὸ ὀφεῖλον αὐτὴν κατὰ τοὺς νόμους ὑποδέξασθαι μὴ εὑρεθῇ ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ ὑπερτεθῆναι τὴν ἐπιβολὴν συμβαίη, κελεύομεν ὑπομνήματα γίνεσθαι 13) παρὰ τῷ τῆς ἐπαρχίας ἄρχοντι δηλοῦντα τὴν ποιότητα 14) καὶ κατάστασιν τῆς αὐτῆς κτήσεως καὶ πάντα τὰ ἐν αὐτῇ εὑρισκόμενα, καὶ οὕτως αὐτὴν οἱ πολιτευόμενοι ἤγουν ἐξάκτορες ἢ βίνδικες ἢ ταξεῶται παραλαμβάνωσιν, ὥστε εἰ μετὰ ταῦτα εὑρεθεῖεν οἱ ὀφείλοντες αὐτὴν κατὰ τοὺς νόμους δέξασθαι, μὴ ἄλλως τοῦτο γίνεσθαι, εἰ μὴ τὸ διὰ τῆς προφάσεως τῶν ἐξακτόρων ἢ βουλευτῶν ἢ βινδίκων ἢ ταξεωτῶν χεῖρον ἢ ἧττον γενόμενον τῷ παραλαμβάνοντι ἀποκατασταθείη.

θ΄. Καὶ τοῦτο δὲ κελεύομεν, ὥστε ὑπὲρ τῶν χρημάτων ἢ εἰδῶν τῶν ἐν ταῖς ἐπαρχίαις δαπανωμένων μὴ εἰσπράττεσθαι τοὺς συντελεστὰς τὰ λεγόμενα παραπομπικὰ, καὶ ὑπὲρ τῶν ἐκπεμπομένων δὲ μὴ πλέον παρέχειν τῶν ἐξ ἀρχῆς ἐν ἑκάστῃ ἐπαρχίᾳ διατυπωθέντων.

ι΄. Τοὺς δὲ ἐν ταῖς ἐπαρχίαις ὑπὲρ οἱασοῦν δημοσίων εἰσπράξεως στελλομένους μὴ ἄλλως ἄρχεσθαι τῆς ἀπαιτήσεως, εἰ μὴ πρότερον ἐν τῷ κατὰ χώραν δικαστηρίῳ ἐμφανίσουσι τὰς ἐπιτεθείσας αὐτοῖς περὶ τούτου κελεύσεις, ὥστε τοὺς καταβάλλοντας τὰ δημόσια τέλη μηδενὶ ὑπὲρ τούτων κινδύνῳ ἢ ζημίᾳ ὑποκεῖσθαι· τούτου αὐτοῦ καὶ ἐπὶ ταῖς ἰδιωτικαῖς ὑποθέσεσι φυλαττομένου.

ια΄. Καὶ τοῦτο δὲ κελεύομεν, ὥστε τοῖς δημοσίων ἀπαίτησιν ἐγκεχειρισμένοις μηδένα ἰδιωτικῶν πραγμάτων ἐκβιβασμὸν καταπιστεύεσθαι, ἀλλὰ καὶ εἴ τι αὐτοῖς τοιοῦτον ἐγκεχείρισται, μηδενὶ τρόπῳ τολμᾶν αὐτοὺς τοῦτο πράττειν,

13) Ven. γενέσθαι. 14) Ven. ποσότητα.

ὥστε μὴ τῇ προφάσει τῶν δημοσίων συντελειῶν τοὺς ἡμετέρους ὑποτελεῖς καταβλάπτεσθαι.

ιβ'. Εἰ δὲ καί τις ταῖς ἀληθείαις δημοσίας ἐποφείλων συντελείας εἴποι τῷ ἐκβιβαστῇ εἶναι αὐτῷ ἕτερον χρεώστην, μὴ ἐξεῖναι τῷ ἐκβιβαστῇ ὄχλησίν τινα τῷ ὀνομασθέντι ἐπάγειν, εἰ μὴ ὁ πρῶτος χρεώστης ἀποδειχθῇ κατὰ μηδένα τρόπον παντελῶς δυνάμενος τὰς δημοσίας συντελείας καταβάλλειν·[15]) καὶ τοῦτό γε μέντοι πρότερον ζητείσθω παρὰ τῷ ἄρχοντι τῆς ἐπαρχίας, εἰ ταῖς ἀληθείαις χρεώστης ἐστὶν ὁ ὀνομασθεὶς, καὶ οὕτως νομίμως γινέσθω ἡ εἴσπραξις ἐν ἑκατέρῳ θέματι. εἰ δέ τις[16]) ἐκβιβάσαι ἢ ἀπαιτῆσαι παρὰ τὰ παρ' ἡμῶν διατυπωθέντα τολμήσοι, καὶ τῆς ζώνης γυμνωθήσεται καὶ δημευθεὶς ἐξορίᾳ παραδοθήσεται. ὁ δὲ ἐγχειρήσας[17]) ἢ ἐπιτρέψας ἄρχων δέκα χρυσίου λιτρῶν εἰσπραττέσθω ποινὴν, καὶ ἡ τάξις αὐτοῦ πέντε χρυσίου λιτρῶν ὑποκείσθω[18]) ποινῇ.

ιγ'. Μηδενὶ παντελῶς ἐξέστω τῶν δημόσια τέλη εἰσπραττόντων μήτε δὲ κηνσουαλίοις ἢ λογογράφοις ἢ ἄλλοις τισὶ τῷ δημοσίῳ ὑπηρετουμένοις λόγῳ ἀσυλίας κεχρῆσθαι πρὸς τοὺς λέγοντας βεβλάφθαι παρ' αὐτῶν ἐπὶ τῇ τῶν δημοσίων εἰσπράξει.

ιδ'. Μηδεὶς δὲ τὸ σύνολον ἐνοχλείσθω ὑπὲρ συντελείας γηδίων ἅπερ οὐ κέκτηται, ἀλλὰ καὶ εἰ συμβαίη γεωργούς τινι προσήκοντας ἢ ἐναπογράφους ἰδίαν ἔχειν κτῆσιν, ἐκείνους ὑπὲρ αὐτῆς τὰς δημοσίας εἰσπράττεσθαι συντελείας, τοῦ δεσπότου αὐτῶν μηδεμίαν ὄχλησιν ὑπὲρ αὐτῶν[19]) ὑπομένοντος, εἰ μὴ ὡς εἰκὸς αὐτὸς ἰδίᾳ προαιρέσει τῇ τοιαύτῃ συντελείᾳ ἑαυτὸν ἐποίησεν ἔνοχον.

15) Ven. καταβαλεῖν. 16) Malim cum Auth. legere ἡ εἴσπραξις. ἐν ἑκατέρῳ δὲ θέματι (scil. cap. 11 et 12) εἴ τις. Ath. tamen ἑκάτερον τοῦ ἄρχοντος δοκιμάζοντος. 17) ἐγχειρίσας? 18) Verba εἰσπραττέσθω — ὑποκείσθω desunt in Ven. 19) Ven. ὑπὲρ ἑαυτῶν.

ιε΄. Τοὺς δὲ τὰ δημόσια τέλη εἰσπράττοντας δικαίοις σταθμοῖς τε καὶ μέτροις κεχρῆσθαι κελεύομεν, ἵνα μηδὲ ἐν τούτῳ τοὺς ἡμετέρους ὑποτελεῖς ἀδικῶσιν. εἰ δὲ οἱ συντελεσταὶ νομίσουσι βαρεῖσθαι εἴτε ἐν σταθμοῖς εἴτε ἐν μέτροις, ἐχέτωσαν ἄδειαν τὰ μὲν τῶν εἰδῶν μέτρα τε καὶ σταθμὰ[20]) παρὰ τῶν ἐνδοξοτάτων ὑπάρχων, τὰ δὲ τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου καὶ τῶν λοιπῶν μετάλλων σταθμὰ παρὰ τοῦ κατὰ καιρὸν ἐνδοξοτάτου κόμητος τῶν θείων λαργιτιόνων λαμβάνειν. καὶ τὰ αὐτὰ μέτρα καὶ σταθμὰ ἐν τῇ ἁγιωτάτῃ ἑκάστης πόλεως ἐκκλησίᾳ φυλάττεσθαι, ἵνα κατὰ[21]) ταῦτα δίχα βάρους τῶν συντελεστῶν καὶ ἡ τῶν δημοσίων εἰσκομιδὴ καὶ αἱ στρατιωτικαὶ καὶ αἱ ἄλλαι δαπάναι γίνωνται.

ις΄. Τῶν δὲ πόλεων τῆς ἡμετέρας πολιτείας καὶ τῶν οἰκούντων αὐτὰς τελείως προνοοῦντες κελεύομεν, μηδεμίαν παντελῶς εἶναι ἄδειαν τοῖς τῶν δημοσίων ἀπαιτηταῖς ἐπικοινωνεῖν τοῖς χρήμασιν, ἅτινα τοῖς ἔργοις καὶ σιτωνικοῖς τῶν πόλεων ἤτοι ἀγωγοῖς ἢ ἄλλοις οἱοισδήποτε σολεμνίοις ἢ σαλαρίοις ἀφωρίσθησαν, ἢ παρακρατεῖν τι ἐξ αὐτῶν ἢ εἰς[22]) ἴδιον κέρδος ἀποφέρεσθαι, ἀλλὰ δίχα τινὸς ἀναβολῆς ἢ μειώσεως ταῦτα παρέχειν, ὥστε προχωρεῖν εἰς ἃς ἐξ ἀρχῆς ἀφωρίσθησαν χρείας. ἀλλὰ μηδὲ τοὺς κτήτορας τῶν πόλεων ἢ οἰκήτορας τολμᾶν οἱῳδηποτοῦν τρόπῳ ἀφαιρεῖσθαί τι ἐξ αὐτῶν τῶν χρημάτων ἢ ὀνόματι διαγραφῶν ἢ ὑπὲρ σπορτούλων διδόναι τὶ ἐκ τούτων ἢ ἀναλίσκειν. εἰ δέ τις ἢ δοῦναι ἢ λαβεῖν ἐξ αὐτῶν τολμήσοι, κελεύομεν αὐτὸν οἴκοθεν ἐν διπλῇ ποσότητι τοῦτο τῇ πόλει ἀποδιδόναι. ἀλλὰ μηδὲ τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας ἢ τὰς τούτων τάξεις ἢ ἄλλον οἱονδήποτε παντελῶς μετουσίαν ἔχειν τινὰ πρὸς τὰ εἰρημένα χρήματα ἢ τῇ τούτων διοικήσει ἑαυτὸν παρεμβάλλειν. ἀλλὰ τὸν ἑκάστης πόλεως ὁσιώτατον ἐπίσκοπον καὶ τοὺς πρωτεύον-

20) Ven. *στάθμα* scribit. 21) Ven. *καί.* 22) Ven. *παρ. ἤ τι ἐξ αὐτ. εἰς.*

τας τῆς πόλεως, οὐ μὴν ἀλλὰ καὶ τοὺς αὐτῆς κτήτορας προβάλλεσθαι μὲν τὸν πατέρα τῆς[23] πόλεως καὶ τὸν σιτώνην καὶ ἄλλους τοιούτους διοικητὰς, ἑκάστου δὲ ἐνιαυτοῦ πληρουμένου τὸν ὁσιώτατον ἐπίσκοπον μετὰ πέντε πρωτευόντων τῆς πόλεως τοὺς λογισμοὺς ἀπαιτεῖν τοὺς παρ' αὐτῶν προβληθέντας, καὶ εἴ τι ἐκ τῶν τοιούτων λογισμῶν φανείη ἐποφειλόμενον ἢ ἀπομεῖναν, εἰσπράττεσθαι τοὺς τοιούτους διοικητὰς τῷ κινδύνῳ τῶν αὐτοὺς προβαλλομένων, καὶ ταῖς χρείαις αἷς ἀφώρισται φυλάττεσθαι. εἴ τις δὲ ἐκ τῶν εἰρημένων διοικητῶν ἀνεπιτήδειος εὑρεθείη, παραχρῆμα τοῦτον ἀποκινεῖσθαι κελεύομεν, καὶ ἄλλον ἀντ' αὐτοῦ ὑπό τε τοῦ ὁσιωτάτου τῆς πόλεως ἐπισκόπου ὑπό τε τῶν λοιπῶν κτητόρων καθὼς εἴρηται προβάλλεσθαι. εἰδότων τῶν ὀνομαζόντων αὐτοὺς, ὡς εἴ τις ζημία τῇ πόλει συμβαίη, ἐκ τῶν ἰδίων οὐσιῶν ταύτην θεραπεύσουσι.

ιζ'. Μηδενὶ δὲ ἐξέστω [τῶν][24] ἢ ἐν τῇ τάξει τῶν ἐνδοξοτάτων ἐπάρχων ἢ ἐν ἄλλῃ τάξει ἢ ἐν σχολῇ ἀναφερομένων τὰ τοιαῦτα λογοθέσια ἐπιτρέπεσθαι, μηδὲ ἐκ προστάξεως τῆς αὐτῆς ἀρχῆς ἢ ἄλλου ἄρχοντος, μηδὲ εἰ πραγματικὸν ἢ ἄλλον τύπον ἢ θεῖον κομμονιτόριον λάβοι ἐπιτρέπον αὐτῷ τι τοιοῦτον. ἀλλ' εἴ τι τοιοῦτο γένηται, ἄδειαν ἔχειν τὸν ἑκάστης πόλεως ὁσιώτατον ἐπίσκοπον καὶ τοὺς ταύτης πρωτεύοντας μὴ ἀποκρίνεσθαι ὑπὲρ τῶν εἰρημένων κεφαλαίων τοῖς τοιούτοις προσώποις, ἀναφέρειν δὲ εἰς ἡμᾶς, ἵνα τοῦτο γινώσκοντες καὶ τὴν ἐπαχθεῖσαν ταῖς πόλεσι ζημίαν ἐκ τῆς αὐτῶν οὐσίας ἀποκαταστῆναι κελεύσωμεν καὶ τὴν προσήκουσαν ἐκδίκησιν τοῖς τοιούτοις ἐπαγάγωμεν.

ιη'. Πρὸς τούτοις κελεύομεν, τοὺς σκρινιαρίους τῶν ἔργων τοὺς ὑπὸ τοὺς ὑπάρχους τῶν ἱερῶν πραιτωρίων

23) Ven. τὸν τῆς. 24) Hoc necessario addendum fuit. Hal. paulo post τῶν ἀναφ.

τελοῦντας μηδεμίαν μετουσίαν πρὸς τὰ τοιαῦτα λογοθέσια παντελῶς ἔχειν, ἀργούντων ἁπάντων δι' ὧν αὐτοῖς εἴτε ἰδικῶς τι τοιοῦτο πρῴην ἐπιτέτραπται ἢ μετὰ ταῦτα πορισθείη. τοὺς γὰρ ὑπὲρ τῶν εἰρημένων αἰτιῶν λογισμοὺς οὐδένα ἐπιτρέπεσθαι βουλόμεθα, εἰ μὴ ἡμεῖς συμφέρειν ταῖς πόλεσιν ἡγησάμενοι ἄνδρα εὐϋπόληπτων καὶ ἀξίᾳ κεκοσμημένον ἐπιλεξόμεθα, τὸν ὀφείλοντα παρ' ἡμῶν ἔγγραφον θείαν κέλευσιν λαβεῖν, περιέχουσαν διὰ ἡμετέρας εὐσεβοῦς ὑποσημειώσεως καὶ τὸ ἐκείνου ὄνομά τε καὶ ἀξίαν καὶ τὰς αἰτίας καὶ τοὺς χρόνους ὧν αὐτῷ τοὺς λογισμοὺς ἐπιτρέπομεν. τοὺς δὲ ὑπὸ τῶν τοιούτων προσώπων λογοθετουμένους πᾶσαν ἔχειν ἀσφάλειαν παρακελευόμεθα, ἑτέραν ζήτησιν μηδαμῶς ὑπομένοντας.

ιθ'.[25]) *Πρὸς τούτοις θεσπίζομεν, μηδενὶ τῆς ἡμετέρας πολιτείας τόπῳ τὸν αὐτὸν καὶ ἄρχοντα εἶναι καὶ τοποτηρητὴν τῶν ἐνδοξοτάτων ἐπάρχων ἢ στρατηγίδος ἀρχῆς, ἀλλὰ μηδέ τινα εἴσπραξιν δημοσίων συντελειῶν χειρίζοντα τοποτηρητὴν εἶναι τῶν ἐνδοξοτάτων ἐπάρχων καὶ στρατηγίδος, καὶ ἁπλῶς εἰπεῖν μηδένα ἐν ταῖς ἐπαρχίαις γίνεσθαι τοποτηρητὴν ἐπάρχων, εἰ μὴ ἐξ ἡμετέρας ἐγγράφου κελεύσεως ἐν τοῖς ἐξπεδίτοις, ὅπου χρεία ἐστὶ καὶ τοποτηρητὴν ἐπάρχων πέμπεσθαι τῆς αὐτῆς ἐπαρχότητος τὸν ὀφείλοντα προνοεῖν τῶν στρατιωτικῶν δαπανημάτων. εἰ δέ τι παρὰ ταῦτα πλημμεληθείη, ὁ μὲν τοποτηρητὴν ἑαυτοῦ ποιήσας λ' λιτρῶν χρυσίου ποινὴν εἰσπραχθήσεται, ἀποκαθιστῶν καὶ πᾶσαν δαπάνην ἢ ζημίαν ἣν ἂν διὰ τοῦ παρ' αὐτοῦ σταλέντος τινὲς ὑπομείνοιεν, ὁ δὲ γενέσθαι θαῤῥήσας καὶ τῆς ἰδίας ἀρχῆς καὶ ἐξουσίας καὶ στρατείας ἐξαιρεθήσεται, καὶ δέκα χρυσίου λιτρῶν ποινὴν ζημιωθήσεται.*

κ'. Κωλύομεν δὲ πρὸς τούτοις καὶ τοὺς ἐν ταῖς ἐπαρχίαις ὄντας ἄρχοντας, πολιτικούς τε καὶ στρατιωτικοὺς, ἐν

25) Cap. 19. 20 Hal. non habet.

ταῖς πόλεσιν ἤτοι κάστροις τοποτηρητὰς ἐν ταῖς καταπιστευθείσαις αὐτοῖς ἐπαρχίαις ποιεῖν, ἐξ οὗ δηλαδὴ εἰς τὴν ἐπαρχίαν παραγένωνται καὶ ἐν ὅσῳ ἐν αὐτῇ ἄρχουσι· πέντε χρυσίου λιτρῶν ποινῆς ἐπικειμένης τοῦτο μὲν τῷ ποιοῦντι τοποτηρητὴν ἄρχοντι τοῦτο δὲ τῷ γενέσθαι τολμήσαντι. πρὶν δὲ ἐν ταῖς ἐπαρχίαις παραγένωνται οἱ ἄρχοντες, δίδομεν αὐτοῖς ἄδειαν τοποτηρητὰς ἑαυτῶν προβάλλεσθαι, πάντα ὀφείλοντας μέχρι τῆς αὐτῶν παρουσίας διαπράττεσθαι, ἅτινα δύνανται οἱ αὐτοὶ ἄρχοντες ποιεῖν, δίχα μέντοιγε ἐσχάτης τιμωρίας ἢ μέλους ἀποκοπῆς. ἀλλ' εἰ καί τις ἐκ τῶν ἀρχόντων κατὰ κέλευσιν ἡμετέραν εἰς ἄλλην ἐπαρχίαν ἐκπεμφθῇ, ἐξέστω αὐτῷ κατὰ τὸν ὅμοιον τρόπον τοποτηρητὴν ἑαυτοῦ ποιεῖν.

κα´. Κελεύομεν δὲ πάντας τοὺς ἄρχοντας[26]), τοῦτο μὲν στρατιωτικοὺς τοῦτο δὲ καὶ πολιτικούς, δι' ἑαυτῶν ἀναζητεῖν τοὺς[27]) ληστείας ἢ βίας ἢ ἁρπαγὰς[28]) πραγμάτων ἢ γυναικῶν ἢ ἄλλα οἱαδήποτε ἀτοπήματα ἐν ταῖς ἐπαρχίαις πλημμελοῦντας καὶ τιμωρίας αὐτοῖς νομίμους ἐπάγειν, καὶ μηδὲ ὑπὲρ τούτων τῶν αἰτιῶν κομίζεσθαί τι συνηθειῶν ὀνόματι, ὥστε πανταχόθεν τοὺς ἡμετέρους ὑποτελεῖς ἀβλαβεῖς φυλαχθῆναι. οὐδὲ γὰρ συγχωροῦμεν οἱῳδήποτε μείζονι ἢ ἐλάττονι στρατιωτικῷ ἢ πολιτικῷ ἄρχοντι ἢ ληστοδιώκτας ἢ βιοκωλύτας ἢ τριβούνους ὑπὲρ τῶν τοιούτων αἰτιῶν ἐν ταῖς ἐπαρχίαις προβάλλεσθαι, ἢ τοὺς ὀφείλοντάς τινας ἀφοπλίζειν, ὥστε μὴ διὰ τῶν τοιούτων προφάσεων πλείονας βίας ἐπάγεσθαι τοῖς ἐπαρχεώταις. εἰ δέ τις τῶν ἀρχόντων ταῦτα μὴ παραφυλάξοι, γινωσκέτω μὴ μόνον τῆς καταπιστευθείσης αὐτῷ ἀρχῆς ἀφαιρεῖσθαι, ἀλλὰ καὶ δέκα χρυσίου λιτρῶν ποινὴν καταβάλλειν· τοῦ τολμῶντος τοιοῦτο πρᾶγμα παραλαβεῖν μετὰ βασάνους καὶ τὴν τῆς οὐσίας δήμευσιν εἰς ἐξορίαν πεμπομένου.

26) Ita Hal. Epan. Auth. Iul. (Theod.: πᾶς ἄρχων). itaque perperam Ven. τοπάρχας. 27) Ven. τάς. 28) Ven. ἁρπαγῆς.

κβ'. Πρὸς τούτοις κελεύομεν τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας καὶ[29]) τὰς αὐτῶν τάξεις, εἴ ποτε ἐκ πόλεως εἰς πόλιν παραγένωνται, μηδὲ ἀγγαρείαις μηδὲ διαγραφαῖς ἢ ἄλλοις δαπανήμασι τοὺς ὑποτελεῖς βαρύνειν, ἀλλ' ἐκ τῶν ἀφωρισμένων αὐτοῖς ἐκ τοῦ δημοσίου ἀννόνων τὰς δαπάνας ποιεῖν.

κγ'. Πρὸς τούτοις θεσπίζομεν, τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας πᾶσι τρόποις μετὰ τὸ ἀποθέσθαι τὴν ἀρχὴν πεντήκοντα ἡμέρας ἐν ταῖς ἐπαρχίαις διατρίβειν, καὶ τοῖς ἐναγωγάς τινας κατ' αὐτῶν κινοῦσιν ἀποκρίνεσθαι.[30]) εἰ δὲ συμβαίη τινὰς ἐξ αὐτῶν πρὸ τοῦ πληρῶσαι τὰς ν' ἡμέρας καταλιπεῖν[31]) τὴν χώραν, κελεύομεν πάντας τοὺς παρ' αὐτῶν ζημίαν τινὰ ὑπομείναντας συνιέναι παρὰ τῷ ὁσιωτάτῳ ἐπισκόπῳ τῆς μητροπόλεως τῆς αὐτῆς ἐπαρχίας, καὶ ἐπὶ πράξεως ὑπομνημάτων ἕνα ἕκαστον ἁπτόμενον τῶν ἁγίων εὐαγγελίων φανεροῦν τὰς ἐπαχθείσας αὐτῷ ζημίας, καὶ ἐκ τῆς ἐκείνου περιουσίας καθ' οὗ τὰ τοιαῦτα γέγονεν ὑπομνήματα πᾶσαν ζημίαν τοῖς βλαβεῖσιν ἀποκαθίστασθαι προνοίᾳ καὶ κινδύνῳ τῶν κατὰ καιρὸν ἐπάρχων καὶ τῶν τῆς αὐτῆς ἐπαρχίας[32]) τρακτευτῶν· εἰδότων, ὡς εἰ τοῦτο πληροῦν ἀμελήσουσιν[33]), αὐτοὶ ἐκ τῶν ἰδίων περιουσιῶν πάσας τὰς ζημίας τοῖς βλαβεῖσιν ἀποκαταστῆσαι ἀναγκασθήσονται.

κδ'. Εἰ δέ τις τῶν ἀρχόντων τῶν ἐπαρχιῶν ἢ μετακληθείη εἰς[34]) ἄλλην ἀρχὴν ἢ χρείαν ἢ[35]) ἄλλην ἐπαρχίαν καταπιστευθείη, κελεύομεν αὐτὸν νομίμου ἐντολέως προβαλλομένου τοῖς τὰς ἐναγωγὰς ὑπὲρ ζημιῶν προτιθεῖσιν ἀποκρίνεσθαι. ὅπερ εἰ μὴ πράξοι, θεσπίζομεν καὶ ὑπομνήματα

29) Ven. *οὐ* pro *καί*. 30) Flor. hic quaedam inserit ex const. Tiberii, qnae in Coll. 168 Novv. numero 161 habetur. 31) Epan. *λαθεὶν καὶ καταλ.* 32) Ven. et Bas. *καὶ τρακτ. τῆς αὐτῆς ἐπ.* rectius Hal. ne verba *τῆς αὐτῆς ἐπ.* simul ad *ἐπάρχων* trahantur. sic et infra cap. 24. 33) Ven. pro *πληροῦν* parvam lacunam habet. Hal. *ἀμελήσαιεν*. 34) Ven. *ἢ*. 35) Ven. *εἰς*.

παρὰ τῷ ὁσιωτάτῳ ἐπισκόπῳ καθὼς ἀνωτέρω εἴρηται πράττεσθαι, καὶ τοῖς ὑπὲρ τῶν ζημιῶν τῶν ἐπαχθεισῶν αὐτοῖς ὀμόσασι κατὰ τὴν τῶν πεπραγμένων δύναμιν πᾶσαν ζημίαν ἀποδίδοσθαι, προνοίᾳ ὁμοίως καὶ κινδύνῳ τῶν κατὰ καιρὸν ἐπάρχων καὶ τῶν ἑκάστης ἐπαρχίας τρακτευτῶν.

κε΄. Πάσας δὲ τὰς χρηματικὰς ποινὰς τὰς[36]) *τῷ παρόντι νόμῳ περιεχομένας ὑπὸ τοῦ κατὰ καιρὸν κόμητος τῶν πριβάτων εἰσπράττεσθαι τοὺς τὸν παρόντα νόμον μὴ φυλάττοντας καὶ τῷ ἡμετέρῳ φίσκῳ ἐκδικεῖσθαι θεσπίζομεν, ὅστις εἰ μὴ ταῦτα ἐκδικήσει, αὐτὸς μετὰ τῆς ὑπηρετούσης αὐτῷ σχολῆς ἐκ τῆς ἰδίας αὐτοῦ περιουσίας τὴν τούτων ποσότητα καταβαλεῖν ἀναγκασθήσεται.*

Ἅτινα τοίνυν διὰ τοῦ παρόντος σωτηριώδους νόμου τοῦ εἰς τὸ διηνεκὲς ἰσχύσοντος ὑπὲρ τῆς ὠφελείας καὶ καταστάσεως τῶν ἡμετέρων ὑποτελῶν διετυπώσαμεν, ἡ σὴ ἐνδοξότης ἄτρωτα καὶ ἀσάλευτα διὰ πάντων παραφυλαχθῆναι σπευσάτω, καὶ εἰς τὴν ἁπάντων γνῶσιν ἐλθεῖν ποιησάτω, ἰδίκτων μὲν κατὰ ταύτην[37]) *τὴν βασιλίδα πόλιν προτιθεμένων, προστάξεων δὲ πρὸς τοὺς λαμπροτάτους τῶν ἐπαρχιῶν ἄρχοντας στελλομένων*[38]), *ἵνα δι' αὐτῶν πᾶσι δῆλα γένηται.* Dat. [VIII] Id. Iun. DN. Iust. PP. Aug. [ann. XIX., post] Basilii V. C. cons. [ann. IV. indict. VIII.].[39])

36) Ven. *ποινὰς τὰς* omittit. 37) Ven. *ταύτην* non habet. 38) Ven. verba *προστάξεων — στελλομένων* omittit. 39) Ven. Dat. Id. Iun. DN. Iust. PP. Aug. Basil. v. c. cons. Iul.: Dat. VIII Kal. Iun. post cons. Basilii a. IV ind. VIII Ath.: *ἐγράφη η΄ ἰδ. ἰουνι. βασιλείας ἰουστινιανοῦ τὸ ιθ΄ μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ΄.* Theod.: *ἐξεφωνήθη μηνὶ ἰουνίῳ ἔτει ιη΄ τῆς βασιλείας μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ΄.*

Nov. 124. **CLIII.** Auth. 117

Basil. VII, 4, 5. — Summae: Iulian. c. 122, Ath. V, 3, Theod. Nov. 124, *αἱ ῥοπαί* 17, 5 et Nomoc. XIV titt. 13, 18.

Περὶ τῶν δικαζομένων.[1])

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ ἐπάρχῳ πραιτωρίων.[2])

Τὸν παρόντα νόμον προφέρομεν, ἵνα καὶ ἡ τῶν δικαστῶν καθαρότης φανερωθῇ καὶ οἱ δικαζόμενοι μὴ ἰσχύσωσι διὰ δόσεως τοὺς νόμους περιγράψαι.

α΄. Κελεύομεν τοίνυν, ὁσάκις παρ' οἱοισδήποτε δικασταῖς ἢ ἄρχονται δίκαι ἢ ἔκκλητοι ἐξετάζονται, πρὸ πάντων τὰ πρωτότυπα τῶν δικαζομένων πρόσωπα, ἢ ἐκείνους εἰς οὓς ὡς εἰκὸς ἐν μέσῳ ἡ ὑπόθεσις μετενεχθῇ, παρουσίᾳ τῶν δικαστῶν ἁπτομένους τῶν ἁγίων εὐαγγελίων ὀμνύναι, ὅτι οὐδὲν παντελῶς τοῖς δικασταῖς προστασίας χάριν ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ ταύτης τῆς αἰτίας καθ' οἱονδήποτε τρόπον δεδώκασιν ἢ ὑπέσχοντο ἢ μετὰ ταῦτα δώσουσιν, ἢ δι' ἑαυτῶν ἢ δι' ἄλλου οἱουδήποτε μέσου προσώπου, ἐξῃρημένων τούτων ἅτινα τοῖς ἰδίοις συνηγόροις ὑπὲρ τῆς συνηγορίας παρέχουσιν ἢ τοῖς ἄλλοις προσώποις, ἅπερ[3]) οἱ ἡμέτεροι νόμοι δίδοσθαι διετύπωσαν. τοῦτο δὲ παραφυλάττεσθαι προστάττομεν καὶ ἐν τῷ θείῳ ἡμῶν consistorio[4]) ὅταν consultationes εἰσάγωνται, ὥστε παρουσίᾳ τῆς ἱερᾶς συγκλήτου τοὺς μνημονευθέντας ὅρκους παρέχεσθαι. εἰ δὲ ὡς εἰκός τινες τῶν δικαζομένων μὴ δύνανται πρὸς τοὺς δικαστὰς παραγίνεσθαι, τότε κελεύομεν τοὺς παρόντας μὲν ὀμνύειν τὸν προειρημένον ὅρκον, πέμπεσθαι δὲ πρὸς τοὺς

1) Flor. *περὶ δικαζομένων ἡ ὅλη νεαρὰ* scil. in Basil. 2) Hal. *τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτ.* 3) Hal. *οἵσπερ*, accedente Iuliano. Theod. *χωρὶς τῶν συνηγορικῶν καὶ τῶν ἐξ ἔθους διδομένων*. Auth. et Ath. cum Ven. faciunt. 4) Ven. inter lineas *ἀκροατηρίῳ*.

ἀπόντας ἐκ τῶν ὑπηρετουμένων τάξεών τινας μετὰ τοῦ ἐξ-εναντίας μέρους, ὥστε παρόντων αὐτῶν τοὺς εἰρημένους ὅρκους ὁμοίως παρέχεσθαι. εἰ δὲ γυνὴ εἴη, ἥτις διὰ τὴν σεμνότητα τοῦ βίου ἐξωτικοῖς ἀνδράσιν ἑαυτὴν δεικνύναι οὐκ εἴωθεν, τηνικαῦτα καὶ ἀπόντος τοῦ ἀντιδίκου τοὺς ἐκ τῆς τάξεως πεμπομένους τοὺς μνημονευθέντας δέχεσθαι ὅρκους. εἰ δὲ ἀπεῖναι τὰ μέρη ἐν ἄλλοις τόποις συμβαίη ἢ ἓν ἐξ αὐτῶν, κελεύομεν τὸν ἀπόντα ἐν τῇ ἐπαρχίᾳ ἐν ᾗ διάγει τοὺς ὅρκους κατὰ τὸν εἰρημένον παρ' ἡμῶν τρόπον ἐπὶ πράξεως ὑπομνημάτων παρὰ τῷ ἄρχοντι τῆς ἐπαρχίας ἢ παρὰ τῷ τῶν τόπων ἐκδίκῳ παρέχειν. ἐκείνου δηλονότι γενικῶς παραφυλαττομένου, ἵνα εἴ τις τῶν δικαζομένων ἀπὼν ἢ παρὼν τὸν τοιοῦτον ὅρκον παρασχεῖν μὴ θελήσει καὶ τοῦτο φανερωθῇ τῷ δικαστῇ, κατὰ ψῆφον αὐτοῦ ὁ μὲν ἐνάγων τὴν ἔκπτωσιν τῆς ἀγωγῆς, ὁ δὲ ἐναγόμενος καταδίκην ὑπομείνῃ.

β'. Εἰ δέ τις ἐκ τῶν δικαζομένων εἴπῃ δεδωκέναι τινὶ[5]) ἢ ὑποσχέσθαι, καὶ τὸ πρόσωπον ἐξείπῃ καὶ τοῦτο ἀποδείξει, αὐτὸς μὲν ἐπὶ τῇ τῆς δίκης ἐκβάσει συγγνώμης ἀξιούσθω, ὁ δὲ ἢ δόσιν ἢ ὑπόσχεσιν καταδέξασθαι δεικνύμενος, εἰ μὲν χρηματικὴ εἴη ἡ ὑπόθεσις, τὸ μὲν διδόμενον τριπλοῦν, τὸ δὲ ὑποσχεθὲν διπλοῦν ὑπὸ τοῦ κόμητος τῶν πριβάτων εἰσπραττέσθω, καὶ τὴν ἀξίαν ἤτοι ἀρχὴν ἣν ἔχει ἐφ' ἑκατέρου θέματος ἀπολλύτω. εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορία, δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω καὶ εἰς ἐξορίαν πεμπέσθω, ὅστις διὰ λῆψιν ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν ἐσπούδασε μετενεγκεῖν. εἰ δὲ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν ο litigatωρ[6]) μὴ δυνηθῇ δεῖξαι, ὀμνύτω τὸ πρόσωπον το τὴν δόσιν ἤτοι ὑπόσχεσιν λεγόμενον καταδέξασθαι, ὅτι οὐδὲ δι' ἑαυτοῦ οὐδὲ δι' ἄλλου προσώπου ἢ ἔλαβέ τι

5) Ven. τι, quod propter sequens προσώπῳ ferri non poterat. 6) Ven. inter lineas ὁ διάδικος.

ἢ ὑπόσχεσιν ἔσχε, καὶ τοῦ τοιούτου ὅρκου παρεχομένου αὐτὸς μὲν ἐλεύθερος ἔστω[7]), ὁ δὲ λιτιγάτωρ ὁ μὴ δυνηθεὶς δεῖξαι ἐπὶ μὲν ταῖς χρηματικαῖς αἰτίαις τὴν ἀποτίμησιν τῆς δίκης ὑπὸ τοῦ κόμητος τῶν πριβάτων εἰσπραττέσθω, τῆς δίκης δηλονότι τὴν ἰδίαν ἔκβασιν ἀναμενούσης, ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς δήμευσιν τῶν οἰκείων πραγμάτων ὑπομενέτω, καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἁρμοδίοις δικασταῖς κατὰ τὴν τῶν νόμων τάξιν περαιούσθω. εἰ δὲ τὸ παρὰ τοῦ δικαζομένου φανερωθὲν πρόσωπον τὸν μνημονευθέντα παραιτήσεται ὅρκον, τοῦτο μὲν ἐπὶ ταῖς ἐγκληματικαῖς τοῦτο δὲ καὶ ἐπὶ ταῖς χρηματικαῖς αἰτίαις ταῖς μνημονευθείσαις ὑποκείσθω ποιναῖς. εἰ δέ τις τῶν δικαζομένων ὀμόσει μὴ δεδωκέναι ἢ ἐπαγγείλασθαι, ἐντὸς δὲ τεσσάρων μηνῶν μετὰ τὸ προενεχθῆναι τὴν ψῆφον ἀριθμουμένων δειχθῇ δοθέν τι ἢ ὑποσχεθὲν, αἱ εἰρημέναι ποιναὶ κατά τε τῶν διδόντων κατά τε τῶν λαμβανόντων χώραν ἕξουσιν. ἐν δὲ ταῖς δίκαις ταῖς δι' ἐπιτρόπων ἢ κουρατώρων πραττομέναις τοὺς μὲν ὅρκους οἱ ἐπίτροποι ἤτοι κουράτωρες παρεχέτωσαν. εἴ τις δὲ ἐκ τῶν εἰρημένων ποινῶν χώραν λάβοι διὰ τῶν τοιούτων ὅρκων, ταύτην οἱ ἐπίτροποι ἤτοι κουράτωρες ὑπομενέτωσαν, μηδενὸς ἐκ τούτου προκρίματος γινομένου τοῖς ὑπὸ ἐπιτροπὴν ἤτοι κουρατωρείαν εἶναι γινωσκομένοις.

γ'. Καὶ τοῦτο δὲ κελεύομεν παρὰ πάντων τῶν δικαστῶν, τοῦτο μὲν στρατιωτικῶν τοῦτο δὲ πολιτικῶν, ἐν παντὶ τόπῳ τῆς ἡμετέρας πολιτείας παραφυλάττεσθαι, ἵνα μηδὲ τοῖς μαγιστριάνοις μηδὲ τοῖς ἐπαρχικοῖς μηδὲ ἄλλῳ οἱῳδήποτε ἐκβιβαστῇ συγχωρῶσι πλέον τὶ παρ' οἱουδήποτε προσώπου σπορτούλων ὀνόματι λαμβάνειν τῶν τοῖς ἡμετέροις διηγορευμένων νόμοις, οὐδὲ εἰ θείαν τοῦ ἡμετέρου κράτους προσφέροιεν κέλευσιν. ἀλλ' εἴ τινα εὕροιεν πλέον τὶ ἀπαιτοῦντα, ἄδειαν ἐχέτωσαν καὶ συνέχειν καὶ ἐγκλείειν τοῦτον, καὶ τετρα-

7) Ven. ἔσται.

πλάσιον ἀπαιτεῖν ὅπερ πλέον λάβοι, ἵνα τὸ μὲν ἁπλοῦν τῷ τὴν ζημίαν ὑπομείναντι ἀποδιδῶται, τὸ δὲ τριπλοῦν τῷ φίσκῳ εἰσφέρηται.[8]) εἰ δὲ ὁ πολιτικὸς ἢ στρατιωτικὸς ἄρχων, εἴτε προσελευσθεὶς εἴτε οἱῳδήποτε τρόπῳ γινώσκων τοῦτο, ἀμελήσει τὸν βλαπτόμενον καθὼς εἴρηται ἐκδικῆσαι, ἐκ τῆς ἰδίας περιουσίαν τὸ τετραπλάσιον κατὰ τὸν εἰρημένον τρόπον εἰσπραχθήσεται. τὴν δὲ αὐτὴν ποινὴν εἰσπράττεσθαι κελεύομεν διὰ τοῦ κόμητος τῶν ἡμετέρων πριβάτων καὶ τοὺς ἁρμοδίους ἄρχοντας, εἰ γνοῖέν τινας ἐκ τῶν ἰδίων τάξεων ἐκβιβαστὰς σπορτούλων ὀνόματι παρὰ τοὺς ἡμετέρους νόμους εἰσπρᾶξαί τι καὶ τοῦτο ἀμελήσουσιν ἐκδικῆσαι. δίδομεν δὲ ἄδειαν καὶ τοῖς μεθοδευομένοις μηδὲν πλέον τοῖς ἐκβιβασταῖς διδόναι τῶν διωρισμένων παρὰ τῆς ἡμετέρας διατάξεως, καὶ εἴ τι πλέον αὐτοὺς εἰσπράξαι βουληθεῖεν, ἐχέτωσαν ἄδειαν αὐτοῖς ἀντιστῆναι.

δ΄. Ἐπειδὴ δὲ νόμος τοῦτο μὲν τοῦ τῆς εὐσεβοῦς λήξεως πατρὸς ἡμῶν τοῦτο δὲ καὶ τῆς ἡμετέρας γαληνότητος[9]) διετύπωσε, μηδενὶ τρόπῳ τοὺς δικαστὰς ταῖς ἰδίαις ψήφοις ἐγγράφειν, ὡς ἐκ βασιλικοῦ ῥήματος ἀγράφως προενεχθέντος κελευσθῆναί τινας διαχθῆναι ἤτοι παραστῆναι, ἀλλὰ καὶ τοὺς περιβλέπτους ῥεφερενδαρίους τὰς ἡμετέρας κελεύσεις κατὰ τὸ προσῆκον ποιεῖν φανεράς, τὸν αὐτὸν νόμον βεβαιοῦντες κελεύομεν, τοὺς περιβλέπτους ῥεφερενδαρίους ἐπὶ ταῖς αἰτίαις αἷς διδάσκουσιν ἤτοι ἀναφέρουσι πρὸς τὴν ἡμετέραν γαληνότητα μηδεμίαν ἔχειν ἄδειαν, ἢ αὐτοὺς ἢ τοὺς αὐτῶν[10]) βοηθοὺς δι᾽ ἑαυτῶν ἢ δι᾽ ἄλλου οἱουδήποτε προσώπου κρατεῖν τινα ἢ ὑπὸ ἐγγύην ποιεῖν ἢ τι᾽[11]) εἰσπράττειν, ἢ ἀναγκάζειν διαλύσεις ἢ σύμφωνά τινα μετὰ τῶν ἰδίων ἀντιδίκων τίθεσθαι, ἢ οἱῳδήποτε τρόπῳ[12]) ἢ οἱῳδήποτε πράγματι ἑαυτοὺς ἐμμιγνύναι. οὐδὲν γὰρ ἄλλο ποιεῖν αὐ-

8) Ven. εἰσφέρεται. 9) l. 2 C. de mandat. princ. 1, 15. 10) Ven. ἑαυτῶν. 11) Hal. τινα. 12) Fortasse ἢ οἱῳδ. τρόπῳ οἱῳδήποτε πράγματι.

τοὺς συγχωροῦμεν, εἰ μὴ μόνον τὰς ἡμετέρας κελεύσεις ἐφ' οἱαδήποτε ὑποθέσει ἐγγράφως ἢ ἀγράφως προφερομένας τοῖς ἁρμοδίοις ἢ τοῖς ἀφωρισμένοις δικασταῖς ἐμφανίζειν. εἰ δέ τι τῷ παρόντι νόμῳ ἐναντίον τὶς ἐξ αὐτῶν τολμήσοι διαπράξασθαι, ὁ μὲν ζημίαν τινὰ ἢ περιγραφὴν ἐπὶ τοῖς οἰκείοις πράγμασιν ὑπομεμενηκὼς οὐδὲν πρόκριμα παντελῶς περὶ τὸ ἴδιον δίκαιον ὑποστήσεται, ὁ δέ τι τοιοῦτο πράξας ἐκ τῆς ἰδίας περιουσίας τὴν ζημίαν τὴν τῷ βλαβέντι προσώπῳ ἐπενεχθεῖσαν διὰ τοῦ ἁρμοδίου ἄρχοντος ἀναγκασθήσεται ἀποκαταστῆσαι, καὶ πρὸς τούτοις τὴν τῆς ζώνης καὶ ἀξίας ἀποβολὴν ὑποστήσεται. ταῦτα δὲ πάντα κρατεῖν κελεύομεν μὴ μόνον ἐν τοῖς μέλλουσι πράγμασιν, ἀλλὰ καὶ ἐν τοῖς ἤδη ἀρχθεῖσιν, οὔπω δὲ περαιωθεῖσιν.

Ἡ σὴ τοίνυν ὑπεροχὴ τὸν παρόντα νόμον εἰς τὸ διηνεκὲς ἰσχύσοντα ἰδίκτων κατὰ τὸ εἰωθὸς ἐν τῇ βασιλίδι πόλει προτιθεμένων εἰς τὴν ἁπάντων γνῶσιν ἐλθεῖν παρασκευσάτω, ὥστε πάντας γνῶναι τὰ ὑπὲρ τῆς αὐτῶν κοινῆς εὐεργεσίας παρ' ἡμῶν διατυπωθέντα. Dat. [XVIII Kal. Ian. imp. DN. Iustiniani PP. A. anno XIX post] Basilii V. C. cons. [ann. IV].[13])

13) Ven.: Dat. Basilio v. c. cons. uncis inclusa addidi ex Ath. (apud quem pro τὸ α΄ legendum est τὸ δ΄). — Iulian: Dat. XII (al. XVI al. XVII) Kal. Iul. imp. DN. Iustiniani a. XVIII post cons. Basilii v. c. anno III ind. VIII. Theod. ἐξεφωνήθη ἐν ἔτει ιη΄ τῆς βασιλείας ὑπατείᾳ βασιλείου τὸ γ΄. quos si sequi malueris (et si apud Iulianum ind. VII legeris, ut cum mense Iunio anni XVIII conveniat), constitutio anno 544 vindicanda et inter const. CXLVIII et CXLIX reponenda est.

CLIV.

Epitome constitutionis alias incognitae, quam hic edimus, servata est in Bodl. 3399 indeque a me primum edita in Ἀνέκδ. p. 263 not. 46 et commentario illustrata anno 1865 in Mémoires de l'Académie imp. des sciences de St. Pétersbourg to. IX no. 6. Ibi demonstratum est, constitutionem Iustiniano deberi, et anno circiter 545 datam esse.

Περὶ μετάξης.

Χρὴ τὴν μέταξον [1]) *τοὺς κομμερκιαρίους πρὸς τοὺς βαρβάρους πραγματεύεσθαι ιε΄ νομίσμασι τὴν λίτραν, καὶ μεταπωλεῖν τοῖς μεταξαρίοις ἢ τοῖς ἄλλοις οὐ πλέον καθαρὰν δίχα σφηκώματος* [2]) *ἢ ἄλλης προσθήκης ἢ ῥύπου.*

Εἰ δέ τις πρὸς βαρβάρους μὴ ὢν κομμερκιάριος πραγματεύσηταί τι καὶ μέταξον ἐκεῖθεν ἀγάγῃ, δύναται αὐτὴν ἀφαιρεῖσθαι ὁ κομμερκιάριος, καὶ ὁ πραγματευσάμενος δημεύεται καὶ διηνεκῶς ἐξορίζεται.

Εἰ δὲ ὁ κομμερκιάριος ἢ ὁ μεταξάριος ὑπὲρ τὸ ῥηθὲν ποσὸν πωλήσῃ ἢ ἀγοράσῃ, ὁμοίως τιμωρεῖται.

Χρὴ δὲ τοὺς πραγματευτὰς τῶν τοιούτων ἐγγύας διδόναι τῇ πολιαρχίᾳ, ὡς οὐ πωλοῦσι κρυφᾷ ἀλλὰ δημοσίᾳ πᾶσαν ἣν ἔχουσι πραγματείαν· ἐπεὶ τιμωροῦνται.

Χρὴ δὲ κατὰ ταῦτα λογίζεσθαι τῷ δημοσίῳ τὴν τιμὴν παντὸς τοῦ ὁλοσηρίκου [3]) *παρὰ τοῦ κόμητος τῶν λαργιτιόνων* [4]), *τοῦ διδομένου παρ' αὐτοῦ τῷ δημοσίῳ.*

Ὁ δὲ ἀγοράσας, ὑπὲρ τὸ ταχθὲν ἀναγκαζόμενος δοῦναι, προσαγγέλλει τῷ πράτῃ, καὶ τὸ διπλοῦν ἀναπράττει· λοιπὸν γὰρ ὁ πράτης τὰ λεχθέντα πείσεται.

1) *Μέταξα* et *μέταξος* (*ἡ*) Graecis promiscue dicitur. 2) Cod. *σφικώματος.* 3) Cod. *ὁλοσηρήκου.* 4) Cod. *λαργητιόνων.*

Nov. 123. **CLV.** Auth. 134.

Coll. LXXXVII capitulorum c. 28—87, Epanag. VIII, 6. 12—15. IX, 1—4. 8. 11. 12. 17—19. X, 3. XI, 12. 13, Basil. III, 1, 9—16. 20—33. 35—48. IV, 1, 2—16. — Summas praestant: Iulian. c. 115 (qui paene textualiter constitutionem latine reddit), Athan. I, 2, Theod. Nov. 123, Anonymus th. 482—486 (cf. *Ἀνέκδ.* mea p. 210 sq.), et incertus epitomator, cuius summam ex Nomoc. XIV titt. restituere conatus sum in tractatu: Ueber die Quellen des s. g. Photianischen Nomokanon. Athen 1879 (particulas huius summae dedi in *Ἀνέκδ.* p. 218 sq.). denique conferenda sunt quae habet libellus *αἱ ῥοπαί* 8, 9. 15, 8. 17, 4. 19, 8. 24, 15. 42. 43. 30, 1. 34, 2. 38, 7. 40, 15. 41, 1. 42, 9 et ad cap. 38 Harmenop. V, 4, 5.

Περὶ ἐκκλησιαστικῶν διαφόρων κεφαλαίων.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.[1])

Περὶ διοικήσεως καὶ προνομίων καὶ διαφόρων κεφαλαίων ἄλλων εἰς τὰς ἁγιωτάτας ἐκκλησίας καὶ τοὺς ἄλλους εὐαγεῖς οἴκους ἀνηκόντων ἤδη τινὰ διετυπώσαμεν[2]), *ἐπὶ δὲ τοῦ παρόντος τὰ περὶ τῶν ὁσιωτάτων ἐπισκόπων καὶ κληρικῶν καὶ μοναχῶν πρῴην ἐν διαφόροις διατάξεσι*[3]) *διατυπωθέντα μετὰ τῆς προσηκούσης ἐπανορθώσεως τῷδε περιλαβεῖν τῷ νόμῳ συνείδομεν.*[4])

α΄. Θεσπίζομεν τοίνυν, ὁσάκις ἂν χρεία γένηται ἐπίσκοπον χειροτονηθῆναι, τοὺς κληρικοὺς καὶ τοὺς πρώτους τῆς πόλεως, ἧς μέλλει ἐπίσκοπος χειροτονεῖσθαι, ἐπὶ τρισὶ προσώποις ψηφίσματα ποιεῖν κινδύνῳ τῶν ἰδίων ψυχῶν, καὶ ἕκαστον αὐτῶν ὀμνύναι κατὰ τῶν θείων λογίων, καὶ

1) Hal. *τῶν θ. ἡμῶν ὀ.* — In Ven. in fine adnotatur: *κατεπέμφθη πέτρῳ ἐπάρχῳ πραιτωρίων.* exemplari ad hunc scripto utuntur Ath. et Auth., unde in inscriptione Petrum PP. nominant, et Auth. epilogum diversum habet. — Flor. notat: *βι. τῶν βασιλ. ε΄* (lege *γ΄*) *τί. α΄ νεαρὰ ρκγ΄.* 2) Const. CLI. 3) Potissimum const. XII et XIII. 4) In Flor. hic insertum est const. CLXXIV prooem. et c. 1—3.

ἐγγράφειν ἐν αὐτοῖς λέγοντας ἐν αὐτοῖς τοῖς ψηφίσμασιν ὅτι οὔτε διά τινα δόσιν οὔτε διὰ ὑπόσχεσιν ἢ φιλίαν ἢ δι' ἄλλην οἱανδήποτε αἰτίαν, ἀλλ' εἰδότες αὐτοὺς τῆς ὀρθῆς καὶ καθολικῆς πίστεως καὶ σεμνοῦ εἶναι βίου[5]) καὶ γράμματα εἰδέναι τούτους ἐπελέξαντο, καὶ ὅτι οὐδὲ γαμετὴν οὐδὲ παῖδάς τις ἐξ αὐτῶν ἔχει, οὐδὲ παλλακὴν ἢ παῖδας φυσικοὺς γινώσκουσιν αὐτὸν ἐσχηκέναι ἢ ἔχειν, ἀλλ' εἰ καὶ πρότερον γαμετήν τις ἐξ αὐτῶν ἔσχε, καὶ αὐτὴν μίαν καὶ πρώτην, καὶ οὐδὲ χῆραν οὐδὲ ἀνδρὸς ἀποζευχθεῖσαν, οὐδὲ τοῖς νόμοις οὐδὲ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην· ἀλλ' οὐδὲ βουλευτὴν ἢ ταξεώτην τοῦτον εἶναι γινώσκουσιν, ἢ εἴπερ βουλευτικῇ ἢ ταξεωτικῇ ὑπέκειτο τύχῃ, ἴσασιν αὐτὸν ἐν μοναστηρίῳ οὐχ ἧττον δεκαπέντε ἐνιαυτῶν μοναχικὸν βίον ἐκτελέσαντα· [§. 1.] καὶ τοῦτο δὲ τοῖς ψηφίσμασι δεῖ ἐντίθεσθαι, ὅτιπερ οὐχ ἧττον ἢ τριάκοντα πέντε τῆς ἡλικίας ἐνιαυτοὺς ἔχειν τὸ ἐπιλεγὲν παρ' αὐτῶν πρόσωπον γινώσκουσιν· ἵνα ἐκ τῶν τριῶν προσώπων, ὑπὲρ ὧν τὰ τοιαῦτα ψηφίσματα γέγονεν, ὁ βελτίων χειροτονηθῇ τῇ ἐπιλογῇ καὶ τῷ κρίματι[6]) τοῦ χειροτονοῦντος. τὸν δὲ βουλευτὴν ἢ τὸν ταξεώτην τὸν ὡς εἴρηται ἐπὶ δεκαπέντε ἐνιαυτοὺς ἐν μοναστηρίῳ διαγαγόντα καὶ εἰς ἐπισκοπὴν προαχθέντα, ἐλεύθερον εἶναι τῆς ἰδίας τύχης, οὕτω μέντοι ἵνα ἐλευθερωθεὶς τῆς βουλῆς τὸ ἥμισυ τέταρτον μέρος τῆς ἰδίας περιουσίας ἑαυτῷ παρακατάσχῃ, τῶν ὑπολοίπων αὐτοῦ πραγμάτων κατὰ τὸν ἡμέτερον νόμον[7]) τῇ βουλῇ καὶ τῷ δημοσίῳ ἐκδικουμένων.

5) Ven. intercalat καὶ ὑπὲρ τὸ τριακοστὸν ἔτος, quae Auth. Coll. 87 cap. Iulian. Athan. Theod. non agnoscunt. irrepserunt ex const. CLXXIV, dum nostra constitutio in §. 1 οὐχ ἧττον ἢ τριάκοντα πέντε esse vult. 6) In Ven. κινδύνῳ primitus erat scriptum (ut habent Coll. cit. Auth. et Iul.), a librario autem in κρίματι mutatum est. 7) Theodorus laudat Cod. I, 3, 4. 27. 52. adde const. XII c. 1 §. 1. secundum has constitutiones novem uncias sibi retinet et quartam dumtaxat curiae vel fisco tradit. quapropter cum Ath. pro τέταρτον scripsi ἥμισυ τέταρτον. Ven. et Flor. Coll. cit. Auth. Iul. et Theod. solum τέταρ-

[§. 2.] *δίδομεν δὲ ἄδειαν τοῖς τὰ ψηφίσματα ποιουμένοις, εἴ τινα κοσμικὸν δίχα βουλευτοῦ καὶ ταξεώτου ἄξιον τῆς προειρημένης ἐπιλογῆς εἶναι νομίσουσιν, τὸν τοιοῦτον ἅμα ἄλλοις δύο κληρικοῖς ἢ μοναχοῖς ἐπιλέξασθαι, οὕτω μέντοι ἵνα ὁ κοσμικὸς ὁ τούτῳ τῷ τρόπῳ εἰς ἐπισκοπὴν ἐπιλεγεὶς μὴ εὐθέως ἐπίσκοπος χειροτονηθῇ, ἀλλὰ πρῶτον τοῖς κληρικοῖς οὐκ ἔλαττον τριῶν μηνῶν συναριθμηθῇ, καὶ οὕτω τοὺς ἁγίους κανόνας καὶ τὴν ἱερὰν τῆς ἐκκλησίας λειτουργίαν διδαχθεὶς ἐπίσκοπος χειροτονηθῇ· ὁ γὰρ ἄλλους ὀφείλων διδάσκειν παρ᾽ ἑτέρων μετὰ τὴν χειροτονίαν διδάσκεσθαι οὐκ ὀφείλει. εἰ δὲ ὡς εἰκὸς ἔν τισι τόποις μὴ εὑρεθεῖεν τρία πρόσωπα πρὸς τὴν τοιαύτην ἐπιλογὴν ἐπιτήδεια, ἐξέστω τοῖς τὰ ψηφίσματα ποιουμένοις ἐπὶ δύο ἢ καὶ ἑνὶ προσώπῳ ψηφίσματα ποιεῖσθαι, πάσας μέντοι τὰς εἰρημένας ἡμῖν ἔχοντι μαρτυρίας. εἰ δὲ οἱ ὀφείλοντες τὸν ἐπίσκοπον ἐπιλέξασθαι τὰ τοιαῦτα ψηφίσματα ἐντὸς ἓξ μηνῶν μὴ ποιήσουσι, τηνικαῦτα τῷ κινδύνῳ τῆς ἰδίας ψυχῆς ἐκεῖνος ᾧ ἁρμόζει χειροτονῆσαι τὸν ἐπίσκοπον χειροτονείτω, πάντων τῶν ἄλλων ὧν εἰρήκαμεν παραφυλαττομένων. εἰ δέ τις παρὰ τὴν μνημονευθεῖσαν παραφυλακὴν ἐπίσκοπος χειροτονηθῇ, κελεύομεν τοῦτον πᾶσι τρόποις τῆς ἐπισκοπῆς ἐκβάλλεσθαι, ἀλλὰ κἀκεῖνον ὅστις παρὰ ταῦτα ἐτόλμησε χειροτονῆσαι χωρίζεσθαι ἐπὶ ἕνα ἐνιαυτὸν τῆς ἱερατικῆς λειτουργίας, καὶ πᾶσαν αὐτοῦ τὴν περιουσίαν, ἥτις καθ᾽ οἱονδήποτε χρόνον ἢ τρόπον εἰς τὴν αὐτοῦ δεσποτείαν περιῆλθε, διὰ τὸ πταῖσμα ὃ ἐποίησε τῇ δεσποτείᾳ τῆς ἐκκλησίας ἧς ἐπίσκοπός ἐστιν ἐκδικεῖσθαι.*

β′. Εἰ δέ τις τοῦ πρὸς τὴν χειροτονίαν ἐπιλεγέντος ἐπισκόπου κατηγορήσει ἐφ᾽ οἱᾳδήποτε αἰτίᾳ δυναμένῃ κατὰ τοὺς νόμους ἢ τοὺς κανόνας τῇ αὐτοῦ ἐμποδίσαι χειροτονίᾳ, ὑπερτιθέσθω ἡ τούτου χειροτονία, καὶ πρότερον τὴν κατ᾽

τον habent. proinde vetus error librariorum est, ortus ex eo quod nota *ï* pro *ἥμισυ* facile poterat negligi.

αὐτοῦ προτεθεῖσαν αἰτίαν (εἴτε παρόντος τοῦ κατηγόρου καὶ τῇ παρ' αὐτοῦ προτεθείσῃ αἰτίᾳ ἐπεξιόντος, εἴτε καὶ ἀναβαλλομένου ἐπὶ τρεῖς μῆνας τὴν ἰδίαν κατηγορίαν πληρῶσαι) ἐπιμελῶς ἐξεταζέτω ἐκεῖνος, ὑφ' οὗ ἤμελλεν ὁ ἐπίσκοπος χειροτονεῖσθαι. καὶ εἰ μὲν ὑπεύθυνον αὐτὸν τῇ κατηγορίᾳ εὕροι, κωλυέσθω ἡ χειροτονία, εἰ δὲ ὑπεύθυνος μὴ φανείη, ἡ μὲν χειροτονία μὴ ἐμποδιζέσθω, ὁ δὲ κατήγορος, εἴτε μὴ ἀπέδειξεν εἴτε καὶ ἀπέφυγεν τὴν προτεθεῖσαν παρ' αὐτοῦ κατηγορίαν, ἐκ τῆς ἐπαρχίας ἐν ᾗ οἰκεῖ ἐκβαλλέσθω. εἰ δέ τις πρὸ ἐξετάσεως τὸν κατηγορηθέντα χειροτονήσει, ὁ μὲν χειροτονηθεὶς τῆς ἱερωσύνης ἐξωθείσθω, ὁ δὲ τὸν τοιοῦτον τολμήσας χειροτονῆσαι τῇ ἀνωτέρω εἰρημένῃ ὑποκείσθω ποινῇ, τοῦτο μὲν ἐπὶ τῇ ἐνιαυσιαίᾳ κωλύσει τῆς θείας λειτουργίας τοῦτο δὲ καὶ ἐπὶ τῷ πάντα αὐτοῦ τὰ πράγματα τῇ ἐκκλησίᾳ ἐκδικηθῆναι. [§. 1.] πρὸ δὲ πάντων ἐκεῖνο φυλαχθῆναι θεσπίζομεν, ἵνα μηδεὶς διὰ δόσεως χρυσίου ἢ ἄλλων πραγμάτων ἐπίσκοπος χειροτονῆται. εἰ δέ τι τοιοῦτο ἁμαρτηθῇ, αὐτοὶ ἑαυτοὺς οἱ διδόντες καὶ οἱ λαμβάνοντες καὶ οἱ μέσοι αὐτῶν κατὰ τὰς θείας γραφὰς καὶ τοὺς ἱεροὺς κανόνας κατακρίσει ὑποβάλλουσι, καὶ διὰ τοῦτο καὶ ὁ διδοὺς καὶ ὁ λαμβάνων καὶ ὁ μέσος γινόμενος τῆς ἱερωσύνης ἢ τῆς τοῦ κλήρου τιμῆς ἀποκινείσθω. τὸ δὲ ὑπὲρ ταύτης τῆς αἰτίας δοθὲν τῇ ἐκκλησίᾳ ἐκείνῃ ἐκδικείσθω, ἧς ἠβουλήθη τὴν ἱερωσύνην ὠνήσασθαι. εἰ δὲ κοσμικὸς εἴη ὁ ὑπὲρ ταύτης τῆς αἰτίας τὶ λαμβάνων ἢ μέσος τῷ πράγματι γινόμενος, τὰ δοθέντα πράγματα ἐν διπλῷ αὐτὸν ἀπαιτεῖσθαι κελεύομεν τῇ ἐκκλησίᾳ ἐκδικηθησόμενα. οὐ μόνον δὲ τὰ κατὰ τοῦτον δεδομένα τὸν τρόπον ἐκδικεῖσθαι προστάττομεν, ἀλλὰ καὶ πᾶσαν ἀσφάλειαν ὑπὲρ τούτου καθ' οἱονδήποτε τρόπον ἐκτεθεῖσαν καὶ τὴν τῶν ἐνεχύρων ἢ τὴν τοῦ ἐγγυητοῦ ἐνοχὴν καὶ πᾶσαν ἄλλην[8]) οἱανδήποτε ἀγωγὴν ἀργεῖν θεσπί-

8) Ven. ἀπειλὴν.

ζομεν. καὶ πρὸς τούτοις ὁ τὴν ὑπόσχεσιν λαμβάνων μὴ μόνον τὴν ὁμολογίαν ἀποδιδότω, ἀλλὰ καὶ ἄλλο τοσοῦτον ὅσον ἡ ὁμολογία περιέχει ἀπαιτείσθω ὀφεῖλον τῇ ἐκκλησίᾳ δοθῆναι.

γ΄. Εἴ τις μέντοι ἐκ τῶν ἐπισκόπων εἴτε πρὸ τῆς ἰδίας χειροτονίας εἴτε μετὰ τὴν χειροτονίαν βουληθῇ τὰ ἴδια πράγματα ἢ μέρος ἐξ αὐτῶν προσαγαγεῖν τῇ ἐκκλησίᾳ ἧς τὴν ἱερωσύνην λαμβάνει, οὐ μόνον οὐ κωλύομεν καὶ πάσης καταδίκης καὶ ποινῆς τοῦ παρόντος νόμου ἐλεύθερον αὐτὸν εἶναι θεσπίζομεν, ἀλλὰ καὶ παντὸς ἐπαίνου ἄξιον κρίνομεν, ἐπειδὴ τοῦτο οὔκ ἐστιν ἀγορασία ἀλλὰ προσφορά.[9]) ὑπὲρ συνηθειῶν δὲ ἐκεῖνα μόνα συγχωροῦμεν παρέχεσθαι ἀπὸ τῶν χειροτονουμένων ἐπισκόπων, ἅτινα ἐφεξῆς τῷ παρόντι νόμῳ ἐμφέρεται. κελεύομεν τοίνυν τοὺς μὲν μακαριωτάτους ἀρχιεπισκόπους καὶ πατριάρχας[10]), τουτέστι τῆς πρεσβυτέρας Ῥώμης καὶ Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας καὶ Θεουπόλεως καὶ Ἱεροσολύμων, εἰ μὲν ἡ συνήθεια ἔχει ἐπισκόποις ἢ κληρικοῖς[11]) ἐν τῇ αὐτῶν χειροτονίᾳ ἔλαττον ἤπερ κ΄ χρυσίου λιτρῶν δίδοσθαι, ταῦτα μόνα παρέχειν ἅπερ τῇ συνηθείᾳ γίνεται·[12]) εἰ δὲ πλέον πρὸ τούτου τοῦ νόμου παρείχετο, μηδὲν ὑπὲρ τὰς κ΄ τοῦ χρυσίου λίτρας δίδοσθαι. τοὺς δὲ μητροπολίτας τοὺς ὑπὸ τῆς ἰδίας συνόδου ἢ ὑπὸ τῶν μακαριωτάτων πατριαρχῶν χειροτονουμένους καὶ τοὺς ἄλλους ἅπαντας ἐπισκόπους τοὺς ἢ ὑπὸ πατριαρχῶν ἢ ὑπὸ μητροπολιτῶν χειροτονουμένους, εἰ μὲν μὴ ἐλάττονα λ΄ χρυσίου λιτρῶν πρόσοδον ἔχει ἡ ἐκκλησία τοῦ χειροτονουμένου, διδόναι ὑπὲρ ἐνθρονιαστικῶν μὲν νο. ρ΄, νοταρίοις δὲ τοῦ χειροτονοῦντος καὶ τοῖς ἄλλοις τοῖς ὑπηρετοῦσιν αὐτῷ καὶ ἐξ ἔθους λαμβάνουσι νο. τ΄. εἰ δὲ αἱ τῆς ἐκκλησίας πρό-

9) Ven. in marg. ϛ΄, quasi hinc cap. 6 inchoetur. 10) Ven. inter lineas *πόσοι εἰσὶ πατριάρχαι.* 11) Ven. *ἐπισκόπους ἢ κληρικοὺς*, quod ex Hal. Bas. Coll. cit. Iul. et Auth. correxi. 12) Hal. Bas. Auth. Coll. cit. *ἅπερ ἡ συνήθεια γινώσκει.* quod

σοδοι ἔλαττον μὲν ἤπερ λ′ χρυσίου λιτρῶν κατ' ἐνιαυτὸν συντελοῦσιν οὐχ ἧττον δὲ ἢ δέκα, ὑπὲρ μὲν ἐνθρονιαστικῶν διδόναι νο. ρ′, τοῖς δὲ ἄλλοις ἅπασι τοῖς ἐκ συνηθείας λαμβάνουσι νο. σ′. εἰ δὲ ἔλαττον μὲν ἤπερ δέκα οὐκ ἔλαττον δὲ ἢ τῶν πέντε χρυσίου λιτρῶν τὰς τῆς ἐκκλησίας εἶναι προσόδους συμβῇ, διδόναι ὑπὲρ ἐνθρονιαστικῶν μὲν ν′ νο., πᾶσι δὲ τοῖς ἄλλοις τοῖς ἐξ ἔθους λαμβάνουσι νο. ο′.[13]) εἰ δὲ ἔλαττον μὲν τῶν πέντε οὐκ ἔλαττον δὲ τῶν τριῶν τοῦ χρυσίου λιτρῶν πρόσοδον ἡ ἐκκλησία ἔχει, παρέχειν ὑπὲρ μὲν ἐνθρονιαστικῶν νο. ιη′, πᾶσι δὲ τοῖς ἄλλοις[14]) τοῖς ἐξ ἔθους λαμβάνουσι νο. κδ′. εἰ δὲ ἔλαττον μὲν τῶν τριῶν οὐκ ἔλαττον δὲ τῶν δύο τοῦ χρυσίου λιτρῶν ἡ ποσότης τῶν προσόδων τῆς ἐκκλησίας εὑρεθείη, διδόναι ὑπὲρ ἐνθρονιαστικῶν μὲν νο. ιβ′, ὑπὲρ δὲ πάσης ἄλλης συνηθείας νο. ϛ′.[15]) ἐπίσκοπον γὰρ ἐκκλησίας ἔλαττον δύο χρυσίου λιτρῶν πρόσοδον ἐχούσης οὔτε ὑπὲρ ἐνθρονιαστικῶν οὔτε ὑπὲρ ἄλλης οἱασδήποτε συνηθείας δοῦναί τι συγχωροῦμεν. ταῦτα δὲ, ἅπερ παρέχεσθαι διετυπώσαμεν, ὁ πρῶτος πρεσβύτερος τοῦ χειροτονοῦντος ἐπισκόπου καὶ ὁ ἀρχιδιάκονος ὑποδεχόμενοι τοῖς ἐξ ἔθους λαμβάνουσι διαιρείτωσαν. ταῦτα τοίνυν κελεύομεν πᾶσι τρόποις παραφυλάττεσθαι, ἵνα μὴ ἐκ τῶν τοιούτων προφάσεων καὶ αἱ ἐκκλησίαι χρέεσι βαρύνωνται καὶ αἱ ἱερωσύναι πράσιμοι γίνωνται. εἰ δέ τις ὑπὲρ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποσότητα ὑπὲρ ἐνθρονιαστικῶν ἢ συνηθειῶν καθ' οἱονδήποτε τρόπον τολμήσοι λαβεῖν, κελεύομεν, εἴ τι πλέον λάβοι, τριπλάσιον ἐκ τῶν πραγμάτων αὐτοῦ ἐκδικεῖσθαι τῇ ἐκκλησίᾳ τοῦ δεδωκότος. καὶ ταῦτα μὲν ὑπὲρ τῆς τῶν ἐπισκόπων χειροτονίας εἴρηται.

fortasse praeferendum. 13) Hal. οε′. Auth. ducentos, quasi σ′ scriptum sit. 14) Ven. ἄλλοις omittit. 15) Ita Ven. Hal. Bas. Auth. praetulerim tamen ιϛ′, ut habet Coll. cit. et Iul. Ath.: τῷ μὲν χειροτονοῦντι νο. ἑξ, τοῖς δὲ ἀμφὶ αὐτὸν νο. ιβ′.

δ'. Μετὰ δε τὴν χειροτονίαν καὶ δουλικῆς καὶ εναπογράφου τύχης τοὺς ἐπισκόπους ἐλευθέρους εἶναι κελεύομεν, εἰ μὴ βουλευτὴς ἢ ταξεώτης παρὰ τὴν προειρημένην παρατήρησιν χειροτονηθείη, τοὺς γὰρ τοιούτους τῆς ἐπισκοπῆς ἀποκινουμένους τῇ βουλῇ ἤτοι τῇ τάξει ἀποκαθίστασθαι κελεύομεν, ἵνα μὴ ἐκ τῆς τοιαύτης τύχης τῇ ἱερωσύνῃ ὕβρις γένηται. ἐκείνους δὲ, οἵτινες πρὸ τοῦδε ἡμῶν τοῦ νόμου ἀπὸ βουλευτικῆς τύχης εὑρεθεῖεν ἐπίσκοποι χειροτονηθέντες, τῆς μὲν τοιαύτης τύχης ἐλευθέρους εἶναι, τὸ δὲ νόμιμον μέρος[16]) ἐκ τῶν αὐτοῦ[16a]) πραγμάτων τῇ βουλῇ καὶ τῷ δημοσίῳ διδόναι, οὕτω μέντοιγε ὥστε μηδεμίαν ἐλάττωσιν τὰ ἐκκλησιαστικὰ δίκαια ὑπομεῖναι ἐπὶ τοῖς πράγμασιν, ἅπερ μετὰ τὴν ἐπισκοπὴν ἐπικτηθέντα τῇ ἐκκλησίᾳ αὐτῶν διαφέρειν διετυπώσαμεν. εἰ δὲ συμβῇ τὸν χειροτονούμενον ἐπίσκοπον ὑπὸ τὴν τοῦ ἰδίου γονέως ἐξουσίαν εἶναι, ἐξ αὐτῆς τῆς χειροτονίας αὐτεξούσιος ἔστω.

ε'. Τοὺς δὲ θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κουράτωρας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν. τοὺς δὲ πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν ἢ κουρατωρείαν καλουμένους τὴν τοιαύτην λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν, εἰ μέντοιγε εἴσω τεσσάρων μηνῶν ἀριθμουμένων ἐξ οὗ ἐκλήθησαν παρὰ τῷ ἁρμοδίῳ δικαστῇ ἐγγράφως φανερώσουσι τὸ τοιοῦτον λειτούργημα οἰκείᾳ προαιρέσει καταδέξασθαι. καὶ εἴ τις ὡς εἰκὸς αὐτῶν τοῦτο ποιήσει, μηδὲν ἐκ τούτου περὶ ἄλλην ἐπιτροπὴν ἢ κουρατωρείαν πρόκριμα ὑπομενέτω.

ϛ'. Ἀλλ' οὐδὲ ἐκλήπτορα ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ μισθωτὴν[17]) τελῶν ἢ ἀλλοτρίων κτήσεων ἢ κου-

16) Ven. glossema addit *τουτέστι τὸ θ' οὔγκιον*. sane si supra c. 1 §. 1 vulgatam lectionem retineas, rationem hoc habet. sed *τὸ νόμιμον μέρος* potius quartam significat. 16a) *αὐτῶν?* 17) Ven. *μισθωτόν*.

ράτωρα οἴκου ἢ ἐντολέα δίκης ἢ ἐγγυητὴν ὑπὲρ τούτων τῶν αἰτιῶν ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλον κληρικὸν οἱουδήποτε βαθμοῦ ἢ μοναχὸν ἰδίῳ ὀνόματι ἢ τῆς ἐκκλησίας ἢ τοῦ μοναστηρίου ὑπεισιέναι συγχωροῦμεν, ἵνα μὴ διὰ ταύτης τῆς προφάσεως καὶ τοῖς ἁγίοις οἴκοις ζημία γένηται καὶ αἱ[18]) θεῖαι ὑπηρεσίαι ἐμποδίζονται. εἰ μέντοι ἐκκλησίαις ἢ μοναστηρίοις κτήσεις τινὲς παρακείμεναι εὑρεθεῖεν, καὶ βουληθεῖεν οἱ διοικηταὶ τῶν αὐτῶν εὐαγῶν οἴκων εἰς μίσθωσιν ἢ ἐμφύτευσιν ταύτας λαβεῖν, τηνικαῦτα πάντων τῶν κληρικῶν καὶ τῶν μοναχῶν ὑπὲρ τῶν τοιούτων αἰτιῶν ἢ ἐν αὐτῷ τῷ συμβολαίῳ ἢ ἐπὶ πράξεως ὑπομνημάτων καὶ συναινούντων καὶ φανερούντων, ὑπὲρ τοῦ συμφέροντος τοῖς εὐαγέσιν οἴκοις τοῦτο γίνεσθαι, τὴν τοιαύτην μίσθωσιν καὶ ἐμφύτευσιν προϊέναι συγχωροῦμεν. ἀλλὰ καὶ αὐταῖς ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἄλλοις σεπτοῖς οἴκοις δίδομεν ἄδειαν μισθώσεις καὶ ἐμφυτεύσεις πρὸς ἀλλήλους ποιεῖν, καὶ τοῖς κληρικοῖς ὁμοίως τῶν οἰκείων ἐκκλησιῶν τὰς κτήσεις μισθοῦσθαι καὶ διοικεῖν γνώμῃ μέντοι τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου συγχωροῦμεν, ἐξῃρημένων τῶν προσώπων, ἅτινα δι' ἑτέρου νόμου[19]) τοῦτο ποιεῖν ἐκωλύσαμεν. εἰ δέ τις παρὰ τὰ εἰρημένα τὶ ποιήσοι, εἰ μὲν ἐπίσκοπος εἴη, πάντα αὐτοῦ τὰ πράγματα τὰ ἐξ οἱασδήποτε αἰτίας ἢ προσώπου εἴτε πρὸ τῆς ἐπισκοπῆς εἴτε μετὰ ταῦτα εἰς αὐτὸν περιελθόντα τῇ ἐκκλησίᾳ αὐτοῦ ἐκδικεῖσθαι θεσπίζομεν. εἰ δὲ οἰκονόμοι ἢ ἄλλοι κληρικοὶ εἶεν οἱ τοῦτο πλημμελήσαντες, ποινὴν αὐτοὺς χρηματικὴν ἣν ἂν ὁ ἐπίσκοπος αὐτῶν δοκιμάσοι εἰσπράττεσθαι τῇ ἐκκλησίᾳ ἐκδικηθησομένην· ὁπότε καὶ οἱ τὴν μίσθωσιν τῶν τελῶν ἢ οἱασδήποτε κτήσεως ἢ δημοσίων φόφόρων ἔκληψιν ἢ ἀπαίτησιν ἢ φροντίδα οἴκου αὐτοῖς πιστεύσαντες ἢ ἐγγυητὰς αὐτοὺς ὑπὲρ τῶν μνημονευθεισῶν αἰτιῶν δεξάμενοι μηδεμίαν κατὰ τῆς ἐκκλησίας ἢ τοῦ μονα-

18) Articulum omittit Ven. 19) Cod. I, 2, 24.

στηρίου ἢ τῶν πραγμάτων αὐτοῦ ἢ διοικητῶν, ἢ κατ' ἐκείνων τῶν προσώπων, οἷς πιστεύσουσιν[20]), *ἢ κατὰ τῶν οὐσιῶν ἢ ἐγγυητῶν αὐτῶν ἐχέτωσαν ἀγωγήν. ἐκεῖνοι δὲ οἵτινες δημοσίων συντελειῶν ἢ τελῶν ἔκληψιν ἢ μίσθωσιν ἢ ἀπαίτησιν τοῖς μνημονευθεῖσι προσώποις πιστεύσουσιν ἢ ἐγγυητὰς αὐτοὺς δέξοιντο, εἴ τις τῷ δημοσίῳ ζημία συμβαίη, ταύτην ἐκ τῆς οἰκείας ὑποστάσεως ἀποκαταστῆσαι ἀναγκασθήσονται.*

ζ'. Οὐδενὶ δὲ τῶν ἀρχόντων ἐξέσται τοὺς θεοφιλεστάτους ἐπισκόπους ἀναγκάζειν εἰς δικαστήριον παραγενέσθαι ὑπὲρ τοῦ νεῖμαι μαρτυρίαν, ἀλλ' ὁ δικαστὴς πεμπέτω πρὸς αὐτούς τινας ἐκ τῶν προσώπων τῶν ὑπηρετουμένων αὐτῷ, ἵνα προκειμένων τῶν ἁγίων εὐαγγελίων κατὰ τὸ πρέπον ἱερεῦσιν εἴπωσιν ἅπερ γινώσκουσιν.

η'. Ἀλλ' οὐδὲ ὑπέρ τινος χρηματικῆς ἢ ἐγκληματικῆς αἰτίας ἐπίσκοπον πρὸς ἄρχοντα πολιτικὸν ἢ στρατιωτικὸν ἄκοντα ἢ διάγεσθαι ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν, ἀλλὰ τὸν ἄρχοντα τὸν τοῦτο εἴτε ἐγγράφως εἴτε ἀγράφως προστάξαι τολμήσαντα μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν κ' χρυσίου λιτρῶν ποινὴν καταβαλεῖν κελεύομεν τῇ ἐκκλησίᾳ ἧς ὁ ἐπίσκοπος διαχθῆναι ἢ παραστῆναι προσετάχθη δοθησομένην, καὶ τοῦ ἐκβιβαστοῦ ὁμοίως μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν καὶ βασάνοις ὑποβαλλομένου καὶ ἐν ἐξορίᾳ πεμπομένου.

θ'. Ἀπαγορεύομεν δὲ τοῖς θεοφιλεστάτοις ἐπισκόποις τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας καὶ εἰς ἄλλας ἐπαρχίας παραγίνεσθαι. εἰ δὲ καὶ ἀνάγκη τὶς τοῦ ποιῆσαι τοῦτο συμβῇ, μὴ ἄλλως εἰ μὴ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν πατριάρχου ἢ μητροπολίτου ἢ κατὰ βασιλικὴν δηλαδὴ κέλευσιν τοῦτο ποιήσουσιν[21]), *οὕτω μέντοι ἵνα μηδὲ ἐκεί-*

20) Hal. *ἐπιστεύσουσιν*, in notis *ἐπιστεύσασιν*. forte *ἐπίστευσαν*. 21) *ποιήσωσιν?*

νοις τοῖς ἐπισκόποις, οἵτινες ὑπὸ τὸν μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ πατριάρχην εἰσὶν, ἐξείη δίχα ἐπιτροπῆς αὐτοῦ ἢ ἡμετέρας κελεύσεως εἰς τὴν βασιλίδα πόλιν ἐλθεῖν. εἰ δὲ καὶ κατὰ τοῦτον τὸν τρόπον ἐπίσκοπος οἱουδήποτε τόπου ἀποδημήσει, μὴ πλέον ἑνὸς ἐνιαυτοῦ τὴν ἰδίαν καταλιμπανέτω ἐκκλησίαν. τοὺς δὲ ἐπισκόπους τοὺς κατὰ τὴν βασιλίδα πόλιν ὡς εἴρηται παραγινομένους, οἱασδήποτε εἶεν διοικήσεως, πρὸ πάντων ἀπιέναι πρὸς τὸν μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ πατριάρχην, καὶ οὕτως δι' αὐτοῦ πρὸς τὴν ἡμετέραν εἰσιέναι γαληνότητα. τοῖς δὲ παρὰ ταύτην ἡμῶν τὴν διατύπωσιν ἢ ἀποδημοῦσιν ἢ ὑπὲρ τὸν ὡρισμένον τοῦ ἐνιαυτοῦ χρόνον ἔξω τῆς ἰδίας ἐκκλησίας ποιοῦσι[22]) πρῶτον μὲν μὴ χορηγεῖσθαι παρὰ τῶν οἰκονόμων τῆς ἰδίας ἐκκλησίας δαπάνας, ἔπειτα δὲ ὑπομιμνήσκεσθαι αὐτοὺς διὰ γραμμάτων τῶν ἱερέων ὑφ' οὓς τελοῦσιν, ὥστε ἐπανελθεῖν εἰς τὰς ἰδίας ἐκκλησίας, ὑπερτιθεμένους δὲ ὑποστρέψαι κατὰ τοὺς ἱεροὺς καλεῖσθαι κανόνας. καὶ εἰ μὴ ἐντὸς τοῦ ὁριζομένου παρὰ τῶν ἱερέων[23]) χρόνου ὑποστρέψουσιν εἰς τὰς ἰδίας ἐκκλησίας, αὐτοὺς μὲν τῆς ἐπισκοπῆς ἐξωθεῖσθαι, ἑτέρους δὲ ἀντ' αὐτῶν καλλίονας χειροτονεῖσθαι κατὰ τὴν τοῦ παρόντος νόμου δύναμιν. τούτου αὐτοῦ καὶ ἐπὶ τοῖς κληρικοῖς κρατοῦντος, οἱουδήποτε βαθμοῦ εἶεν ἢ[24]) ὑπηρεσίας.

ι'.[25]) Ἵνα δὲ πᾶσα ἡ ἐκκλησιαστικὴ κατάστασις καὶ οἱ θεῖοι κανόνες ἐπιμελῶς φυλάττοιντο, κελεύομεν ἕνα ἕκαστον μακαριώτατον ἀρχιεπίσκοπον καὶ πατριάρχην καὶ μητροπολίτην τοὺς ὁσιωτάτους ἐπισκόπους τοὺς ὑπ' αὐτοὺς τε-

22) Hal. et Bas. addunt *διατριβήν*. Epan. et Iulianus Veneti lectionem firmant. 23) *παρὰ τῶν ἱερῶν κανόνων*? sic Auth. sed Iulian. vulgatam firmat. videatur Balsamon ad c. 16 syn. Primosecundae. 24) Ven. *ἢ* omittit. 25) Hal. hic inserit const. CLXXIV c. 4—6 et omittit pr. huius capitis usque ad v. *διορθοῦσθαι*.

λοῦντας κατὰ τὴν αὐτὴν ἐπαρχίαν ἅπαξ ἢ δὶς καθ' ἕκαστον ἔτος πρὸς ἑαυτὸν συγκαλεῖν, καὶ πάσας τὰς αἰτίας ἀκριβῶς ἐξετάζειν ἅστινας οἱ ἐπίσκοποι ἢ κληρικοὶ ἢ μοναχοὶ πρὸς ἀλλήλους ἔχουσι, καὶ ταύτας διατιθέναι κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας, καὶ πρὸς τούτοις εἴ τι παρὰ τοὺς κανόνας ἐξ οἱουδήποτε προσώπου ἡμάρτηται διορθοῦσθαι. ἀπαγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ ὑποδιακόνοις καὶ ἀναγνώσταις καὶ παντὶ ἄλλῳ οἱουδήποτε εὐαγοῦς[26]) τάγματος ἢ σχήματος καθεστῶτι ταβλίζειν ἢ τῶν τὰ τοιαῦτα παιζόντων κοινωνοὺς ἢ θεωρητὰς γίνεσθαι ἢ εἰς οἱανδήποτε θέαν τοῦ θεωρῆσαι χάριν παραγίνεσθαι. εἰ δέ τις ἐξ αὐτῶν τοῦτο ἁμάρτοι, κελεύομεν τοῦτον ἐπὶ τρεῖς ἐνιαυτοὺς ἀπὸ πάσης εὐαγοῦς ὑπηρεσίας κωλύεσθαι καὶ μοναστηρίῳ ἐμβάλλεσθαι. εἰ δὲ ἐν τῷ μέσῳ χρόνῳ δείξοι ἀξίαν τοῦ ἰδίου πταίσματος μετάνοιαν, ἄδειαν εἶναι τῷ ἱερεῖ ὑφ' ὃν τέτακται καὶ ἐλαττοῦν τὸν χρόνον καὶ τοῦτον πάλιν τῇ ἰδίᾳ ἀποδιδόναι ὑπηρεσίᾳ, εἰδότων καὶ τῶν ὁσιωτάτων ἐπισκόπων τῶν ὀφειλόντων ταῦτα διεκδικεῖν, ὡς εἴ τι τοιοῦτο μαθόντες μὴ ἐκδικήσουσιν, αὐτοὶ λόγον τῷ θεῷ ὑπὲρ ταύτης τῆς αἰτίας ὑφέξουσι. μηδένα δὲ ἐπίσκοπον ἄκοντα καταναγκάζεσθαι, οἱονδήποτε κληρικὸν ὑπ' αὐτὸν ὄντα τοῦ ἰδίου κλήρου ἀπολύειν.

ια'. Πᾶσι δὲ τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν ἀφορίζειν τινὰ τῆς ἁγίας κοινωνίας, πρὶν ἢ[27]) αἰτία δειχθῇ, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γενέσθαι κελεύουσιν. εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας τινὰ χωρίσοι, ἐκεῖνος μὲν, ὃς ἀδίκως ἀπὸ τῆς κοινωνίας ἐχωρίσθη, λυομένου τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως τῆς ἁγίας ἀξιούσθω κοινωνίας, ὁ δὲ ἀδίκως τινὰ τῆς ἁγίας κοινωνίας χωρίσαι τολμήσας πᾶσι τρόποις ὑπὸ τοῦ ἱερέως ὑφ' ὃν τέτακται χωρισθήσεται τῆς κοινωνίας, ἐφ' ὅσον χρό-

26) Coll. 87 cap. εὐλαβοῦς. 27) Ven. et Bas. ἡ.

νον ἐκεῖνος συνίδοι, ἵνα ὅπερ ἀδίκως ἐποίησε δικαίως ὑπομείνῃ. ἀλλ᾽ οὐδὲ οἰκείαις χερσὶν ἔξεστιν ἐπισκόπῳ τινὰ πλήττειν· τοῦτο γὰρ ἀλλότριόν ἐστιν ἱερέων. εἴ τις δὲ ἐπίσκοπος κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας τῆς ἱερωσύνης ἐκβληθεὶς τολμήσοι ἐπιβῆναι τῆς πολέως ἐξ ἧς ἐξεβλήθη, ἢ καταλιπεῖν τὸν τόπον ἐν ᾧ ἐκελεύσθη διάγειν, κελεύομεν τοῦτον μοναστηρίῳ ἐν ἄλλῃ ἐπαρχίᾳ καθεστῶτι παραδίδοσθαι, ἵνα ἅπερ ἐν τῇ ἱερωσύνῃ ἥμαρτε διάγων ἐν τῷ μοναστηρίῳ διορθώσηται.

ιβ΄. Κληρικοὺς δὲ οὐκ ἄλλως χειροτονεῖσθαι συγχωροῦμεν, εἰ μὴ γράμματα ἴσασι, καὶ ὀρθὴν πίστιν καὶ βίον σεμνὸν ἔχουσι, καὶ οὐδὲ παλλακὴν οὐδὲ φυσικοὺς ἔσχον ἢ ἔχουσι παῖδας, ἀλλ᾽ ἢ σωφρόνως βιοῦντας ἢ γαμετὴν νόμιμον καὶ αὐτὴν μίαν καὶ πρώτην ἐσχηκότας[28]), καὶ μηδὲ χήραν μηδὲ διαζευχθεῖσαν ἀνδρὸς, μηδὲ ἄλλως τοῖς νόμοις ἢ καὶ τοῖς θείοις κανόσιν ἀπηγορευμένην.

ιγ΄. Πρεσβύτερον δὲ ἐλάττονα τῶν τριάκοντα[29]) ἐνιαυτῶν γίνεσθαι οὐκ ἐπιτρέπομεν, ἀλλ᾽ οὐδὲ διάκονον ἢ ὑποδιάκονον ἥττονα τῶν εἰκοσιπέντε, οὔτε δὲ ἀναγνώστην ἐλάττονα τῶν ὀκτωκαίδεκα[30]) ἐνιαυτῶν, διακόνισσαν δὲ ἐν ἁγίᾳ ἐκκλησίᾳ μὴ χειροτονεῖσθαι, ἥτις ἐλάττων ἐστὶ μ΄ ἐνιαυτοῖς[31]) ἢ εἰς δευτέρους ἦλθε γάμους.

ιδ΄. Εἰ δὲ ἐν τῷ καιρῷ τῆς χειροτονίας τοῦ κληρικοῦ οἱουδήποτε τάγματος ἢ βαθμοῦ κατήγορός τις ἀναφανῇ, λέγων αὐτὸν ἀνάξιον εἶναι τῆς χειροτονίας, ὑπερτιθέσθω ἡ

28) Hal. et Bas. addunt ἢ ἔχοντας. Iulian. habentem, vel si iam habuerit. 29) Hal. λε΄. Ita etiam Theod. et Auth. 30) Coll. 87 cap. ὀκτώ (similiter αἱ ῥοπαὶ 30, 1). Balsamon (ad Nomoc. I, 28): ἡ νεαρὰ εἰς πλάτος εὑρισκομένη λέγει γίνεσθαι ἀναγνώστην τὸν ὄντα χρόνων η΄. scilicet innuit Coll. 87 cap. (ipse Nomocanonis auctor l. c. κ΄, pro quo η΄ legendum), cuius auctoritate Balsamon circa veram constitutionis lectionem in errorem perductus est: de caetero autem Theodori Bestae commentario innisus est (Pitra I p. 477). 31) Flor. τῶν μ΄ ἐνιαυτῶν.

χειροτονία, καὶ πάντα προβαινέτωσαν τοῦτο μὲν ὑπὲρ τῆς ἐξετάσεως τοῦτο δὲ ὑπὲρ τῶν ἐπιτιμίων ἅτινα ἐν ταῖς τῶν ἐπισκόπων χειροτονίαις ἀνωτέρω ἐθεσπίσαμεν. εἰ δὲ ὁ μέλλων χειροτονεῖσθαι διάκονος μὴ ἔχοι γυναῖκα (καθὰ ἀνωτέρω εἴρηται) ζευχθεῖσαν αὐτῷ, μὴ ἄλλως χειροτονείσθω, εἰ μὴ πρότερον ὑπὸ τοῦ χειροτονοῦντος αὐτὸν ἐρωτηθεὶς ἐπαγγείληται, δύνασθαι μετὰ τὴν χειροτονίαν καὶ χωρὶς νομίμης γαμετῆς σεμνῶς βιοῦν, οὐ δυναμένου τοῦ χειροτονοῦντος ἐν τῷ καιρῷ τῆς χειροτονίας ἐπιτρέπειν τῷ διακόνῳ[32]) *μετὰ τὴν χειροτονίαν γαμετὴν λαμβάνειν. εἰ δὲ τοῦτο γένηται, ὁ ἐπιτρέψας ἐπίσκοπος τῆς ἐπισκοπῆς ἐκβαλλέσθω. εἰ δὲ μετὰ τὴν χειροτονίαν πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος ἀγάγηται γαμετὴν, ἐκβαλλέσθω τοῦ κλήρου, καὶ τῇ βουλῇ*[33]) *τῆς πόλεως, ἐν ᾗ κληρικὸς ἦν, μετὰ τῶν ἰδίων πραγμάτων παραδιδόσθω. εἰ δὲ ἀναγνώστης δευτέραν γαμετὴν ἀγάγηται, ἢ πρώτην μὲν, χήραν δὲ ἢ διαζευχθεῖσαν ἀνδρὸς ἢ τοῖς νόμοις ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν βαθμὸν προβαινέτω. εἰ δὲ οἱῳδήποτε τρόπῳ εἰς μείζονα βαθμὸν προαχθείη, ἐκβαλλέσθω αὐτοῦ καὶ τῷ προτέρῳ ἀποκαθιστάσθω.*

ιε΄. Ἀλλὰ μηδὲ βουλευτὰς ἢ ταξεώτας κληρικοὺς γίνεσθαι, ἵνα μή τις ἐκ τούτου τῷ εὐαγεῖ κλήρῳ[34]) *ὕβρις προσγένηται. εἰ δὲ τὰ τοιαῦτα πρόσωπα ἐν κλήρῳ καταταγῇ, ὡς μὴ γενομένης τῆς χειροτονίας τῇ ἰδίᾳ τύχῃ ἀποκαθιστάσθωσαν, πλὴν εἰ μὴ ὡς εἰκὸς μοναχικὸν βίον τὶς ἐξ αὐτῶν οὐκ ἔλαττον δεκαπέντε ἐνιαυτῶν διήνυσε· τοὺς τοιούτους γὰρ χειροτονεῖσθαι κελεύομεν, τῆς νομίμης δηλονότι μοίρας ἀπὸ τοῦ βουλευτοῦ τῇ βουλῇ καὶ τῷ δημοσίῳ διδομένης. ἀλλὰ*

32) Coll. cit. addit *ἢ ὑποδιακόνῳ.* quod firmat Auth. 33) Ven. addit *καὶ τάξει*, quod rectius a reliquis fontibus abest. ea enim Basilica sapiunt, ubi propter curias sublatas pro verbis *τῇ βουλῇ* positum est *τῇ τάξει.* 34) Ven. *οἴκῳ ἢ κλήρῳ.* Hal. et Bas. *οἴκῳ* pro *κλήρῳ.* malui sequi lectionem, quam Coll. cit. suppeditat et Auth. firmat.

καὶ οἱ ἐν τῷ κλήρῳ καταλεγόμενοι μοναχῷ πρέποντα βίον ἐκτελείτωσαν. εἰ γὰρ μετὰ τὴν τοῦ κλήρου τιμὴν γυναῖκά τις ἐξ αὐτῶν ἀγάγηται ἢ παλλακὴν σχοίη, τῇ βουλῇ ἢ τῇ τάξει ἢ τῇ τύχῃ ᾗ ὑπέκειτο[34a]) *ἀποδιδόσθω, εἰ καὶ τὰ μάλιστα τοιούτῳ ἐκκλησιαστικῷ βαθμῷ ἐγκαταλεγῇ, ἐν ᾧ τις τεταγμένος οὐ κωλύεται ἀπὸ τῶν ἱερῶν κανόνων καὶ τῶν νόμων γαμετὴν λαμβάνειν. ταῦτα δὲ αὐτὰ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι μοναχοῖς κρατεῖν θεσπίζομεν τοῖς ἀπὸ μοναστηρίων εἰς οἱονδήποτε ἐκκλησιαστικὸν βαθμὸν μεταφερομένοις, εἰ καὶ μηδεμιᾷ τύχῃ ὑπεύθυνοι εἴησαν. καὶ γενικῶς νομοθετοῦμεν, μηδενὶ ἐξεῖναι ἐν οἱῳδήποτε ἐκκλησιαστικῷ βαθμῷ καθεστῶτι ἀναχωρεῖν ἐξ αὐτοῦ καὶ κοσμικὸν γίνεσθαι, ἐπισταμένων τῶν οὕτω ποιούντων, ὅτι καὶ τῆς ὡς εἰκὸς ἐπικειμένης αὐτοῖς ζώνης ἢ ἀξίας ἢ στρατείας γυμνωθήσονται, καὶ τῇ βουλευτικῇ τύχῃ*[35]) *τῆς ἰδίας πόλεως παραδοθήσονται. τοὺς δὲ πρὸ τοῦ ἡμετέρου νόμου κληρικοὺς χειροτονηθέντας ἀπὸ βουλευτικῆς τύχης διὰ ὑποκαταστάτων προσώπων τὰς χρηματικὰς λειτουργίας πληροῦν, ἀπὸ δὲ τῶν σωματικῶν ἐλευθέρους φυλάττεσθαι.*

ιϛ΄. Ἀλλ᾽ οὐδὲ κληρικὸν οἱουδήποτε βαθμοῦ διδόναι τὶ ἐκείνῳ ὑφ᾽ οὗ χειροτονεῖται ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ συγχωροῦμεν, μόνας δὲ παρέχειν αὐτὸν τὰς συνηθείας τοῖς τῷ χειροτονοῦντι ὑπηρετουμένοις καὶ ἐξ ἔθους κομιζομένοις, ἑνὸς ἐνιαυτοῦ διάρια μὴ ὑπερβαινούσας. ἐν δὲ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐν ᾗ κατατάττεται τὴν θείαν πληροῦν λειτουργίαν καὶ μηδὲν παντελῶς τοῖς ἰδίοις συγκληρικοῖς διδόναι ὑπὲρ τῆς ἰδίας ἐμφανείας, μηδὲ διὰ ταύτην τὴν αἰτίαν τῶν ἰδίων παραμυθιῶν ἢ τῶν ἄλλων μεριτικῶν αὐτὸν ἀποστερεῖσθαι.

34a) *ᾗς τῇ τύχῃ ὑπέκειτο?* 35) Ven. addit *καὶ τάξει.* et ita habent Hal. et Bas. sed omissis *καὶ τῇ βουλευτικῇ τύχῃ.* lectionem quam recepimus firmant Auth. curiali fortunae propriae civitatis, Iul. curiae suae civitatis, Ath. et Theod. *τῇ βουλῇ.* cf. not. 33.

ἀλλὰ μηδὲ ξενοδόχον ἢ πτωχοτρόφον ἢ νοσοκόμον ἢ ἄλλου οἱουδήποτε εὐαγοῦς οἴκου διοικητὴν ἢ οἱονδήποτε ἐκκλησιαστικὸν φρόντισμα χειρίζοντα διδόναι τὶ ἐκείνῳ, ὑφ᾽ οὗ προβάλλεται, ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ τῆς ἐμπιστευθείσης αὐτῷ διοικήσεως. ὁ δὲ παρὰ ταῦτα ἅπερ διετυπώσαμεν ἢ διδοὺς ἢ λαμβάνων ἢ μεσίτης γινόμενος τῆς ἱερωσύνης ἤτοι τοῦ κλήρου ἢ τῆς ἐμπιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως γυμνωθήσεται, τῶν δεδομένων ἐκδικουμένων τῷ εὐαγεῖ τόπῳ, οὗτινος τὸ τοιοῦτον πρόσωπον τὴν χειροτονίαν ἢ φρόντισμα ἢ διοίκησιν ἔλαβεν. εἰ δὲ κοσμικὸς εἴη ὁ λαμβάνων ἢ μεσίτης γινόμενος, τὸ δοθὲν διπλοῦν ἀπαιτηθήσεται, καὶ τῷ εὐαγεῖ τόπῳ ἐν ᾧ τὸ τοιοῦτον πρόσωπον τὴν διοίκησιν ἢ τὴν χειροτονίαν ἢ τὴν φροντίδα ἔλαβε παρεχέσθω. εἰ δέ τις κληρικὸς οἱουδήποτε βαθμοῦ ἢ διοικητὴς οἱουδήποτε εὐαγοῦς οἴκου ἢ πρὸ τῆς χειροτονίας ἢ τῆς ἐμπιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως ἢ φροντίδος ἢ μετὰ ταῦτα βουληθῇ τι τῶν ἰδίων πραγμάτων προσαγαγεῖν τῇ ἐκκλησίᾳ ἐν ᾗ χειροτονεῖται ἢ τῷ τόπῳ οὗτινος τὴν διοίκησιν ἢ τὴν φροντίδα ἀναδέχεται, οὐ μόνον οὐ κωλύομεν τοῦτο γίνεσθαι, ἀλλὰ καὶ μᾶλλον προτρέπομεν αὐτοὺς τὰ τοιαῦτα ὑπὲρ τῆς σωτηρίας τῆς ἰδίας ψυχῆς ποιεῖν. ἡμεῖς γὰρ ἐκεῖνα μόνον δίδοσθαι κωλύομεν, ἅτινα ἰδικοῖς προσώποις τισὶ παρέχεται, οὐ μὴν τὰ ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἄλλοις εὐαγέσιν οἴκοις προσφερόμενα.

ιζ΄. Ἐὰν δοῦλος εἰδότος καὶ οὐκ ἀντιλέγοντος τοῦ δεσπότου ἐν κλήρῳ καταλεγῇ, ἐξ αὐτοῦ τοῦ καταλεγῆναι ἐλεύθερος καὶ εὐγενὴς ἔστω. εἰ γὰρ ἀγνοοῦντος τοῦ δεσπότου ἡ χειροτονία γένηται, ἐξέστω τῷ δεσπότῃ εἴσω προθεσμίας ἐνιαυτοῦ καὶ μόνου[36]) τὴν τύχην ἀποδεικνύναι καὶ τὸν ἴδιον δοῦλον ἀναλαμβάνειν. εἰ δὲ δοῦλος εἴτε εἰδότος εἴτε ἀγνοοῦντος τοῦ δεσπότου, καθάπερ εἰρήκαμεν, ἐκ τοῦ

36) Coll. cit. ἑνὸς ἐνιαυτοῦ, ut Auth.

καταλεγῆναι τῷ κλήρῳ ἐλεύθερος γενόμενος τὴν ἐκκλησιαστικὴν ὑπηρεσίαν καταλίποι καὶ εἰς τὸν κοσμικὸν μετέλθοι βίον, τῷ ἰδίῳ δεσπότῃ εἰς δουλείαν παραδιδόσθω. τοὺς δὲ ἐναπογράφους ἐν αὐταῖς μόναις ταῖς κτήσεσιν, ἐν αἷς εἰσὶν ἐναπόγραφοι, κληρικοὺς καὶ παρὰ γνώμην τῶν δεσποτῶν γίνεσθαι συγχωροῦμεν, οὕτω[37]) μέντοιγε, ὥστε κληρικοὺς αὐτοὺς γινομένους τὴν ἐπικειμένην αὐτοῖς γεωργίαν πληροῦν.

ιη΄. Εἴ τις εὐκτήριον οἶκον κατασκευάσει, καὶ βουληθείη ἐν αὐτῷ[38]) κληρικοὺς προβάλλεσθαι ἢ αὐτὸς ἢ οἱ τούτου κληρονόμοι, εἰ τὰς δαπάνας αὐτοὶ τοῖς κληρικοῖς χορηγήσουσι καὶ ἀξίους ὀνομάσουσι, τοὺς ὀνομασθέντας χειροτονεῖσθαι. εἰ δὲ τοὺς παρ᾽ αὐτῶν ἐπιλεγέντας ὡς ἀναξίους κωλύσουσιν οἱ θεῖοι κανόνες χειροτονηθῆναι, τηνικαῦτα ὁ τῶν τόπων θειότατος ἐπίσκοπος οὓς ἂν νομίσοι καλλίονας προβάλλεσθαι φροντιζέτω. θεσπίζομεν δὲ τοὺς εὐλαβεστάτους κληρικοὺς ταῖς ἰδίαις ἐκκλησίαις παραμένειν, καὶ πᾶσαν αὐτοῖς ἁρμόζουσαν ἐκκλησιαστικὴν ὑπηρεσίαν πληροῦν, τοῦτο πάντως ζητοῦντος τοῦ ἑκάστης πόλεως ὁσιωτάτου ἐπισκόπου καὶ τῶν ἐν ἑκάστῳ βαθμῷ ἐκκλησιαστικῷ πρωτευόντων, καὶ τοὺς ταῦτα μὴ παραφυλάττοντας κανονικῷ ἐπιτιμίῳ ὑποβαλλόντων.[39])

ιθ΄. Τοὺς δὲ πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους καὶ ἀναγνώστας καὶ ψάλτας, οὓς πάντας κληρικοὺς καλοῦμεν, τὰ πράγματα τὰ ἀφ᾽ οἱουδήποτε τρόπου εἰς τὴν αὐτῶν δεσποτείαν περιελθόντα ἔχειν ὑπὸ τὴν ἰδίαν ἐξουσίαν προστάττομεν καθ᾽ ὁμοιότητα τῶν καστρενσίων πεκουλίων, καὶ δωρεῖσθαι κατὰ τοὺς νόμους καὶ ἐπ᾽ αὐτοῖς διατίθεσθαι εἰ καὶ ὑπὸ τὴν τῶν γονέων εἰσὶν ἐξουσίαν, οὕτω μέντοιγε ὥστε τοὺς τούτων παῖδας ἢ τούτων μὴ ὑπόντων τοὺς γονεῖς αὐτῶν τὸ νόμιμον μέρος κομίζεσθαι.

κ΄. Τοῖς δὲ εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις,

37) Ven. ἐφ᾽ ᾧ. 38) Ven. αὐτοῖς. 39) Apud Hal. (ut in Bas.) hic insertum est c. XII c. 8.

εἰ εὑρεθεῖεν ὑπὲρ χρηματικῆς αἰτίας ψευδομαρτυρήσαντες, ἀρκέσει ἀντὶ βασάνων ἐπὶ τρεῖς ἐνιαυτοὺς χωρίζεσθαι τῆς θείας ὑπηρεσίας καὶ μοναστηρίοις παραδίδοσθαι. ὑπὲρ δὲ ἐγκληματικῶν αἰτιῶν εἰ ψευδομαρτυρίαν εἴποιεν, τῆς ἐν τῷ κλήρῳ ἀξίας γυμνουμένους ταῖς νομίμοις ὑποβάλλεσθαι ποιναῖς προστάττομεν. τοὺς δὲ λοιποὺς τοὺς ἐν ταῖς ἄλλαις ἐκκλησιαστικαῖς τάξεσιν ἀναφερομένους, εἰ πλαστὴν μαρτυρίαν ἐν οἱῳδήποτε πράγματι εἴτε χρηματικῷ εἴτε ἐγκληματικῷ εἰρηκέναι διελεγχθείησαν, μὴ μόνον τοῦ κλήρου καὶ τῆς ἐκκλησιαστικῆς τάξεως ἐκβάλλεσθαι, ἀλλὰ καὶ βασάνοις ὑποβάλλεσθαι.

κα΄. Εἴ τις κατά τινος κληρικοῦ ἢ μοναχοῦ ἢ διακονίσσης ἢ μοναστρίας ἢ ἀσκητρίας ἔχοι τινὰ ἀγωγὴν, διδασκέτω πρότερον τὸν ὁσιώτατον ἐπίσκοπον ᾧτινι τούτων ἕκαστος ὑπόκειται, ὁ δὲ τὸ πρᾶγμα μεταξὺ αὐτῶν διακρινέτω. καὶ εἰ μὲν ἑκάτερον μέρος τοῖς κρινομένοις[40]) ἐφησυχάσει, κελεύομεν διὰ τοῦ κατὰ τὸν τόπον[41]) ἄρχοντος ταῦτα ἐκβιβασμῷ τελείῳ παραδίδοσθαι. εἰ δέ τις τῶν δικαζομένων ἐντὸς δέκα ἡμερῶν ἀντείποι τοῖς κεκριμένοις, τηνικαῦτα ὁ τῶν τόπων ἄρχων τὸ πρᾶγμα ἐξεταζέτω, καὶ εἰ εὕροι τὴν κρίσιν ὀρθῶς γενομένην, καὶ διὰ ψήφου ἰδίας ταύτην βεβαιούτω καὶ ἐκβιβασμῷ παραδιδότω τὰ κριθέντα, καὶ μὴ ἐξέστω τῷ[42]) δεύτερον ἐν τῷ τοιούτῳ πράγματι ἡττηθέντι ἐκκαλεῖσθαι. εἰ δὲ ἡ τοῦ ἄρχοντος ψῆφος ἐναντία εἴη τοῖς παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου κεκριμένοις, τηνικαῦτα χώραν ἔχειν τὴν ἔκκλητον κατὰ τῆς ψήφου τοῦ ἄρχοντος, καὶ ταύτην κατὰ τὴν τῶν νόμων τάξιν ἀναφέρεσθαί τε καὶ γυμνάζεσθαι. εἰ μέντοιγε ἐκ βασιλικῆς κελεύσεως ἢ δικαστικῆς προστάξεως ἐπίσκοπος κρίνῃ μεταξὺ οἱωνδήποτε προ-

40) Coll. cit. κεκριμένοις. Auth. iudicata. Iulian. iudicatis. 41) In Coll. cit. **κατὰ τὸν τόπον** deest. Iul. praesidem locorum (**κατὰ τῶν τόπων**?). 42) Ven. et Hal. τὸ. Coll. cit. δεύτερον τῷ — κινηθέντι.

σώπων, ἡ ἔκκλητος ἐπὶ τὴν βασιλείαν ἢ ἐπὶ τὸν παραπέμψαντα τὴν ὑπόθεσιν ἀναφερέσθω. [§. 1.] εἰ δὲ ἔγκλημα εἴη τὸ καθ' οἱονδήποτε τῶν μνημονευθέντων εὐλαβεστάτων προσώπων ἐπιφερόμενον, εἰ μὲν παρὰ ἐπισκόπῳ τὶς[43]) κατηγορηθῇ καὶ αὐτὸς τὴν ἀλήθειαν εὑρεῖν δυνηθῇ, ἀπὸ τῆς τιμῆς ἤτοι τοῦ βαθμοῦ τοῦτον[44]) κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας ἐκβαλλέτω, καὶ τηνικαῦτα ὁ πρόσφορος δικαστὴς τοῦτον συνεχέτω καὶ κατὰ τοὺς νόμους τὴν δίκην ἐξεταζέτω καὶ πέρας[45]) αὐτῇ ἐπιτιθέτω. εἰ δὲ πρότερον τῷ πολιτικῷ ἄρχοντι προσέλθοι[46]) ὁ κατήγορος καὶ τὸ ἔγκλημα διὰ νομίμου ἐξετάσεως δυνηθείη ἀποδειχθῆναι, τότε τῷ ἐπισκόπῳ τῶν τόπων τὰ ὑπομνήματα φανερούσθω, καὶ εἰ ἐξ αὐτῶν γνωσθῇ τὰ προτεθέντα ἐγκλήματα πλημμελῆσαι αὐτὸν, τότε αὐτὸς ὁ ἐπίσκοπος τοῦτον κατὰ τοὺς κανόνας ἀπὸ τῆς τιμῆς ἤτοι τοῦ βαθμοῦ ὃν ἔχει χωριζέτω, ὁ δὲ δικαστὴς ἐκδίκησιν αὐτῷ ἐπιφερέτω νόμοις ἁρμόδιον. εἰ δὲ νομίσοι ὁ ἐπίσκοπος τὰ πεπραγμένα μὴ δικαίως συστῆναι, τότε ἐξέσται αὐτῷ ὑπερθέσθαι τὸ γυμνῶσαι τῆς τιμῆς ἤγουν τοῦ βαθμοῦ τὸ κατηγορηθὲν πρόσωπον, οὕτω μέντοιγε ἵνα τὸ τοιοῦτον πρόσωπον ὑπὸ τὴν νόμιμον ἀσφάλειαν γένηται, καὶ οὕτως πρὸς ἡμᾶς ἡ ὑπόθεσις τοῦτο μὲν ὑπὸ τοῦ ἐπισκόπου τοῦτο δὲ καὶ ὑπὸ τοῦ δικαστοῦ ἀνενεχθῇ, ἵνα ἡμεῖς ταύτην γινώσκοντες τὰ φαινόμενα ἡμῖν κελεύσωμεν. [§. 2.] εἰ δέ τις ὑπὲρ χρηματικῆς αἰτίας κατά τινος τῶν μνημονευθέντων προσώπων ἐναγωγὴν ἔχοι τινὰ, καὶ ὁ ἐπίσκοπος ὑπέρθηται μεταξὺ αὐτῶν δικάσαι, ἄδειαν ὁ ἐνάγων ἐχέτω τῷ πολιτικῷ ἄρχοντι προσιέναι, οὕτω μέντοιγε ἵνα τὸ αἰτιαθὲν πρόσωπον μηδενὶ τρόπῳ ἀναγκάζηται ἐγγυητὴν διδόναι, ἀλλὰ μόνον ὁμολογίαν ἄνευ ὅρκου μετὰ ὑποθήκης[47]) τῶν ἰδίων ἐκτίθεσθαι πραγμάτων. εἰ δὲ ὑπὲρ ἐγκληματικῆς αἰτίας κατη-

43) Ven. τοῦτο. 44) Ven. τοῦτο. 45) Coll. cit. ἐξετάζων πέρας. ita Auth. 46) Ven. et Bas. προσέλθῃ. 47) Ven. πάσης ὑποθ. reliqui omnes πάσης recte omittunt.

γορία κατά τινος τῶν μνημονευθέντων προσώπων ἀποτεθείη, ὑπὸ τὴν νόμιμον ἀσφάλειαν τὸ κατηγορούμενον γίνεσθαι πρόσωπον. εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ πρᾶγμα, μηδεμίαν κοινωνίαν ἐχέτωσαν οἱ πολιτικοὶ ἄρχοντες πρὸς τὴν τοιαύτην ἐξέτασιν, ἀλλ' οἱ ὁσιώτατοι ἐπίσκοποι κατὰ τοὺς ἱεροὺς κανόνας τῷ πράγματι πέρας ἐπιτιθέτωσαν.

κβ'. Εἴ τινες δὲ ὁσιώτατοι ἐπίσκοποι τῆς αὐτῆς συνόδου ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῆς ἰδίας συνόδου ἐπισκόπων τὸ πρᾶγμα κρινέτω, καὶ εἰ μὴ ἐμμείνῃ ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος πατριάρχης ἐκείνης τῆς διοικήσεως μεταξὺ αὐτῶν ἀκροάσθω, κἀκεῖνα ὁριζέτω ἅτινα τοῖς ἐκκλησιαστικοῖς κανόσι καὶ τοῖς νόμοις συνᾴδει, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου. εἰ δὲ καὶ παρὰ κληρικοῦ ἢ ἄλλου οἱουδήποτε προσέλευσις κατὰ ἐπισκόπου γένηται διὰ οἱανδήποτε αἰτίαν, πρῶτον ὁ ὁσιώτατος αὐτῶν[48]) *μητροπολίτης κατὰ τοὺς ἁγίους κανόνας καὶ τοὺς ἡμετέρους νόμους τὸ πρᾶγμα διακρινέτω, καὶ εἴ τις τοῖς κεκριμένοις ἀντείποι, ἐπὶ τὸν μακαριώτατον πατριάρχην*[49]) *τῆς διοικήσεως ἐκείνης ἀναφερέσθω τὸ πρᾶγμα, κἀκεῖνος κατὰ τοὺς κανόνας καὶ τοὺς νόμους τούτῳ παρεχέτω πέρας. εἰ δὲ κατὰ μητροπολίτου τοιαύτη προσέλευσις γένηται εἴτε παρὰ ἐπισκόπου εἴτε παρὰ κληρικοῦ ἢ ἄλλου οἱουδήποτε προσώπου, ὁ τῆς διοικήσεως ἐκείνης μακαριώτατος πατριάρχης κατὰ τὸν ὅμοιον τρόπον τὸ πρᾶγμα κρινέτω. ὑπὲρ δὲ πασῶν τῶν αἰτιῶν, εἴτε παρὰ τῷ ἰδίῳ μητροπολίτῃ εἴτε παρὰ πατριάρχῃ εἴτε παρ' ἄλλοις οἱοισδήποτε δικασταῖς ἐπίσκοποι ἐνάγονται, μηδεμίαν ἐγγύην ἢ ὁμολογίαν ὑπὲρ τῆς δίκης*

48) *αὐτοῦ?* Auth. *eius.* sed Iulian. *eorum.* 49) Hal. Coll. Auth. *ἀρχιεπίσκοπον καὶ πατριάρχην.*

ἀπαιτείσθωσαν, οὕτω μέντοι ἵνα καὶ αὐτοὶ σπουδάσωσι τῶν ἐπαγομένων αὐτοῖς αἰτιῶν ἑαυτοὺς διευλυτοῦν.

κγʹ. Τοὺς δὲ οἰκονόμους καὶ πτωχοτρόφους καὶ ξενοδόχους καὶ νοσοκόμους καὶ τοὺς τῶν ἄλλων εὐαγῶν οἴκων διοικητὰς καὶ τοὺς ἄλλους ἅπαντας κληρικοὺς κελεύομεν ὑπὲρ τῶν ἐμπιστευθεισῶν αὐτοῖς διοικήσεων παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ ᾧ ὑπόκεινται ἀποκρίνεσθαι καὶ τοὺς λογισμοὺς τῆς ἰδίας διοικήσεως ποιεῖσθαι, καὶ εἰσπράττεσθαι ὅπερ ἐξ αὐτῶν ὀφείλοντες ἀποδειχθείησαν, ἐκείνῳ τῷ εὐαγεῖ ἀποδοθησόμενον οἴκῳ, οὗτινος ἐκ τῆς διοικήσεως τὸ χρέος φανείη. εἰ δὲ νομίσοιεν ἑαυτοὺς βεβαρῆσθαι, μετὰ τὴν ἀπαίτησιν ὁ μητροπολίτης τὸ πρᾶγμα ἐξεταζέτω. εἰ δὲ μητροπολίτης εἴη ὁ κατά τινος τῶν εἰρημένων προσώπων τὰς τοιαύτας αἰτίας ἐξετάσας καὶ τὸ χρέος εἰσπράξας, καὶ ὁ εἰσπραχθεὶς νομίσοι ἑαυτὸν βεβλάφθαι, ὁ τῆς διοικήσεως ἐκείνης μακαριώτατος πατριάρχης τὸ πρᾶγμα διακρινέτω. οὐδὲ γὰρ συγχωροῦμεν τοῖς προειρημένοις προσώποις ἐπὶ τῶν μνημονευθεισῶν αἰτιῶν πρὸ τῆς ἐξετάσεως καὶ τῆς ἀπαιτήσεως τοῦ χρέους τοὺς ἰδίους ἐπισκόπους ἀποφεύγειν καὶ εἰς ἄλλα παραγίνεσθαι δικαστήρια. εἴ τις δὲ ἐκ τῶν ἐκκλησιαστικῶν τινα τοιαύτην διοίκησιν ἐμπιστευθεὶς προ τῆς τῶν λογισμῶν παραθέσεως καὶ τῆς τῶν ἐποφειλομένων καταβολῆς τελευτήσοι, κελεύομεν τοὺς αὐτοῦ κληρονόμους κατὰ τὸν ὅμοιον τρόπον καὶ τοῖς λογισμοῖς καὶ ταῖς ἀπαιτήσεσιν ὑποκεῖσθαι.

κδʹ.[50]) *Εἰ δέ*[51]) τις ἐπίσκοπος ἢ κληρικὸς ἐξ οἱασδήποτε ἐπαρχίας ἐν Κωνσταντινουπόλει εὑρεθείη καί τις βουληθῇ ἐναγωγὴν κατ᾽ αὐτοῦ προθεῖναι, εἰ μὲν προκάταρξις ἐν τῇ ἐπαρχίᾳ ὑπὲρ τῆς αὐτῆς ὑποθέσεως γέγονεν, ἐκεῖ τὴν δίκην πληροῦσθαι. εἰ δὲ μήπω ἤρχθη, παρὰ μόνοις τοῖς ἐνδοξοτάτοις ἐπάρχοις τῶν τῆς ἀνατολῆς πραιτωρίων ἢ τοῖς παρ᾽

50) Ven. adiicit numerum capitis λθʹ. 51) Coll. εἴ τις δέ. Ven. δὲ omittit.

ἡμῶν ἀφοριζομένοις θείοις[52]) *δικασταῖς τοῖς ἐνάγουσιν αὐτὸν ἀποκρίνεσθαι.*

κε΄. Οἱ δὲ εὐλαβέστατοι ἀποκρισιάριοι οἱασδήποτε ἁγιωτάτης ἐκκλησίας οἱ ἐν τῇ βασιλίδι πόλει διατρίβοντες ἢ παρὰ[52a]) *τοὺς μακαριωτάτους πατριάρχας ἢ μητροπολίτας παρὰ τῶν ἰδίων ἐπισκόπων στελλόμενοι μηδὲ ὑπὲρ τῶν ἰδίων ἐπισκόπων*[53]) *μηδὲ ὑπὲρ πράγματος τῆς ἐκκλησίας ἢ χρέους δημοσίου ἢ ἰδιωτικοῦ τινα ἐναγωγὴν ἢ ἀπαίτησιν ὑπομενέτωσαν, εἰ μὴ ἐντολὰς ἔχοιεν παρὰ τῶν ἰδίων ἐπισκόπων ἢ οἰκονόμων ὥστε τισὶν ἐνάγειν· τηνικαῦτα γὰρ μόνοις τοῖς παρ᾽ αὐτῶν ἐναγομένοις δίδομεν ἄδειαν, ἐάν τινα ἀγωγὴν ἔχωσι κατὰ τῆς ἐκκλησίας ἢ τοῦ ἐπισκόπου, κατ᾽ αὐτῶν προτιθέναι. εἰ δὲ καὶ ἐπί τισι πράγμασιν ἢ ἀγωγῇ*[54]) *ἑαυτοὺς ἐνόχους ποιήσουσιν ἐν τῷ καιρῷ ἐν ᾧ τὰς ἀποκρίσεις ποιοῦνται, καὶ τὰς ὑπὲρ τούτων ἐναγωγὰς αὐτοὺς ὑποδέχεσθαι.*

κϛ΄. Εἰ δὲ καὶ ἐπίσκοποι ἢ κληρικοὶ ὑπὲρ τῆς πόλεως ἢ τῆς ἰδίας ἐκκλησίας διὰ πρεσβείαν τινὰ ἢ χειροτονίαν ἐπισκόπου εἰς τὴν βασιλίδα πόλιν ἢ ἐν ἄλλῳ οἱῳδήποτε τόπῳ ἐνδημήσουσι, κελεύομεν αὐτοὺς μηδεμίαν ἐπάχθειαν ἢ ὄχλησιν ἀπὸ οἱουδήποτε προσώπου ὑφίστασθαι, ἀδείας οὔσης τοῖς ὑπευθύνους αὐτοὺς ἔχειν νομίζουσιν, μεθ᾽ ὃ εἰς τὴν ἐπαρχίαν ὑποστρέψουσιν, ἐνάγειν αὐτοῖς, οὐδενὸς τοῖς νομίζουσιν ἔχειν αὐτοὺς ὑπευθύνους γινομένου προκρίματος περὶ χρονίαν παραγραφὴν διὰ τὸν χρόνον, ὃν ἐν τῇ τοιαύτῃ ἀποδημίᾳ παρείλκυσαν.

κζ΄. Εἴ ποτε δὲ αἰτία τὶς ἀναφυῇ τοῦ ὑπόμνησιν ἢ ἐκβιβασμὸν προσενεχθῆναι ὑπὲρ οἱασδήποτε χρηματικῆς αἰ-

52) Ven. *τοῖς θείοις δικ.* fortasse haec verba glossema sunt. Epitomator in Nom. XIV titt. *τῷ παρὰ τῆς βασιλείας ἀφοριζομένῳ.* 52[a]) Coll. cit. *πρός.* quid si legamus: *ἢ παρὰ τῶν μητροπολιτῶν πρὸς τοὺς μ. πατρ. ἢ πρὸς τοὺς μητροπολίτας?* 53) Verba *μηδὲ — ἐπισκόπων* desunt in Ven. Bas. Epitomator in Nom. XIV titt. *ὑπὸ* legit pro *ὑπέρ.* 54) Hal. et Coll. cit. *ἀγωγαῖς.*

τίας (εἴτε δημοσίας εἴτε ἰδιωτικῆς) κληρικῷ ἢ μοναχῷ ἢ μοναστρίᾳ ἢ ἀσκητρίᾳ οἱουδήποτε μοναστηρίου, καὶ μάλιστα γυναικῶν, ὕβρεως χωρὶς καὶ μετὰ τῆς προσηκούσης τιμῆς κελεύομεν τὴν ὑπόμνησιν καὶ τὸν ἐκβιβασμὸν γίνεσθαι, μηδεμίαν δὲ μονάστριαν ἢ ἀσκήτριαν τοῦ μοναστηρίου ἀφέλκεσθαι, ἀλλ' ἐντολέα ἐξ αὐτῶν προβάλλεσθαι τὸν ὑπὲρ τοῦ πράγματος ἀποκρινόμενον· τοῖς δὲ μοναχοῖς ἐξέστω εἴτε δι' ἑαυτῶν εἴτε δι' ἐντολέων τὰς ἰδίας ἢ τὰς τοῦ μοναστηρίου δίκας πράττειν· εἰδότος τοῦ ταῦτα παραβαίνοντος δικαστοῦ ἢ ἐκβιβαστοῦ, ὡς καὶ τῆς ζώνης γυμνωθήσεται καὶ ποινὴν ε´ χρυσίου λιτρῶν εἰσπραχθήσεται παρὰ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν πριβάτων[55]), τοῦ ἐκβιβαστοῦ δηλονότι πρὸς τούτοις καὶ βασάνους ὑπομένοντος καὶ εἰς ἐξορίαν πεμπομένου. τῶν κατὰ τόπον ὁσιωτάτων ἐπισκόπων προνοούντων, ἵνα μηδὲν τούτων ἐναντίον γένηται, ἢ εἴπερ τὶ ἁμαρτηθῇ, ἵνα ἡ εἰρημένη ἐκδίκησις προέλθοι. τοῦ δὲ ἄρχοντος τὴν ἐκδίκησιν ἀναβαλλομένου ἐπιθεῖναι εἰς ἡμετέραν εἴδησιν ὁ ἐπίσκοπος ἀναφερέτω.

κη´. Σπορτούλων[56]) δὲ ὀνόματι πᾶν πρόσωπον ἐν οἱᾳδήποτε ἐκκλησιαστικῇ τάξει καταλεγόμενον, καὶ πρὸς τούτοις διακόνισσαν καὶ μοναχὸν καὶ ἀσκήτριαν καὶ μονάστριαν, ὑπὲρ πάσης ἐγκληματικῆς καὶ χρηματικῆς αἰτίας ὅσης ἂν εἴη ποσότητος, εἴτε ἀπὸ κληρικοῦ εἴτε ἀπό τινος ἐν στρατείᾳ καταλεγομένου ὑπόμνησιν δέξονται ἢ ἐν τῇ βασιλίδι πόλει ἢ ἐν ταῖς ἐπαρχίαις ἐν αἷς διάγουσιν, οὐ πλέον τεσσάρων κερατίων διδόναι συγχωροῦμεν. εἰ δέ τις ἐξ ἡμετέρας κελεύσεως ἢ ἄρχοντος ἢ τοῦ μακαριωτάτου πατριάρχου σταλεὶς ἐκβιβαστὴς εἰς ἄλλας ἐπαρχίας ὑπόμνησιν προσαγάγοι τινὶ τῶν μνημονευθέντων προσώπων, μὴ περαιτέρω ἑνὸς νομίσματος κομιζέσθω. εἰ δὲ καὶ ὑπὲρ μιᾶς καὶ τῆς αὐτῆς

55) Ven. inter lineas *τῶν ἰδικῶν*. 56) Ven. inter lineas *συνηθειῶν*.

αἰτίας πολλοὺς ἐκ τῶν μνημονευθέντων προσώπων ὑπομνησθῆναι συμβαίη, ἑνὸς καὶ μόνου προσώπου ὑπὲρ πάντων σπόρτουλα κομίζεσθαι θεσπίζομεν. ἐπίσκοπος δὲ ὑπὲρ τῶν πραγμάτων τῆς ἰδίας ἐκκλησίας μηδεμίαν μεθοδείαν ἢ ὄχλησιν ὑφιστάσθω· σπόρτουλα δὲ εἰ[57]) *ὑπὲρ τῶν ἰδικῶν πραγμάτων ὑπομνησθείη ἀπαιτείσθω· τὰς ἐναγωγὰς δηλαδὴ τὰς κατα τῆς ἐκκλησίας προτιθεμένας τῶν οἰκονόμων ὑποδεχομένων, ἢ ἐκείνων οἵτινες ἐπὶ ταύτῃ τῇ αἰτίᾳ προβληθεῖεν. ὁ δὲ παρὰ ταῦτα εἰσπρᾶξαι σπόρτουλα τολμῶν ἐν διπλῷ ὅπερ ἔλαβε τῷ ἀπαιτηθέντι προσώπῳ ἀποδοῦναι συνωθείσθω, καὶ εἰ μὲν στρατεύεται, καὶ τὴν ζώνην ἀπολλύτω, εἰ δὲ κληρικὸς εἴη, τοῦ κλήρου ἐκβαλλέσθω.*

κθ'.[58]) *Τοῖς δὲ πρεσβυτέροις καὶ διακόνοις καὶ ὑποδιακόνοις καὶ πᾶσι τοῖς ἄλλοις τοῖς ἐν κλήρῳ τεταγμένοις μὴ ἔχουσι γαμετὰς κατὰ τοὺς θείους κανόνας ἀπαγορεύομεν καὶ ἡμεῖς κατὰ τὴν τῶν ἁγίων κανόνων δύναμιν, γυναῖκά τινα ἐν τῷ ἰδίῳ οἴκῳ ἐπείσακτον ἔχειν, δίχα μέντοιγε μητρὸς καὶ θυγατρὸς καὶ ἀδελφῆς καὶ τῶν ἄλλων προσώπων, ἅτινα πᾶσαν ὑποψίαν ἐκφεύγει. εἴ τις δὲ παρὰ ταύτην τὴν παραφυλακὴν γυναῖκα ἐν τῷ ἰδίῳ οἴκῳ σχῇ, ἥτις δύναται αὐτῷ ὑποψίαν ἐπάγειν, καὶ ἅπαξ καὶ δὶς ἢ ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἢ ὑπὸ τῶν ἰδίων συγκληρικῶν ὑπομνησθεὶς, ὥστε μετὰ τοιαύτης γυναικὸς μὴ οἰκεῖν, ἐκβαλεῖν αὐτὴν ἐκ τοῦ ἰδίου οἴκου μὴ θελήσοι, ἢ κατηγόρου φαινομένου ἀποδειχθῇ ἀσέμνως μετὰ τοιαύτης γυναικὸς ἀναστρέφεσθαι, τηνικαῦτα ὁ ἐπίσκοπος αὐτοῦ κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας τοῦ κλήρου αὐτὸν ἐκβαλλέτω, τῇ βουλῇ τῆς πόλεως ἧς κληρικὸς ἦν παραδοθησόμενον. ἐπίσκοπον δὲ μηδεμίαν παντελῶς γυ-*

57) Ven. Hal. Bas. *μηδὲ εἰ.* et sic vertit Iulianus „*nec pro suis*". sed *μηδὲ* non agnoscunt Coll. cit. Ath. Theod. et Epitome in Nom. XIV titt. a clerico sive auctore episcoporum istud *μηδὲ* interpolatum esse facile intelligitur. 58) Ven. vocat *μδ'*.

ναῖκα ἔχειν ἢ μετ' αὐτῆς οἰκεῖν συγχωροῦμεν. εἰ δὲ ἀποδειχθείη τοῦτο μηδαμῶς παραφυλάξας, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω· αὐτὸς γὰρ ἑαυτὸν ἀνάξιον δείκνυσι τῆς ἱερωσύνης.

λ'. Διακόνισσαν δὲ οὐδενὶ τρόπῳ μετα ἀνδρὸς, ἐξ οὗ δύναται ἀσέμνου βίου ἀναφύεσθαι ὑποψία, οἰκεῖν συγχωροῦμεν. εἰ δὲ ταῦτα μὴ παραφυλάξει, ὁ ἱερεὺς ὑφ' ὃν τέτακται ὑπομιμνησκέτω ταύτην, ἵνα πᾶσι τρόποις τὸν τοιοῦτον ἄνδρα ἐκβάλῃ τοῦ ἰδίου οἴκου. εἰ δὲ τοῦτο ὑπέρθηται πρᾶξαι, τῆς ἐκκλησιαστικῆς ὑπηρεσίας καὶ τῶν ἰδίων διαρίων ἀλλοτριουμένη ἐν μοναστηρίῳ παραδιδόσθω, κἀκεῖ πάντα τὸν τῆς ἰδίας ζωῆς χρόνον διατελείτω, τῶν πραγμάτων αὐτῆς, εἰ μὲν παῖδας ἔχοι, μεταξὺ αὐτῆς κἀκείνων κατὰ τὸν ἀριθμὸν τῶν προσώπων διαιρουμένων, ἵνα τὸ ἁρμόζον τῇ αὐτῇ γυναικὶ μέρος τὸ μοναστήριον λαμβάνον ταύτην ἀποτρέφοι. εἰ δὲ μὴ ἔχοι παῖδας, πᾶσα ἡ αὐτῆς περιουσία μεταξὺ τοῦ μοναστηρίου ὅπου ἐμβάλλεται καὶ τῆς ἐκκλησίας ἐν ᾗ πρότερον ἐτέτακτο ἐξ ἴσης μοίρας διαιρείσθω.

λα'. Εἴ τις τῶν θείων μυστηρίων ἢ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων ἐν ἁγίᾳ εἰσελθὼν ἐκκλησίᾳ ἢ τῷ ἐπισκόπῳ ἢ τοῖς κληρικοῖς ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς ἐκκλησίας ὕβρεώς τι ἐπαγάγοι, κελεύομεν τοῦτον βασάνους ὑπομένειν καὶ εἰς ἐξορίαν πεμφθῆναι· εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια καὶ τὰς θείας λειτουργίας ταράξοι ἢ ἐπιτελεῖσθαι κωλύσοι, κεφαλικῶς τιμωρεῖσθαι. τούτου αὐτοῦ[59]) καὶ ἐπὶ ταῖς λιταῖς ἐν αἷς ἢ ἐπίσκοποι ἢ κληρικοὶ εὑρίσκονται φυλαττομένου, ἵνα εἰ μὲν ὕβριν μόνον ποιήσει, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ, εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσει, κεφαλικὸν κίνδυνον ὑπομένοι. καὶ ταῦτα διεκδικεῖν κελεύομεν οὐ μόνον τοὺς πολιτικοὺς, ἀλλὰ καὶ τοὺς στρατιωτικοὺς ἄρχοντας.

59) Hal. ταὐτοῦ τούτου.

λβ'. Πᾶσι δὲ τοῖς λαϊκοῖς ἀπαγορεύομεν λιτὰς ποιεῖν δίχα τῶν ὁσιωτάτων τῶν τόπων ἐπισκόπων καὶ τῶν ὑπ' αὐτοὺς εὐλαβεστάτων κληρικῶν (ποία γάρ ἐστι λιτὴ, ἐν ᾗ ἱερεῖς οὐχ εὑρίσκονται καὶ τὰς συνήθεις ποιοῦσιν εὐχάς;) ἀλλὰ καὶ τοὺς τιμίους σταυροὺς, μεθ' ὧν ἐν ταῖς λιταῖς ἐξέρχονται, μὴ ἀλλαχόσε πλὴν εἰ μὴ ἐν εὐαγέσι τόποις ἀποτίθεσθαι. καὶ εἴ ποτε χρεία καλέσοι τοῦ λιτὰς ἐπιτελεῖσθαι, τότε μόνον τοὺς αὐτοὺς ἁγίους σταυροὺς λαμβάνειν τοὺς εἰωθότας αὐτοὺς βαστάζειν, καὶ μετὰ τοῦ ἐπισκόπου καὶ τῶν κληρικῶν τὰς λιτὰς ἐπιτελεῖσθαι. ταῦτα παραφυλαττόντων τῶν ὁσιωτάτων τῶν τόπων ἐπισκόπων καὶ τῶν αὐτῶν κληρικῶν καὶ τῶν κατὰ τόπον ἀρχόντων.[60] *εἰ δέ τις ἐν τούτῳ τῷ κεφαλαίῳ τὴν τοῦ παρόντος ἡμῶν νόμου δύναμιν ἢ παραβῇ ἢ μὴ ἐκδικήσει, τὰς εἰρημένας ποινὰς*[61] *ὑποστήσεται.*

λγ'. Ὑπόλοιπον ἡμῖν ἐστι καὶ περὶ τῶν εὐαγῶν μοναστηρίων καὶ τῶν εὐλαβεστάτων μοναχῶν διατυπῶσαι.[62]

λδ'. Κελεύομεν τοίνυν τὸν ἀββᾶν[63] *ἢ τὸν ἀρχιμανδρίτην τοὺς ἐν ἑκάστῳ μοναστηρίῳ προβάλλεσθαι μὴ πάντως κατὰ τοὺς βαθμοὺς τῶν μοναχῶν*[64]*, ἀλλ' ὃν πάντες οἱ μοναχοὶ ἢ οἱ καλλίονος ὑπολήψεως ὄντες ἐπιλέξονται, προκειμένων τῶν ἁγίων εὐαγγελίων λέγοντες, ὡς οὐδὲ διὰ φιλίαν ἢ δι' ἄλλην οἱανδήποτε χάριν, ἀλλὰ γινώσκοντες αὐτὸν καὶ τῇ πίστει ὀρθὸν καὶ τῷ βίῳ σώφρονα καὶ τῆς διοικήσεως ἄξιον, καὶ δυνάμενον τὴν τῶν μοναχῶν ἐπιστήμην καὶ πᾶσαν τὴν τοῦ μοναστηρίου κατάστασιν χρησίμως φυλάξαι, αὐτὸν ἐπελέξαντο, τοῦ ὁσιωτάτου ἐπισκόπου ὑφ' ὃν τὸ μοναστήριον τέτακται τὸν οὕτως ἐπιλεγόμενον πᾶσι*

60) Verborum similium repetitione ut videtur deceptus librarius Codicis Flor. inde a verbis *ποία γάρ ἐστι λιτὴ* usque ad *ἀρχόντων* cuncta omittit. 61) Ven. *ποινὰς* omittit. 62) Flor. subiicit c. XIII c. 1. 63) Ven. *ἀμβᾶν*. 64) Hal. addit *ἀλλὰ κατὰ τὰς πράξεις*. sic etiam Theod.

τρόποις ἡγούμενον προβαλλομένου. ταῦτα δὲ πάντα τὰ παρ' ἡμῶν διατυπωθέντα διὰ τὴν προβολὴν τῶν ἡγουμένων κρατεῖν παρακελευόμεθα καὶ ἐπὶ τοῖς εὐαγέσι τῶν γυναικῶν μοναστηρίοις καὶ ἀσκητηρίοις.

λε΄. Εἴ τις δὲ εἰς μοναχικὸν βίον ἐλθεῖν βουληθείη, κελεύομεν ἵνα εἰ μὲν γνώριμός ἐστιν ὅτι οὐδεμιᾷ τύχῃ[65]) ὑπόκειται, ὁ ἡγούμενος τοῦ μοναστηρίου ὅτε συνίδοι τὸ σχῆμα αὐτῷ παράσχοι, εἰ δὲ μὴ γνωρίζεται οἱᾳδήποτε[66]) ὑπόκειται τύχῃ, ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λαμβάνειν αὐτὸν τὸ σχῆμα τὸ μοναχικὸν, ἀλλ' ἐντὸς τοῦ εἰρημένου χρόνου ἀποπειράσθω τῆς τούτου ἀναστροφῆς ὁ τοῦ μοναστηρίου ἡγούμενος. καὶ εἰ ἐντὸς τριετίας ἀναφυῇ τις λέγων ἢ δοῦλον ἢ κολωνὸν[67]) ἢ ἐναπόγραφον ἴδιον τοῦτον εἶναι, ἢ καὶ ὡς φεύγοντα τὴν γεωργίαν ἢ ὥς τι κλέψαντα ἢ διά τι πταῖσμα εἰς τὸ μοναστήριον αὐτὸν εἰσεληλυθέναι, καὶ ταῦτα ἀποδειχθείη, τῷ ἰδίῳ δεσπότῃ τοῦτον ἀποκαθίστασθαι μετὰ τῶν πραγμάτων, ἅπερ δειχθείη εἰς τὸ μοναστήριον εἰσαγαγὼν, λόγον πρότερον ὡς οὐδὲν δεινὸν[68]) ὑπομενεῖ παρὰ τοῦ ἰδίου δεσπότου λαμβάνοντα. εἰ δὲ ἐντὸς τριετίας μηδεὶς ἐναγάγῃ τινὶ τῶν εἰρημένων προσώπων, ὁ ἡγούμενος τοῦ μοναστηρίου μετὰ τὴν παραδρομὴν τοῦ τριετοῦς χρόνου εἰ τὸν τοιοῦτον ἄνδρα ἄξιον κρίνοι, τότε διδότω αὐτῷ τὸ σχῆμα, καὶ μηδεὶς αὐτῷ μετὰ ταῦτα ὄχλησιν ὑπὲρ τύχης ἐπιφερέτω, ἐν ὅσῳ μέντοιγε ἐν τῷ μοναστηρίῳ διάγει· τὰ δὲ πράγματα, ἅπερ εἰς τὸ μοναστήριον εἰσαγαγὼν φανείη, τῷ δεικνυμένῳ δεσπότῃ ἀποδιδόσθω. εἰ δέ τις τῶν εἰρημένων προσώπων καταλείψει τὸ μοναστήριον καὶ εἰς κοσμικὸν ἔλθοι βίον ἢ ἐν ταῖς πόλεσιν ἢ ἐν ἀγροῖς περιέρχεται, τῇ ἰδίᾳ τύχῃ παραδιδόσθω.

65) Flor. *τύχῃ δουλικῇ*. 66) Bas. *εἰ οἱᾳδ*. Auth. *ἢ οἱᾳδ*. habuisse videtur. non male. 67) Ven. inter lineas *ἤτοι μισθωτόν*. 68) Verbum *δεινόν* abest ab Hal. Bas. Iul. Auth. in const. XIII c. 2 §. 1: *ὡς οὐδὲν αὐτὸν δράσει κακόν*.

λϛʹ. Ἐν πᾶσι δὲ τοῖς μοναστηρίοις, ἅπερ κοινόβια[69]) *καλοῦνται, κελεύομεν κατὰ τοὺς μοναχικοὺς κανόνας*[70]) *ἐν ἑνὶ οἴκῳ πάντας οἰκεῖν καὶ κοινῶς τρέφεσθαι, καὶ κατὰ τὸν ὅμοιον τρόπον ἑνὶ*[70a]) *οἴκῳ πάντας κεχωρισμένως καθεύδειν, ὥστε ἀμοιβαδὸν ἀλλήλοις μαρτυρίαν τῆς σώφρονος διαγωγῆς παρέχειν αὐτούς, πλὴν εἰ μή τινες ἐξ αὐτῶν ἢ διὰ τὴν χρονίαν ἐν μοναστηρίῳ ἄσκησιν ἡσύχως βουλόμενοι ζῆν ἢ γήρως ἢ σωματικῆς ἀσθενείας χάριν ἐν ἰδιάζουσι κελλίοις ἔνδον τοῦ μοναστηρίου τυγχάνουσι διαιτῶνται· τοῦτο δὲ μετὰ εἰδήσεως καὶ γνώμης τοῦ ἡγουμένου γίνεσθαι. τούτων ἁπάντων καὶ περὶ τὰ μοναστήρια καὶ ἀσκητήρια τῶν γυναικῶν παραφυλαττομένων. κατ' οὐδένα δὲ τόπον τῆς ἡμετέρας πολιτείας ἐν ἑνὶ μοναστηρίῳ μοναχοὺς καὶ μοναστρίας οἰκεῖν ἢ τὰ λεγόμενα διπλᾶ εἶναι μοναστήρια συγχωροῦμεν· ὅπου δὲ τοιοῦτο μοναστήριον εὑρεθείη, πᾶσι τρόποις κελεύομεν τοὺς ἄνδρας ἀπὸ τῶν γυναικῶν χωρίζεσθαι, καὶ τὰς μὲν γυναῖκας ἐν ᾧπέρ εἰσι μοναστηρίῳ ἀπομένειν*[71]), *τοὺς δὲ ἄνδρας ἄλλο μοναστήριον ἑαυτοῖς ποιεῖν. εἰ δὲ πλείονα εἴη τὰ τοιαῦτα μοναστήρια, ἵνα μηδὲ ἀνάγκη γένηται νέα μοναστήρια οἰκοδομεῖσθαι, ὁ τῶν τόπων ὁσιώτατος ἐπίσκοπος τοὺς μοναχοὺς μετὰ τῶν μοναχῶν καὶ τὰς γυναῖκας μετὰ τῶν γυναικῶν κεχωρισμένως ἐν ἄλλοις καὶ ἄλλοις μοναστηρίοις συναγαγεῖν φροντισάτω, τὰ δὲ πράγματα ὅσα ἔχουσι κοινὰ μεταξὺ αὐτῶν κατὰ τὸ ἁρμόζον αὐτοῖς δίκαιον διαιρείσθω· ταῖς δὲ γυναιξὶν ὃν ἂν αὐταὶ ἐπιλέξωνται εἴτε πρεσβύτερον εἴτε διάκονον εἰς τὸ ποιεῖν αὐταῖς τὰς ἀποκρίσεις ἢ τὴν ἁγίαν αὐταῖς κοινωνίαν φέρειν, ὁ ὁσιώτατος ἐπίσκοπος ὑφ' ὃν εἰσιν ἀποκληρούτω, εἰ ὀρθῆς πίστεως καὶ βίου καλοῦ τοῦτον εἶναι γνοίη.*

69) Quae const. XIII c. 3 et C c. 1 de omnibus monasteriis indistincte statuunt, hoc de coenobiis tantum nostra constitutio sancit. 70) Hal. *τύπους*. quosnam sive canones sive *τύπους* imperator intelligat non satis apparet. 70[a]) *ἐν ἑνί?* 71) Hal. *ὡς ἀσθενεῖς ὑπομένειν.*

εἰ δὲ ὁ παρ' αὐτῶν ἐπιλεγεὶς μὴ εἴη πρεσβύτερος ἢ διάκονος, ἄξιον δὲ αὐτὸν τῆς τοιαύτης ὑπηρεσίας ὁ ἐπίσκοπος κρίνῃ, χειροτονίαν αὐτῷ ἐπιτιθεὶς, ἧς ἄξιος εἶναι φανείη, ταῖς ἀποκρίσεσιν ὡς εἴρηται τοῦ μοναστηρίου ἀπονεμέτω, οὕτω μέντοι ἵνα μηδὲ ὁ οὕτως ἐπιλεγεὶς πρὸς τὰς ἀποκρίσεις τῶν γυναικῶν ἐν τῷ μοναστηρίῳ μείνῃ.

λζ'. Εἴ τις ἐπὶ αἱρέσει γάμου ἢ παιδοποιΐας ἢ χάριν προικὸς ἢ γαμικῆς δωρεᾶς ἢ δωρήσηταί τι ἢ καταλείψῃ[72]) τοῖς ἰδίοις παισὶν ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ κληρονομίαν ἢ ληγάτον, ἢ ἐξ[73]) ἀρχῆς καθαρῶς καταλιμπάνων αὐτοῖς βαρήσει αὐτοὺς ὑποκαταστάσει ἢ ἀποκαταστάσει ὑπὸ μίαν τῶν μνημονευθεισῶν αἱρέσεων, κελεύομεν εἴπερ οἱ ταῖς τοιαύταις αἱρέσεσιν ὑποκείμενοι ἄῤῥενες ἢ θήλειαι εἰς μοναστήρια εἰσέλθωσιν, ἢ κληρικοὶ ἢ διακόνισσαι ἢ ἀσκήτριαι γένωνται, τὰς τοιαύτας αἱρέσεις ἀνισχύρους καὶ ἀντὶ μηδὲ γεγραμμένων εἶναι. ταύτης δὲ τῆς βοηθείας καὶ κληρικοὶ καὶ διακόνισσαι[74]) τῶν ἐκκλησιῶν ἀπολαυέτωσαν, εἰ μέχρι τῆς ἰδίας ζωῆς τοῖς αὐτοῖς ἐπιμείνοιεν, καὶ τὰ πράγματα τὰ ὑπὸ τὴν τοιαύτην αἵρεσιν δεδωρημένα ἢ καταλελειμμένα εἰς εὐσεβεῖς χρείας δαπανήσουσιν ἢ καταλείψουσιν. ἐπὶ γὰρ τοῖς προσώποις, ἅτινα εἰς μοναστήριον ἢ ἀσκητήριον εἰσέλθωσι καὶ καταλείψωσι[75]) τὴν τοιαύτην σώφρονα ἀναστροφὴν, τῷ μοναστηρίῳ ἢ τῷ ἀσκητηρίῳ, ὅπου τὴν ἀρχὴν ἦν[75a]) εἰσελθόντα, τὰ πράγματα τὰ ὑπὸ τὴν τοιαύτην αἵρεσιν δωρηθέντα ἢ καταλειφθέντα μετὰ τῆς ἄλλης αὐτῶν ὑποστάσεως διαφέρειν κελεύομεν. εἰ μέντοι ἐπὶ ἀναῤῥύσει αἰχμαλώτων ἢ πτωχῶν ἀποτροφῇ ὑπὸ τὰς εἰρημένας αἱρέσεις ὑποκατάστασις ἢ ἀποκατάστασις γένηται, ἐξ οὐδενὸς τῶν εἰρημένων τρόπων ταύτην ἀποκλείεσθαι συγχωροῦμεν.

72) Ven. καταλήψει. 73) Ven. hic ἢ omittit, sed paulo ante ἢ κληρ. 74) Coll. 87 capp. οἱ κλ. καὶ αἱ διακ. non male. 75) Verba ἐπὶ γὰρ τοῖς — καταλείψωσι in Ven. propter ὁμοιοτέλευτα exciderunt. 75a) ἦσαν?

λη'. Εἰ δὲ γυνὴ ἢ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξηται βίον καὶ εἰσέλθῃ εἰς τὸ[76]) *μοναστήριον, παίδων οὐχ ὑπόντων τῷ μοναστηρίῳ ἐν ᾧ εἰσῆλθε τὰ πράγματα αὐτοῦ διαφέρειν κελεύομεν. εἰ δὲ τὸ τοιοῦτον πρόσωπον παῖδας ἔχοι καὶ μὴ πρὶν εἰσέλθῃ εἰς τὸ μοναστήριον περὶ τῶν οἰκείων πραγμάτων ποιήσει διατύπωσιν καὶ τὸ νόμιμον μέρος τοῖς παισὶν ἀφορίσει, καὶ οὕτως ἐξέστω αὐτῷ καὶ μετὰ τὸ εἰσελθεῖν εἰς τὸ μοναστήριον τὴν ἰδίαν οὐσίαν εἰς τοὺς ἰδίους διελεῖν παῖδας, οὕτω μέντοιγε ὥστε μηδὲ ἐπὶ ἑνὶ*[77]) *τῶν ἑαυτοῦ παίδων ἐλαττῶσαι τὸ νόμιμον μέρος· τὸ δὲ μὴ δεδομένον τοῖς παισὶ μέρος τῷ μοναστηρίῳ διαφερέτω. εἰ δὲ πᾶσαν τὴν ἰδίαν οὐσίαν μεταξὺ τῶν παίδων διελεῖν βουληθείη, τοῦ οἰκείου αὐτοῦ προσώπου τοῖς παισὶ συναριθμουμένου ἓν ἑαυτῷ μέρος πᾶσι τρόποις παρακρατείτω, ὀφεῖλον τῷ δικαίῳ τοῦ μοναστηρίου διαφέρειν. εἰ δὲ ἐν τῷ μοναστηρίῳ διάγων τελευτήσοι πρὶν μεταξὺ τῶν οἰκείων παίδων τὰ ἴδια διανείμῃ πράγματα, τὸ μὲν νόμιμον μέρος οἱ παῖδες λήψονται, τὸ δὲ λοιπὸν τῆς οὐσίας τῷ μοναστηρίῳ διαφερέτω.*

λθ'. Μνηστείας δὲ μεταξύ τινων κατὰ τὸν νόμον γινομένης, εἴτε ὁ μνηστὴρ εἰς μοναστήριον εἰσέλθῃ, ἀναλαμβανέτω τὰ ὑπὲρ τῆς μνηστείας ἀῤῥαβώνων ὀνόματι δεδομένα, εἴτε ἡ μνηστὴ τὸν μοναχικὸν βίον ἐπιλέξηται, ἐκεῖνα μόνον ἀποδιδότω ἅτινα ὁμοίως ἀῤῥαβώνων ὀνόματι ἔλαβε, τῆς ποινῆς ἑκατέρῳ μέρει συγχωρουμένης.

μ'. Εἰ δὲ συνεστῶτος ἔτι τοῦ γάμου ο ἀνὴρ μόνος ἢ ἡ γυνὴ μόνη εἰσέλθῃ εἰς μοναστήριον, διαλυέσθω ὁ γάμος καὶ δίχα ῥεπουδίου, μεθ' ὃ μέντοι τὸ πρόσωπον τὸ εἰσερχόμενον εἰς μοναστήριον τὸ μοναχικὸν σχῆμα λάβῃ. καὶ εἰ μὲν ὁ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξηται βίον, ἀποκαθιστάτω

76) Articulus rectius deest in Basil. quid tamen si legamus *εἴς τι μον*? 77) Ven. *ἐπὶ δ' ἑνί.* Coll. 87 capp. *μηδενί.* quod praestare crediderim.

τῇ γυναικὶ καὶ τὴν προῖκα καὶ εἴ τι ἄλλο ἀπ' αὐτῆς[78]) ἔλαβε, καὶ πρὸς τούτοις ἐκ τῆς γαμικῆς δωρεᾶς τοσοῦτον μέρος, ὅσον ἐκ τῆς τελευτῆς τοῦ ἀνδρὸς ἥρμοζε τῇ γυναικὶ κατὰ τὸ σύμφωνον τὸ τοῖς προικῴοις συμβολαίοις ἐμφερόμενον. εἰ δὲ γυνὴ εἴη ἡ εἰς τὸ μοναστήριον εἰσελθοῦσα, τὸν ὅμοιον τρόπον παρακρατείτω ὁ ἀνὴρ τὴν γαμικὴν δωρεὰν καὶ τὸν κάσσον τῆς προικὸς τὸν ἀπὸ τῆς τελευτῆς τῆς γυναικὸς συμφωνηθέντα, καὶ τὸ λοιπὸν τῆς προικὸς τῇ γυναικὶ ἀποκαθιστᾶν παρακελευόμεθα καὶ εἴ τι ἄλλο ἐκ τῶν πραγμάτων τῆς γυναικὸς παρ' αὐτῷ εὑρεθείη. ἀμφοτέρων δὲ τὸν μοναχικὸν βίον ἐπιλεγομένων, κελεύομεν, ἀργούντων τῶν προικιμαίων συμφώνων τὸν ἄνδρα παρακρατεῖν τὴν γαμικὴν δωρεάν, καὶ τὴν γυναῖκα τὴν ἰδίαν λαμβάνειν προῖκα καὶ εἴ τι ἄλλο τῷ ἀνδρὶ δεδωκέναι δειχθείη, ἵνα εἷς ἕκαστος δίχα ζημίας τῶν ἰδίων ἀπολαύσῃ πραγμάτων, εἰ μὴ ὡς εἰκὸς ὁ μνηστὴρ τῇ μνηστῇ[79]) ἢ ἡ μνηστὴ τῷ μνηστῆρι ἢ ὁ ἀνὴρ τῇ γυναικὶ ἢ ἡ γυνὴ τῷ ἀνδρὶ δωρήσασθαί τι ἢ συγχωρῆσαι βουληθείη.

μα'. Οὐδεμίαν δὲ ἄδειαν δίδομεν ἢ τοῖς γονεῦσι τοὺς παῖδας ἢ τοῖς παισὶ τοὺς γονέας τὴν κοσμικὴν διαγωγὴν καταλιμπάνοντας ὡς ἀχαρίστους ἀποκλείειν τῆς ἰδίας κληρονομίας ὑπὲρ αἰτίας πρὸ τοῦ μοναχικοῦ βίου παρακολουθησάσης. ἀπαγορεύομεν δὲ καὶ τοῖς γονεῦσι τοὺς ἰδίους παῖδας μοναχικὸν βίον ἐπιλεγομένους τῶν εὐαγῶν μοναστηρίων ἀφέλκειν.

μβ'. Ἐὰν μοναχὸς καταλείψῃ τὸ ἴδιον μοναστήριον καὶ εἰς ἄλλο εἰσέλθῃ, εἴτινα πράγματα ἐν τῷ καιρῷ καθ' ὃν τὸ μοναστήριον καταλέλοιπεν ἔχων φανείη, τῷ πρώτῳ μοναστηρίῳ ἐν ᾧ ἐξ ἀρχῆς εἰσῆλθε ταῦτα διαφέρειν κελεύομεν. προνοεῖν δὲ τοὺς ὁσιωτάτους τῶν τόπων ἐπισκόπους,

78) Coll. cit. παρ' αὐτῆς. non male. 79) Ven. τὴν μνηστήν.

ἵνα μήτε μοναχοὶ μήτε μονάστριαι εἰς τὰς πόλεις περιέρχωνται, ἀλλ' εἴ τινα ἀναγκαίαν ἀπόκρισιν ἔχοιεν, διὰ τῶν ἰδίων ἀποκρισιαρίων ταύτην πραττέτωσαν ἐν τοῖς ἰδίοις αὐτοὶ μένοντες μοναστηρίοις. ἐὰν μοναχὸς καταλείψῃ τὸ μοναστήριον καὶ εἰς κοσμικὸν βίον μετέλθῃ, τοῦτον τῆς στρατείας καὶ τῆς τιμῆς εἴ τινα[80]) *ἔχει πρῶτον γυμνωθέντα ἐκ τοῦ ἐπισκόπου τῶν τόπων καὶ τοῦ τῆς ἐπαρχίας ἄρχοντος εἰς μοναστήριον βάλλεσθαι, καὶ τὰ πράγματα, ὅσα μετὰ ταῦτα ἔχειν δειχθείη, τῷ μοναστηρίῳ ἐν ᾧ ἐμβάλλεται διαφέρειν. εἰ δὲ καὶ πάλιν καταλείψει τὸ μαναστήριον, τότε αὐτὸν ὁ ἄρχων τῆς ἐπαρχίας ἐν ᾗ ἂν εὑρεθῇ κρατείτω καὶ τῇ ὑποκειμένῃ αὐτῷ τάξει συναριθμείτω.*

μγ'. Εἴ τις ἁρπάσει ἢ ὑπονοθεύσει ἢ διαφθείρῃ ἀσκήτριαν ἢ διακόνισσαν ἢ μονάστριαν ἢ ἄλλην οἱανοῦν γυναῖκα εὐλαβῆ βίον ἢ σχῆμα ἔχουσαν, τὰ τούτου πράγματα καὶ τῶν τοῦ τοιούτου μύσους αὐτῷ μετασχόντων κελεύομεν τῷ εὐαγεῖ τόπῳ, ἐν ᾧ ἡ τοιαύτη γυνὴ ᾤκει, διὰ τῶν κατὰ τόπον ὁσιωτάτων ἐπισκόπων καὶ τῶν οἰκονόμων αὐτῶν, οὐ μὴν ἀλλὰ καὶ τῶν ἑκάστης ἐπαρχίας ἀρχόντων καὶ τῶν αὐτῶν τάξεων ἐκδικεῖσθαι, τοὺς δὲ τὰ τοιαῦτα πλημμελήσαντας καὶ τοὺς μετασχόντας αὐτῶν τὸν εἰς κεφαλὴν κίνδυνον ὑπομένειν, τὴν δὲ τοιαύτην γυναῖκα πανταχοῦ ἀναζητεῖσθαι καὶ μετὰ τῶν ἰδίων πραγμάτων ἐν μοναστηρίῳ ἐμβάλλεσθαι, ἐν ᾧ ἀσφαλέστερον φυλάττεσθαι δύναται, ἵνα μὴ καὶ πάλιν ἐν τῷ αὐτῷ ἐγκλήματι εὑρεθείη. εἰ μέντοιγε διακόνισσα εἴη καὶ παῖδας ἔχει νομίμους, τὸ νόμιμον μέρος δίδοσθαι τοῖς παισίν. εἰ δὲ εἴσω ἑνὸς ἐνιαυτοῦ μετὰ τὸ γνωσθῆναι τὸ τοιοῦτο μῦσος τὰ τοιαῦτα πράγματα παρὰ τῶν εὐαγῶν οἴκων

80) Ven. *εἶτα ὧν ἔχει γυμνωθέντα.* quae lectio defendi potest ratione habita eorum quae sequuntur *ὅσα μετὰ ταῦτα ἔχειν δειχθείη.* cf. const. XIII c. 6. praestat tamen reliquorum lectionem sequi, apud quos eiusmodi interpretationis ne vestigium quidem animadvertitur.

μὴ ἐκδικηθείη, κελεύομεν πᾶσι τρόποις τὸν κόμητα τῶν πριβάτων τῷ ἡμετέρῳ φίσκῳ ταῦτα προσκυροῦν, τοῦ τῶν τόπων ἄρχοντος τοῦ ἀμελήσαντος τὰ αὐτὰ πράγματα ἐκδικηθῆναι τῆς ζώνης ἀφαιρουμένου καὶ πρόστιμον ε´ χρυσίου λίτρας ὑπὸ τοῦ κόμητος τῶν πριβάτων εἰσπραττομένου.

μδ´. Πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικῷ[81]) ἀναστρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις ἀνδράσι τε καὶ γυναιξί, καὶ μὴν καὶ ταῖς προϊσταμέναις ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ ἢ μοναστρίας[82]) ἢ ἀσκητρίας ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι, ἐπισταμένων πάντων τῶν τολμώντων ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι ἢ μιμήσασθαι ἢ ἐμπαῖξαι εἰς οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται καὶ ἐξορίᾳ παραδοθήσονται. προνοούντων τοῦ τοιούτου οὐ μόνον τῶν κατὰ τόπον ὁσιωτάτων ἐπισκόπων καὶ τῶν ὑπ᾽ αὐτοὺς κληρικῶν, ἀλλὰ καὶ τῶν πολιτικῶν καὶ τῶν[83]) στρατιωτικῶν ἀρχόντων, καὶ τῶν ὑπ᾽ αὐτοὺς τάξεων, καὶ τῶν κατὰ τόπον ἐκδίκων. τὰς δὲ ποινὰς τὰς τῷ παρόντι νόμῳ ἐγκειμένας, αἵτινες καὶ τοῖς προτέροις νόμοις εἰσὶν ἐγνωσμέναι, οὐ μόνον ἐν τοῖς μέλλουσιν, ἀλλὰ καὶ ἐν τοῖς προλαβοῦσι θέμασιν ἤτοι ἁμαρτήμασι κρατεῖν καὶ πᾶσι τρόποις ἐκδικεῖσθαι θεσπίζομεν· τὰ δὲ διὰ τοῦ παρόντος νόμου νεωστὶ διατυπωθέντα ἐπὶ μόνοις τοῖς μέλλουσι χρόνοις παραφυλάττεσθαι κελεύομεν.[84])

Ἡ σὴ τοίνυν ἐνδοξότης ἅτινα διὰ τοῦ παρόντος νόμου τοῦ εἰς τὸ διηνεκὲς ἰσχύσοντος ἡ ἡμετέρα ἐθέσπισε γαληνότης κατὰ πάντα φυλαχθῆναι προνοησάτω καὶ εἰς τὴν ἁπάντων γνῶσιν κατὰ ταύτην τὴν βασιλίδα πόλιν προτιθε-

81) Hal. addit *βίῳ*. 82) Ven. *ἢ μοναστρίας* omittit. 83) Articulus abest ab Hal. et Coll. cit. fortasse rectius. 84) Hal. hic addit ex const. CLXXIV c. 6 ultimam periodum nec non epilogum.

μένων ἰδίκτων ἀγάγοι. Dat. K. Maii Constant. imp. DN. Iust. PP. Aug. [anno XX post] Basilii V. C. cons. anno V ind. IX. *κατεπέμφθη Πέτρῳ ἐπάρχῳ πραιτωρίων.*[85])

Nov. 126.

CLVI.

Summae: Iulian. c. 113, Athan. VII, 6, Theod. Nov. 126, *αἱ ῥοπαί* 11, 6. — Inscriptionem nec Ven. nec Flor. habet. Hal. ex coniectura uti videtur: *ὁ αὐτὸς βασιλεὺς πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν πραιτωρίων.* Aliter Athanasius: *ὁ αὐτὸς βασιλεὺς θεοδότῳ ἐπάρχῳ πραιτωρίων*, quam inscriptionem recipiendam esse crediderim.

Ἴσον θείου νόμου περὶ ἐκκλήτων.[1])

Θεοδόσιος καὶ Οὐαλεντινιανὸς οἱ τῆς θείας λήξεως νόμῳ[2]) *διετύπωσαν, φανερὰς ἐκκλήτων ὑποθέσεις τὸν κοιαίστωρα τοῦ θείου παλατίου ἅμα τῷ ὑπάρχῳ τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων τῷ κατὰ καιρὸν τὸν θρόνον τῆς σῆς ὑπεροχῆς διέποντι κατὰ τὸ σχῆμα τῶν σάκρων ἐξετάζειν. εὕρομεν δὲ ἐν ταῖς τοιαύταις ἐξετάσεσι πρᾶγμα γίνεσθαι καὶ τῆς πολιτείας καὶ αὐτῆς τῆς βασιλείας ἀνάξιον. οἱ γὰρ δικαζόμενοι καὶ οἱ ἐντολεῖς καὶ οἱ τούτων συνήγοροι καὶ πάντες οἱ ἐν ταῖς τοιαύταις ὑποθέσεσιν ὑπηρετοῦντες ὡς ἡμῶν αὐτῶν καθημένων καὶ ἀκροωμένων τοῦτο μὲν ἐσθῆτι τοῦτο δὲ ὑποδήμασι καὶ ῥήμασι παρὰ τοῖς ἡμετέροις ἄρχουσιν ἐκέχρηντο, οἷς μόνοις κεχρῆσθαι προσήκει τοὺς πρὸς τὴν βασιλείαν εἰσιόντας· ἀλλὰ καὶ αὐτοὶ οἱ δικασταὶ οὐκ ἐξ ἰδίου προσώπου, ἀλλ' ὡς ἡμῶν αὐτῶν παρόντων καὶ διαλαλούντων τὰς οἰκείας προέφερον ψήφους.*

α'. Ὅπερ τοῦ λοιποῦ ἐν οἱῳδήποτε δικαστηρίῳ γίνεσθαι κωλύομεν, θεσπίζοντες τὸν μὲν κατὰ καιρὸν κοιαίστωρα

85) Quae Ven. non habet, addo ex Iul. Coll. 87 cap. et Athan.

1) Flor. addit *ἡ ὅλη νεαρὰ* scil. inserta est in Basil. IX, 2, 9.

2) l. 32 C. de appellat. cf. etiam c. XL c. 4.

τοῦ θείου ἡμῶν παλατίου ἅμα τῇ αὐτοῦ ὑπεροχῇ[3]) ἤτοι τῷ κατὰ καιρὸν ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὰς τοιαύτας ὑποθέσεις ἐξετάζειν, μὴ ἐξ ἡμετέρου δὲ, ἀλλ' ἐξ ἰδίων προσώπων τὰς διαλαλιὰς προφέρειν καὶ νόμοις ἐγνωσμένην διδόναι ψῆφον, τῶν εἰωθότων δηλαδὴ σκρινίων ἐν ταῖς τοιαύταις διαίταις τὴν ἰδίαν παρεχόντων ὑπηρεσίαν[4]), καὶ εἰδότων τῶν ἀρχόντων τῶν τὰς τοιαύτας δίκας κρινόντων, ὡς εἴ τι παρὰ ταῦτα τοῦ λοιποῦ καθ' οἱονδήποτε τρόπον πλημμεληθείη, τῷ τῆς καθοσιώσεως ἐγκλήματι ὑποκείσονται.

β'. Ἐν πάσαις δὲ ταῖς ἐκκλήτοις τοῦτο κρατεῖν κελεύομεν, ἵνα ὁσάκις ἐκκλήτου γινομένης ἐντὸς τοῦ ὡρισμένου χρόνου ἑκάτερον μέρος τὴν κυρίαν ἡμέραν παραφυλάττει[5]), ἀνυπερθέτως οἱ δικασταὶ τοῦτο μὲν τὰ πεπραγμένα τοῦτο δὲ τὰ κεκριμένα ἐξετάζειν σπουδάσωσι, καὶ μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ψῆφον διδόναι. εἰ δὲ μόνος ὁ ἐκκαλεσάμενος εἰσέλθοι, κελεύομεν τοὺς δικαστὰς ἀναμένειν μέχρι τῆς τελευταίας κυρίας, καὶ εἰ ἀναζητηθεὶς ὁ νικήσας μὴ εὑρεθείη, ἐξεταζομένων τῶν πεπραγμένων νόμιμον δοῦναι πέρας. εἰ δὲ μόνος ὁ τὴν νικητικὴν ψῆφον λαβὼν εἰσέλθοι, καὶ ἐπιζητηθεὶς ὁ ἐκκαλούμενος μὴ εὑρεθείη, ἀναμένειν τοὺς δικαστὰς μὴ μόνον τὴν τελευταίαν κυρίαν, ἀλλὰ καὶ τὸν τῆς reparationos[7]) χρόνον τουτέστι τοὺς τρεῖς μῆνας. καὶ εἰ μηδὲ τηνικαῦτα ὁ ἐκκαλούμενος εὑρεθείη, μηκέτι τῇ τοῦ χρόνου παραδρομῇ κυροῦσθαι τὴν ψῆφον[8]), ἀλλὰ καὶ ἐκ μιᾶς μοίρας τοὺς δικαστὰς ἐξετάζειν τοῦτο μὲν τὰ πεπραγμένα τοῦτο δὲ τὰ κεκριμένα, καὶ εἰ μὲν ὀρθῶς τὴν ψῆφον δεδομένην εὕροιεν, ταύτην βεβαιοῦν, εἰ δέ τι παρῶπται,

3) Legerim τῇ σαυτοῦ ὑπεροχῇ. ita crediderim scriptum fuisse in exemplari ad Praef. Praet. directo, in altero autem ad quaestorem misso ἅμα τῷ κατὰ καιρὸν ὑπάρχῳ. 4) Cf. c. XLVI. 5) Ven. παραφυλάττειν. Flor. παραφυλάττῃ. Basil. (Cod. Coisl.) παραφυλάττοι. 6) Articulum Ven. et Flor. omittunt. Basil. ὁ ἐκκαλεσάμενος. 7) Ven. inter lineas et Flor. τὸν τοῦ εὐτρεπισμοῦ. 8) Cf. c. LXV c. 1.

τοῦτο διορθοῦσθαι καὶ νόμιμον διδόναι ψῆφον. ἅπαξ δὲ τῆς ἐφεσίμου δίκης ἐν ταῖς ἐμπροθέσμοις ἡμέραις εἴτε παρ' ἑκατέρου μέρους εἴτε παρὰ τοῦ ἑνὸς εἰσαχθείσης μηκέτι τῇ τοῦ διετοῦς χρόνου παραδρομῇ τοῦ λοιποῦ βεβαιοῦσθαι τὴν ψῆφον, ἀλλὰ τῆς ἀληθείας καὶ τοῦ δικαίου σκοπουμένου πέρας ταῖς τοιαύταις ὑποθέσεσι δίδοσθαι νόμιμον, εἴτε τοῦ ἑνὸς εἴτε ἑκατέρου μέρους παρόντος. καὶ διὰ τοῦτο κελεύομεν ἐν ταῖς τοιαύταις ὑποθέσεσι μηκέτι (καθὰ μέχρι τοῦ παρόντος ἐκράτει) εἰς τὴν πρώτην ἔκκλητον πάσας τὰς διαγνώσεις ἀναφέρεσθαι, ἀλλὰ μίαν ἑκάστην τὴν ἰδίαν ἡμέραν ἔχειν προγεγραμμένην.

γ'. Πρὸς τούτοις θεσπίζομεν[9]*, ὥστε πάντας τοὺς δικαστὰς τὴν μὲν ἔκκλητον ταῖς διωρισμέναις ἡμέραις προσαγομένην καὶ τοῖς νόμοις οὐκ ἀπηγορευμένην παντὶ τρόπῳ δέχεσθαι, ἐντὸς δὲ λ' ἡμερῶν μετὰ τὸ ἐπιδοθῆναι τὴν ἔκκλητον τὰ πεπραγμένα μετὰ τῆς ἰδίας ὑπογραφῆς παρέχειν τοῖς δικαζομένοις, ἵνα ἐκεῖνοι ὑπὲρ ἰδίας βοηθείας τῷ ἁρμοδίῳ ἄρχοντι ταύτην δυνήσονται ἐμφανίζειν. εἰ δέ τις τῶν δικαστῶν τοῦτο ποιῆσαι ὑπέρθοιτο*[10]*, ἡ μὲν ψῆφος τῇ τοῦ χρόνου παραδρομῇ βεβαιωθήσεται, αὐτὸς δὲ ὁ δικαστὴς ὁ ταῦτα μὴ παραφυλάξας καὶ οἱ τούτῳ ὑπηρετοῦντες πᾶσαν ζημίαν, ἣν ὑπομείνῃ*[11]*ὁ δικαζόμενος διὰ τὸ μὴ δοθῆναι αὐτῷ τὰ πεπραγμένα, ἐκ τῶν ἰδίων οὐσιῶν ἀποδοῦναι αὐτῷ ἀναγκασθήσονται, καὶ ἀνὰ δέκα χρυσίου λιτρῶν ποινὴν καταβαλοῦσι τοῖς ἡμετέροις εἰσκομισθησομένην πριβάτοις.*

Ἡ ἔνδοξος[12]*τοίνυν καὶ μεγαλοφυὴς αὐθεντία σοῦ τὸν παρόντα νόμον καὶ ἐν ταύτῃ τῇ βασιλίδι πόλει προθεῖναι σπευσάτω, ἵνα πάντες γινώσκωσι, τί ὀφείλουσι παραφυλάττειν.* Dat. [. . . . imp. DN. Iustiniani PP. Aug. anno XX post cons. Basilii v. c. anno V.][13]

9) Cf. c. CLXVI. 10) Flor. *ὑπέρθηται.* 11) Flor. *ὑπομένοι.* 12) Flor. *ἐνδοξότης.* 13) Subscriptionem solus praestat Theodorus, ex quo restitui quae uncis inclusa sunt.

Auth. 120. CLVII. Nov. 127.

Apud Hal. desideratur: ibi enim constitutionibus XLVIII. CXLIV et CXLVI immixta est. cf. Basil. XXIX, 4, 1. XXVIII, 12, 1. — Summae: Iulian. c. 114, Athan. IX, 12, Theod. Nov. 127, Anon. th. 445—447 (cf. Ἀνέκδ. mea p. 210), incerti epitomatoris (cf. ibid. p. 219).

Περὶ ἀδελφοπαίδων κληρονομούντων ἅμα τοῖς ἀνιοῦσι καὶ περὶ ἑτέρων κεφαλαίων.

Ὁ αὐτὸς βασιλεὺς Βάσσῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων.[1])

Τοὺς ἡμετέρους νόμους ἐπανορθοῦν ἡμεῖς οὐκ ὀκνοῦμεν, πανταχοῦ τὸ συμφέρον τοῖς ὑπηκόοις εὑρίσκειν βουλόμενοι. μεμνήμεθα τοίνυν γράψαντες νόμον[2]) δι' οὗ παρεκελευσάμεθα, ἵνα εἴ τις τελευτήσοι καταλιπὼν ἀδελφοὺς καὶ παῖδας ἑτέρου προτελευτήσαντος ἀδελφοῦ, παῖδες[3]) πρὸς τὴν κληρονομίαν καλοῦνται τὴν πατρῴαν ὑπεισιόντες τάξιν καὶ τὴν ἐκείνου κομιζόμενοι μοῖραν. εἰ δὲ ὁ τελευτήσας καταλίποι τῶν ἀνιόντων τινὰ καὶ ἀδελφοὺς ἐξ ἑκατέρων γονέων συναπτομένους αὐτῷ καὶ παῖδας ἐκ προτελευτήσαντος ἀδελφοῦ, τοὺς μὲν ἀδελφοὺς ἐκελεύσαμεν διὰ τοῦ αὐτοῦ νόμου μετὰ τῶν γονέων καλεῖσθαι, τοὺς δὲ ἀδελφόπαιδας ἀπεκλείσαμεν.

α'. Ταῦτα τοίνυν δικαίως ἐπανορθοῦντες θεσπίζομεν, ἵνα εἴ τις τελευτήσας καταλείψει τῶν ἀνιόντων τινὰ καὶ ἀδελφοὺς δυναμένους μετὰ τῶν γονέων καλεῖσθαι καὶ ἑτέρου ἀδελφοῦ προτελευτήσαντος παῖδας, μετὰ τῶν ἀνιόντων καὶ τῶν ἀδελφῶν καλῶνται καὶ οἱ τοῦ προτελευτήσαντος ἀδελ-

legitur autem apud illum: *ἐξεφωνήθη τῷ κ' ἔτει τῆς βασιλείας ἰουστινιανοῦ μετὰ ὑπατείαν βασιλείου.*

1) Apud Ath. inscribitur *Θεοδότῳ ἐπάρχῳ πραιτωρίων.* 2) Const. CXLIII. 3) *καθ' ὁμοιότητα τῶν ἀδελφῶν καὶ οἱ τοῦ προτελευτήσαντος ἀδελφοῦ παῖδες?* certe *παῖδες* sine articulo vix tuleris. Auth.: ad similitudinem fratrum et praemortui fratris.

φοῦ παῖδες, καὶ τοσαύτην λαμβάνωσι μοῖραν, ὅσην ἔμελλεν ὁ αὐτῶν πατὴρ κομίζεσθαι εἰ περιῆν. ταῦτα δὲ θεσπίζομεν περὶ ἐκείνων τῶν ἀδελφοπαίδων, ὧν ὁ πατὴρ ἐξ ἑκατέρου γονέως συνήπτετο τῷ τελευτήσαντι, καὶ ἁπλῶς εἰπεῖν οἵαν αὐτοῖς δεδώκαμεν τάξιν ὅτε μετὰ μόνων καλοῦνται τῶν ἀδελφῶν, ταύτην αὐτοὺς ἔχειν κελεύομεν καὶ ὅτε μετὰ τῶν ἀδελφῶν καλοῦνται τῶν ἀνιόντων τινὲς πρὸς τὸν κλῆρον.[4])

β΄. Κἀκεῖνό γε μὴν ἄξιον ἐπανορθώσεώς τινος εἶναι νομίζοντες, μέρος αὐτὸ τοῦ παρόντος ποιούμεθα νόμου. ἐξ αὐτῆς γὰρ τῆς τῶν πραγμάτων εὑρίσκοντες πείρας ἀναγκαῖον εἶναι ταῖς γυναιξὶ πραττομένων ὑπομνημάτων τὰς πρὸ τῶν γάμων δωρεὰς ἐμφανίζεσθαι, ἵνα κἂν εἰ τῶν πρωτοτύπων συμβολαίων ἐκπέσοιεν, πρόχειρον[5]) *διὰ τῶν ὑπομνημάτων αὐταῖς αἱ περὶ τοῦ γάμου συστάσεις ὑπάρχοιεν, θεσπίζομεν, ἀνάγκην ἔχειν τοὺς ἄνδρας αὐτοὺς ἢ καὶ τοὺς ὑπὲρ αὐτῶν πρὸ γάμου ἤτοι διὰ γάμον δωρεὰς καταγράφοντας, ἐὰν φ΄ χρυσῶν ὑπερβαίνῃ ποσότητα, ἐμφανίζειν ταύτην πραττομένων ὑπομνημάτων ἐπὶ μὲν τῆς βασιλίδος πόλεως παρὰ τῷ μαγίστρῳ τῶν κήνσων, ἐν δὲ ταῖς ἐπαρχίαις παρὰ τῷ τῆς πόλεως ἑκάστης ἐκδίκῳ ἢ παρ᾽ οἷς ὅλως τὰ τοιαῦτα ὑπομνήματα συνίστασθαι δύναται. εἰ δὲ μὴ ἐμφανίσουσι ταύτας, ὅσον μὲν πρὸς τὸ μέρος τῆς γυναικὸς καὶ οὕτως αὐτὰς ἐῤῥῶσθαι κελεύομεν, καὶ εἰ καιρὸς γένηται τῆς ἀπαιτήσεως τῆς δωρεᾶς*[6]) *ἢ καὶ μέρους αὐτῆς, μὴ ἀντικεῖσθαι τῇ γυναικὶ τὸ μὴ ἐμφανισθῆναι τὴν δωρεάν. εἰ δὲ τὰ τῶν προικῴων σύμφωνα*

4) Ath. addit *τούτου κρατοῦντος ἀπὸ καλανδῶν ἰανουαρίων τῆς ια΄ ἐπινεμήσεως*. similiter Auth.: hoc iubentes ex Kalendis Ianuariis praesentis indictionis undecimae. itaque aliquid videtur excidisse. 5) Scr. Hal. et Bas. *πρόχειροι*. sed lectionem Codicis Ven. firmare videtur interpretatio in Auth. 6) Ven. *τῆς ἀπ. ὑμῖν δωρεᾶς*. ex Hal. et Bas. reposui *τῆς*. sed Iulian.: ante nuptias donatio sive ex toto sive ex parte secundum quod casus tulerit. Athan.: *κατὰ τοὺς κάσους*. proinde coniicere est plura in Ven. excidisse.

καὶ αἱ τούτων ἀποβάσεις τῷ μέρει τοῦ ἀνδρὸς δῷ τὴν ἀπαίτησιν τῆς προικὸς ἢ καὶ μέρους αὐτῆς, οὐδεμίαν αὐτὸν ἔχειν κελεύομεν ἀγωγὴν, ἐὰν μὴ τὴν δωρεὰν ἐνεφάνισε πραττομένων ὑπομνημάτων ὡς εἴρηται. τὸ γὰρ, τῶν ἀνδρῶν ἐχόντων ἐξουσίαν τοῦ ἐμφανίζειν τὰς δωρεὰς τὸν ὑπὲρ τοῦ μὴ ἐμφανισθῆναι κίνδυνον ταῖς γυναιξὶν ἐπικεῖσθαι, ἄτοπον ἡμῖν εἶναι δοκεῖ.

γ΄. Ἐπειδὴ δὲ καὶ τὰς γυναῖκας τὰς εἰς δεύτερον γάμον οὐκ ἐρχομένας προτιμήσεώς τινος ἀξίας παρὰ τὰς δευτερογαμούσας εἶναι νομίζομεν, θεσπίζομεν εἴ τις ἀποβαλλομένη τὸν ἄνδρα ἑτέρων ἀπόσχοιτο γάμων, ἔχειν μὲν αὐτὴν τὴν χρῆσιν τῆς πρὸ γάμου δωρεᾶς, καθὰ καὶ πρότερον ἐθεσπίσαμεν, ἔχειν δὲ αὐτὴν καὶ δεσποτείας τοσοῦτον, ὅσον ἡ πρὸς τοὺς παῖδας ἀναλογία ποιεῖ, ἵνα κατὰ τὸν τῆς δεσποτείας[7]) λόγον ἑνὸς καὶ αὐτὴ παιδὸς πρόσωπον ἔχειν δοκῇ.[8]) ταῦτα δὲ κρατεῖν οὐκ ἐπὶ μητέρων μόνον κελεύομεν, ἀλλὰ καὶ ἐπὶ πατέρων καὶ τῶν ἄλλων ἀνιόντων βουλόμεθα τῶν εἰς δευτέρους γάμους οὐκ ἐρχομένων.

δ΄. Ἐπειδὴ δὲ ἀπηγορεύσαμεν πρῴην δι' ἡμετέρου νόμου[9]) τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξὶ ῥεπούδια πέμπειν καὶ διαλύειν τοὺς γάμους, πλὴν εἰ μή τίς ἐστιν αἰτία τῷ ἡμετέρῳ νόμῳ γνωριζομένη, καὶ ποινὰς τοῖς τοῦτο τολμῶσι ποιεῖν ἀνδράσι τε καὶ γυναιξὶν ἐπεθήκαμεν παραλλαγήν τινα περὶ τὰς ποινὰς τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς ποιησάμενοι, πρὸς τὸ κάλλιον τοῦτο μεταποιοῦντες θεσπίζομεν, μηδεμίαν εἶναι διαφορὰν τό γε ἐπὶ ταῖς ποιναῖς μεταξὺ ἀνδρός τε καὶ γυναικὸς τοῦτο τολμώντων, ἀλλὰ ταῖς αὐταῖς ποιναῖς ταῖς κατὰ τῶν γυναικῶν παρ' ἡμῶν ὁρισθείσαις, ἐπειδὰν χωρὶς αἰτίας τῷ ἡμετέρῳ νόμῳ γνωριζομένης τὰ συνοικέσια λύσωσι, τοὺς ἄνδρας ὑπάγεσθαι τοὺς τοῦτο τολ-

7) Verba τοσοῦτον — δεσποτείας in Ven. propter ὁμοιοτέλευτα exciderunt. 8) Ven. αὐτῇ — δοκεῖ. 9) Const. CXLI.

μῶντας, καὶ ὁμοίας εἶναι τὰς ποινὰς ἐπί τε ἀνδρὸς καὶ γυναικός. ἐπὶ γὰρ ἁμαρτήματος ἴσου παραπλησίας αὐτοῖς ἐπικεῖσθαι καὶ τὰς ποινὰς δίκαιον ἐνομίσαμεν εἶναι.

Τὸν παρόντα τοίνυν γενικὸν ἡμῶν νόμον δῆλον ἡ σὴ ἐνδοξότης ποιήσει διὰ τῶν συνειθισμένων ἰδίκτων τοῖς τε τὴν μεγάλην ταύτην οἰκοῦσι πόλιν, τοῖς τε τὰς ἐπαρχίας οἰκοῦσιν, ὥστε μηδένα τῶν πάντων τὰ ἐπὶ σωτηρίᾳ κοινῇ νενομοθετημένα παρ' ἡμῶν ἀγνοῆσαι. Dat. K.[10]) Sept. Const. DN. Iust. PP. Aug. [ann. XXII post Basilii V. C.] Cons. [ann. VII Ind. XI].[11])

Edict. 8. CLVIII. **Auth. 121.**

Περὶ τοῦ βικαρίου τῆς Ποντικῆς.

Ὁ αὐτὸς βασιλεὺς Βάσσῳ[1]) *τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων.*

Ἡμεῖς μὲν ἀρκεῖν τὰς πολιτικὰς ἀρχὰς ταῖς κατὰ τὴν Ποντικὴν διοίκησιν ἐπαρχίαις νομίσαντες, τὸν ἄνωθεν ἐπινενοημένον κατ' ἐκείνους τοὺς τόπους βικάριον κατὰ τὸν ἐν μέσῳ τοῦτον ἐπέσχομεν[2]) *χρόνον, οὐδὲν τῶν ὕστερον γενομένων παρ' αὐτῶν ἁμαρτηθήσεσθαι προσδοκήσαντες. ἀλλ' ἐπείπερ ἐξ αὐτῶν ἔγνωμεν τῶν πραγμάτων, ὡς ἄνδρες*

10) Ven. V K. *Iulian.:* Dat. Kal. Sept. *Athan.: καλ. ἰουλ. Theod. μηνὶ ἰανουαρίῳ.* Theodori lectio explicatur ex his quae not. 4 dicta sunt. praeterea lectionem V K. Sept. reiiciendam esse ex eo colligitur, quod in Auth. *praesens* indictio XI vocatur, quae demum Kal. Sept. initium sumsit. 11) Subscriptioni quam Ven. habet ea quae uncis inclusa sunt, ex Iul. Ath. Theod. addo.

1) Auth. inscribit Eugenio PP. quem praefectum agnoscunt Eparchica in *Ἀνεκδότ.* meis p. 261. apud Theophan. ed. Paris. p. 199 anno XXXIV imp. Iustiniani ex praefecto vocatur. 2) Const. XVI c. 3.

οἰκοῦσι τὰς ἐπαρχίας ταύτας λῃστείαις τε καὶ φόνοις ἐντεθραμμένοι καὶ ἄνδρας ὅπλα φοροῦντας ἀεὶ συναθροίζοντες καὶ κατ' ἀλλήλων χρώμενοι[3]) τούτοις, διαφεύγουσί τε τὰς ὑπὲρ τούτων ποινὰς τῷ τὰς ἐπαρχίας ἀμείβειν ἐν αἷς ἁμαρτήσουσιν, οὐδενὸς τῶν ἐπιχωρίων ἀρχόντων τὴν ἐπιδεδομένην χώραν ἐκβαίνειν τολμῶντος, ὡς πολλάκις μὲν ἡμᾶς ἄνδρας ἐκπέμψαι κατὰ τὴν χώραν καὶ βαρῦναι μισθοῖς τὸ δημόσιον, πρᾶξαι δὲ πλέον οὐδὲν μὴ παρούσης ἀρχῆς τῆς ἐξ ἑτοίμου βοηθούσης καὶ τὰ τοιαῦτα τῶν ἀτοπημάτων ἀναστελλούσης,

α΄. συνείδομεν ἀνακαλέσασθαι τὴν τοῦ βικαρίου πάλιν ἀρχὴν, καὶ τὸν μὲν τῆς Γαλατίας πρώτης ἄρχοντα μηδὲν ἕτερον ἢ πολιτικὸν ἄρχοντα[4]), καθὰ πρότερον ἦν πρὶν ἡμεῖς τὴν τοῦ βικαρίου περιελόντες[5]) ἀρχὴν ἀξίᾳ τε καὶ σιτήσει μείζονι τὸν ἐπὶ τῆς πρώτης Γαλατίας ἐτιμήσαμεν ἄρχοντα, τὸν βικάριον δὲ πάλιν ἐπιστῆσαι πάσαις ταῖς τῆς Ποντικῆς διοικήσεως ἐπαρχίαις, ὥστε αὐτὸν τὸν τόπον πληροῦν [οὐ][6]) τῆς ἐπαρχότητος μόνης, ἀλλὰ καὶ τοῦ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ἡμῶν ὀφφικίων, καὶ πρός γε τῶν ἐνδοξοτάτων στρατηγῶν· ἔτι γε καὶ τῶν μεγαλοπρεπεστάτων ἀρχόντων, οἳ τῷ θείῳ ἡμῶν πατριμονίῳ καὶ τῷ ταμιείῳ γε μὴν καὶ πρός γε δομεστίκοις μὲν καὶ προτίκτωρσι ἐφεστᾶσι· καὶ τοιαύτην ἔχειν ἄδειάν τε καὶ ἐξουσίαν, ὁποίαν αὐτοὺς[6a]) τοὺς ἄρχοντας δι' ἑαυτῶν γινομένους ἐπὶ τῶν τόπων ἔχειν συνέβαινεν· ὥστε μηδὲ ἀξίᾳ μηδὲ ἱερωσύνῃ μηδὲ ζώνῃ μηδὲ στρατείᾳ μηδέ τινι τῶν πάντων ἑτέρῳ τῆς δικαιοδοσίας ταύτης ἐξῃρῆσθαί τινα, ἀλλὰ πάντας ὑποκεῖσθαι κατὰ τὸν ὅμοιον τρόπον, εἴτε ἐν ἰδιώταις τελοῖεν εἴτε τινὰ περιβέβληνται ζώνην ἢ ἀξίαν ἢ στρατηγίαν ἢ καὶ ἱερωσύνην· καὶ οὐκ ἐπὶ μόνοις ἐγκλη-

3) Cod. Ven. verba καὶ φόνοις ἐντεθ . . | μμένοι καὶ ἄνδρας . . . . | φοροῦντας ἀεὶ . . . . | θροίζοντες καὶ κ . . . . . | λων χρώμενοι ad marginem supplet. 4) Supple εἶναι. 5) Ven. περιελθόντες. 6) Negationem non habet Cod. Scrimgerus μὴ τὸν τόπον scribere maluit. 6a) τούτους? vel τοὺς αὐτούς?

μασιν (οὐ γὰρ μόνον στρατιωτικὸν τὸν ἄρχοντα τοῦτον ποιοῦμεν), ἀλλὰ καὶ εἴ τις ὑπὲρ χρημάτων ἐθελήσοι μέμψασθαι· κοινὴν γὰρ τὴν ἀρχὴν ταύτην πᾶσί τε προσώποις καὶ παντοίοις πράγμασι ποιοῦμεν. [§. α΄.] ἀποδίδομεν δὲ αὐτῇ καὶ ὃ πρῴην εἶχε θεῖον ἀκροατήριον, ὥστε τὰς ἄχρι πεντακοσίων χρυσῶν ὑποθέσεις ἀναρτωμένας ἐκκλήτῳ κατά τινα τῆς Ποντικῆς διοικήσεως ἐπαρχίαν μὴ κατὰ ταύτην ἄγεσθαι τὴν εὐδαίμονα πόλιν, ἀλλὰ παρ' αὐτῷ κατὰ τὸ τῶν σάκρων ἐξετάζεσθαι σχῆμα, εἴτε ἐξ αὐτῆς τῆς τῶν πολιτικῶν ἀρχόντων ἐκινήθησαν δικαιολογίας εἴτε ἐκ ψήφων τινὸς τῶν ἐπὶ ταύτης τῆς μεγάλης πόλεως ἀρχόντων ἢ καὶ ἐξ ἡμετέρας κελεύσεως· οὐδενὶ παῤῥησίαν διδόντες, ἐπειδὰν ἐκκληθεῖσα δίκη κινοῖτο, ἐφέσει δευτέρᾳ κεχρῆσθαι. εἰ μέντοιγε δίκη παρ' αὐτῷ κινηθείη πρωτότυπος, ἔφεσίς τε κατὰ ταύτης ἐπιδοθείη, προβήσεται τὰ τῶν ἐφέσεων καθὰ πρότερον πρὶν ἡμᾶς ἑνῶσαι τὴν ἀρχὴν, ὡς μηδενὸς ἐν μέσῳ γεγονότος καινοῦ. τοῦτο γὰρ δὴ καὶ ἐπὶ τῷ Γαλατίας ἡγουμένῳ κελεύομεν, ὅν γε ψιλὸν ἀποδεδώκαμεν ἄρχοντα, ὡς δὴ μηδενὸς ἐπ' αὐτῷ καινισθέντος ἐν μέσῳ.

β΄. Ἄδειαν τε τῷ βικαρίῳ τούτῳ παρέχομεν καθ' ἣν ἂν ἐπαρχίαν ἐθέλοι τῆς Ποντικῆς διοικήσεως γίνεσθαι, ἀπὸ τῆς γείτονος ταύτης ἀρξαμένῳ Βιθυνίας μέχρις Ἀρμενίων αὐτῶν καὶ Τραπεζοῦντος καὶ τῆς ἡμετέρας πολιτείας πρὸς Πέρσας ὁρίων, ὥστε αὐτὸν πρωτοτύπως μὲν τὰ μέχρι νῦν ἡμαρτημένα ταῖς προσηκούσαις μετελθεῖν τιμωρίαις (καὶ γὰρ δὴ καὶ ξίφους αὐτῷ παρέχομεν ἄδειαν), μάλιστα δὲ τοῖς στρατιώταις ἐπεξελθεῖν, εἴ τινες αὐτῶν τοὺς οἰκείους ἀπολελοιπότες τόπους τοῖς τοιούτοις ἑαυτοὺς ἐκδεδώκασιν ἀτοπήμασιν. εἴ τινα δὲ ἂν[6b]) ἐγκλήμασιν ὑποκείμενον εὕροι, τοῦτον γυμνώσει τῆς ζώνης, ὁποίανπερ ἂν ἔχων τυγχάνοι· οὐκ ἀναμένων τοῦτο δῆλον ποιῆσαι τῇ ἐφεστώσῃ ταῖς τοιαύταις στρατείαις

6b) ἄρα?

ἀρχῇ, ὡς ἅπαξ καὶ τὸν ἐκείνης τόπον πληρῶν καὶ κατὰ πάντων ἐφεξῆς ἄδειαν ἔχων. ἐφίστασθαί τε αὐτῷ παρέχομεν ἄδειαν πᾶσι τόποις τε καὶ χωρίοις, εἴτε ἁγιωτάτων ἐκκλησιῶν ἢ καὶ εὐαγῶν εἶεν μοναστηρίων, ἢ τῶν θείων ἡμῶν πριβάτων ἢ καὶ τοῦ θείου πατριμονίου ἢ καὶ τῆς ἡμετέρας οἰκίας· καὶ ἁπλῶς εἰπεῖν οὐδένα τόπον [ἔξω] τῆς αὐτοῦ δικαιοδοσίας καταλιμπάνομεν.[7])

γʹ. Ἐποπτεύσει δὲ καὶ τὰς στρατιωτικὰς παρόδους, εἰ μετὰ τῆς προσηκούσης εὐταξίας προέρχονται· καὶ εἴ τι κατ' αὐτὰς ἁμαρτανόμενον εὕροι, τοῦτο ἐπανορθώσει, τούς τε στρατιώτας σωφρονίζων αὐτοὺς, τοῖς τε ἡμετέροις ὑποτελέσι τὸ ἱκανὸν ἐφ' οἷς ἂν ἠδικημένοι τύχοιεν παρασκευάζων γενέσθαι. παῤῥησίαν τε αὐτῷ παρέχομεν καὶ ὅπλων γυμνοῦν τοὺς μὴ διά τινα στρατείας ἀνάγκην ταῦτα κτωμένους, καὶ πάντα[8]) εἰσάγειν ταῖς δημοσίαις τῆς μεγάλης ταύτης πόλεως ὁπλοθήκαις. [§. αʹ.] ἀνακόψει τε μοιχείας καὶ ἀνδροφονίας καὶ ληστείας, μάλιστα πάντων γυναικῶν ἁρπαγὰς καὶ πραγμάτων ἀφαιρέσεις, ἐφόδους τε καὶ βίας, καὶ πάντα τῶν τοιούτων ἁμαρτημάτων κατάλογον, ὡς τοῦτο μάλιστα τῆς δεδομένης αὐτῷ παρ' ἡμῶν ἀρχῆς κεφάλαιον.[9]) ἀναστελεῖ καὶ τοὺς ἀδικοῦντας, εἴτε ἱερεῖς εἴτε ἄρχοντες εἶεν, εἴτε καὶ κτήτορες ἢ καὶ ἰδιῶται τυχόν· καὶ οὐδενὶ συγχωρήσει πρᾶξαί τι τοῖς ἡμετέροις μὴ γνωριζόμενον νόμοις. [§. βʹ.] ἐπέξει[10]) δὲ καὶ τὰς τῶν δικῶν ἐξετάσεις τε καὶ κρίσεις. ἕξει δὲ ἰδίαν μὲν τάξιν, ἀνδρῶν μὲν[11]) βικαριανῶν septuaginta στρατευσαμένων διὰ θείων ἡμῶν προβατορίων, ἐξ ἐκείνου τοῦ σκρινίου παρεχομένων ἐξ οὗ καὶ πρότερον ὅτε βικάριος ἦν. ἀποδίδομεν δὲ καὶ τὰς ἡμιόνους, ὅσας πρότερον τῷ

7) Ven. ἔξω (quod pro foras, quod est in Auth. suppleo) omittit et καταλιμπάνων habet. 8) Ven. πάντας. 9) Videtur addendum esse ὄν. Auth. tamen aliud quid veluti ἡγησάμενος deesse suadet. 10) Scr. ἐφέξει. 11) Hoc μὲν abundat et Authentico non firmatur.

βικαρίῳ δεδομένας νῦν ὁ τῆς ἐπαρ[*χίας*] *ἡγούμενος ἔχει λαβὼν πρὸς τὴν αὐτοῦ ὑπηρεσίαν· ἐπεί γε ἐκείνῳ μὲν οὐδὲν ἕτερον ἢ ἄρχοντι μόνον ὄντι πολιτικῷ περιττὴ τῶν τοιούτων ἡ χρεία, τῷ δὲ περιβλέπτῳ βικαρίῳ περινοστεῖν ἀναγκαζομένῳ ἀναγκαῖα τὰ τῆς ἐντεῦθεν ὑπηρεσίας ἐστίν.* [§. *γ*′.] *ὑπακούσεται δὲ αὐτῷ πᾶσα στρατεία ὑπ' ἐκείνους οὖσα τοὺς τόπους, καὶ ὑπουργήσουσι τοῖς παρ' αὐτοῦ λεγομένοις δομέστικοί τε καὶ προτίκτωρες, σχολάριοί τε καὶ στρατιῶται· οὐ δεόμενοι προστάξεως ἀρχικῆς ἢ κελεύσεως ἡμετέρας, ἀλλ' αὐτῷ τῷ τῆς ἀρχῆς ὑπουργοῦντες δικαίῳ. ὑπουργήσουσι δὲ καθ' οὓς ἕκαστοι διάγουσι τόπους, πλὴν εἰ μή τις δικαία καὶ ἀπαραίτητος χρεία μείζονος βοηθείας δεομένη πρὸς ἀνάγκης αὐτὸν καταστήσει τοῦ καὶ ἐξ ἑτέρων τόπων εἰς ἑτέρους τόπους μεταγαγεῖν.* [§. *δ*′.] *χρήσεται δὲ κήρυκος φωνῇ καὶ λαμπάσι* quatuor *ὡς καὶ δαπάνης παρ' ἡμῶν ὑπὲρ τούτου ὁρισθείσης, καὶ τοῖς ἄλλοις ἐπισήμοις ὅσα πολιτικῆς τε καὶ στρατιωτικῆς ἐστιν ἀρχῆς. ὅθεν καὶ ἀδρεσπόνσουμ αὐτῷ κελεύομεν ὑπουργεῖν κατὰ μίμησιν τῶν ἐνδοξοτάτων ἡμῶν στρατηγῶν, δι' οὗ καὶ σωφρονιεῖ στρατιώτας εἴπου καλέσει καιρὸς, καὶ συνέξει*[12]) *πρὸς τὰς ἀναγκαίας τοῦ πράγματος ὑπουργίας. ὅσας δὲ σιτήσεις ἀφωρίσαμεν αὐτῷ τε καὶ παρέδρῳ καὶ τῇ ὑπ' αὐτὸν τάξει, καὶ ὅσας δεῖ τοῦ λοιποῦ τὸν τῆς πρώτης Γαλατίας ἡγούμενον ἔχειν ὑπὲρ αὐτοῦ τε καὶ παρέδρου καὶ τῆς πειθομένης αὐτῷ τάξεως, ὅσα τε αὐτὸν ὑπὲρ τῶν τῆς ἀρχῆς συμβόλων προσήκει παρέχειν ἢ ἐν τῷ θείῳ ἡμῶν παλατίῳ ἢ ἐν τῷ πραιτωρίῳ τῶν ἐνδοξοτάτων ὑπάρχων, διὰ τῆς ὑποτεταγμένης ἀπογραφῆς πᾶσι γενήσεται δῆλα. ταύτην ἡμεῖς τὴν ἀρχὴν τοῖς τόποις ἐκείνοις ἀποδεδώκαμεν, ὥστε τοῖς ἀδικουμένοις ἐκ προχείρου τὴν βοήθειαν εἶναι, καὶ πάντας τοὺς κατ' ἐκείνους οἰκοῦντας τοὺς τόπους ἀπηλλάχθαι μὲν*

12) Auth. videtur legisse *συνάξει*.

τῶν ἄχρι νῦν κατεχόντων αὐτοὺς δυσχερῶν, ἡσυχίας δὲ καὶ εὐνομίας ἀπολαύειν ἁπάσης, ἀρχὴν[13]) *τοῖς τόποις ἐπιστησάντων ἡμῶν πρὸς πᾶσαν ἐφεξῆς ἀδικίαν τε καὶ προνομίαν δυναμένην ἀρκεῖν.*

Ταῦτα τοίνυν δῆλα τῇ σῇ ἐνδοξότητι καταστῆσαι συνείδομεν, ὥστε αὐτὴν γινώσκουσαν τὰ περὶ τούτου νῦν ἡμῖν παραστάντα παραφυλάττειν εἰς τὸν ἔπειτα χρόνον, καὶ τὰς σιτήσεις αὐτῷ χορηγεῖν, καθὰ τῇ ὑποταγείσῃ παρ' ἡμῶν ἀπογραφῇ περιέχεται. Dat. XV. Kal.[14]) Oct. Constant. imp. DN. Iustiniano PP. Aug. anno XXII[15]) post Basil. V. C. cons. anno VII.[16])

Auth. 122. **CLIX.** Nov. 129.

Apud Hal. deest. — Summae: Iul. c. 116, Ath. III, 2, Theod. Nov. 129, Nomoc. XIV titt. 10, 8, incerti epitomatoris in *Ἀνεκδ.* meis p. 219.

Περὶ τῶν Σαμαρειτῶν[1]).

Οὐδὲν οὕτω μέγα τῶν ὑπηκόων τινὸς τῶν ἡμετέρων ἐστὶν ἁμάρτημα, ὡς μὴ τῆς ἑξῆς[2]) *ἀξιωθῆναι φιλανθρωπίας. κἂν γὰρ εἰ*[2a]) *τὰ παρ' αὐτῶν γεγονότα μισήσαντες πρὸς τὴν ὑπὲρ αὐτῶν διαναστῶμεν ἐκδίκησιν, ἀλλὰ τὸν καιρὸν θεραπεύοντες καὶ τοῖς προσήκουσι τοὺς ἁμαρτάνοντας νουθετήσαντες τρόποις πάλιν πρὸς τὴν ἡμῶν αὐτῶν φιλανθρωπίαν ἐπάνιμεν, τὸ δίκαιον τῆς ὀργῆς ἀγαθότητος καταλεαίνοντες*

13) Ven. *ἀπὸ πάσης ἀρχῆς*, quod ferri non poterat. 14) Ven.: K. XV Oct. Auth.: in Cod. Escurial. XVII K. Oct. in Cod. Pistoiensi IX K. Iun. 15) Ven. annum XXV videbatur habere, numerus autem V librario similiter numero II efformatur. Auth. in Cod. Escurialensi anno XXII, in Cod. Pistoiensi: anno XIV. Iustino v. c. cons., quo tempore Bassus non ipse PP. sed vicarius Ioannis PP. fuisse videtur. 16) Ven. anno VI, quod nec anno XXV nec anno XXII imperii convenit, ideoque emendandum fuit.

1) Inscriptionem Ven. non habet. Auth.: Addaeo PP. Athanasius: *Ὁ αὐτὸς βασιλεὺς Ἀδδαίῳ* (Leunclavius *Ἀρεοβίνδῳ*) *ἐπάρχῳ πραιτωρίων.* 2) *ἐμῆς*? 2a) *εἰ* delendum esse crediderim.

λογισμοῖς. ὁποῖον δή τι καὶ ὁ παρὼν ἡμῶν πραγματεύεται νόμος. Σαμαρείτας γὰρ πρῴην θρασυνομένους καὶ κατεπαιρομένους Χριστιανῶν καὶ πρὸς τὴν ἁπάντων ὥσπερ ἐσχάτην ἀπόνοιαν ἐξοκείλαντας[3]) πολλοῖς μὲν ἐπιτιμίοις ἐσωφρονίσαμεν, ἑνὶ δὲ μάλιστα, τῷ μήτε διαθήκας αὐτοὺς δύνασθαι γράφειν, μήτε τούτων τελευτώντων διαθήκης χωρὶς τοῖς ἐξ ἀδιαθέτου καλουμένοις συγγενέσι παραπέμπειν τὸν κλῆρον, πλὴν εἰ μὴ τοὺς πρὸς τοὺς κλήρους ἐφ᾽ ἑκατέρῳ θέματι καλουμένους τῆς ὀρθῆς τῶν Χριστιανῶν εἶναι πίστεως συμβῇ. ἀπηγορεύσαμεν δὲ αὐτοῖς καὶ ληγάτα διδόναι καὶ δωρεὰς γράφειν, ἢ τὰς ὅλως ἐκποιήσεις ἐπὶ τοῖς οἰκείοις τίθεσθαι πράγμασιν, ἐπειδὰν μὴ τῆς ὀρθοδόξου πίστεως τὸ λαμβάνον πρόσωπον εἴη. ταῦτα μὲν οὖν νόμῳ γενικῷ[4]) διαλαβόντες τηνικαῦτα μεμνήμεθα, πλὴν ἀλλ᾽ οὐ τὴν αὐτὴν ἐν τοῖς ἔργοις, ἣν[5]) ἐν τοῖς γράμμασιν ἀκρίβειαν ἐφυλάξαμεν· οὐδὲ γὰρ τὸν ἡμέτερον φίσκον οὐδέ τινα τοῦ δημοσίου μοῖραν ἑτέραν τῶν ἐκεῖθέν τι λαβεῖν ἠνεσχόμεθα, κἂν εἰ τοῦτο ῥητῶς ὁ νόμος ἐδίδου.

α΄. Νῦν δὲ δὴ πρὸς τὸ μέτριον ἐπαναχθέντας αὐτοὺς ἰδόντες, ἡμῶν τε αὐτῶν ἀνάξιον εἶναι νομίσαντες ἐπὶ τῆς αὐτῆς μένειν ὀργῆς[6]) κατὰ τῶν οὐ νοσούντων τὰ παραπλήσια[6a]), ἐνδόντες τε μάλιστα πάντων ταῖς Σεργίου τοῦ ὁσιωτάτου τῆς Καισαρέων μητροπόλεως ἐπισκόπου δικαίαις αἰτήσεσιν, ἃς ὑπὲρ αὐτῶν ἐποιήσατο (μαρτυρῶν μέντοι καλλίονας αὐτοὺς γεγονέναι, τὴν ἡσυχίαν δὲ τὴν πρὸς τὸν ἔπειτα χρόνον αὐτῶν ἐγγυώμενος), ἐπὶ τὸν παρόντα θεῖον ἡμῶν ἐληλύθαμεν νόμον, δι᾽ οὗ θεσπίζομεν, ἄδειαν εἶναι Σαμαρείτας λοιπὸν γράφειν διαθήκας καὶ τὰς σφῶν αὐτῶν διοικεῖν οὐσίας, ὡς οἵ τε[7]) ἄλλοι παρέχουσι νόμοι, διὰ δὲ[7a]) τοῦ

3) Ven. ἐξωκείλ. 4) l. 17 C. de haereticis 1, 5. 5) Ven. τήν. 6) Ven. τῆς αὐτῆς ὁρίοις, unde Scr. τοῖς αὐτοῖς ὁρίοις effecit. 6a) Auth. teste legendum τὰ πρότερα. 7) Scr. ὡσεί τε. 7a) διά τε?

παρόντος διορίζομεν, καὶ[8]) διαθηκῶν τελευτῶντας χωρὶς ἐκ τῶν ἐξ ἀδιαθέτου καλουμένων κατὰ μίμησιν κληρονομεῖσθαι τῶν ἄλλων ἀνθρώπων αὐτοὺς, πλὴν ὅσα διὰ τοῦ παρόντος ἡμεῖς μεθαρμόσομεν νόμου. καὶ δωρεὰς δὲ αὐτοῖς ἐπιτρέπομεν γράφειν καὶ ληγάτα διδόναι τε καὶ λαμβάνειν καὶ τὰ τοιαῦτα συναλλάττειν ἐπ' ἀδείας ἁπάσης. οἱ γὰρ δὴ διατίθεσθαι δεδωκότες καὶ πᾶσαν διοικεῖσθαι τὴν οὐσίαν αὐτοὺς[8a]) πῶς ἂν περὶ μερικῆς διοικήσεως δυσχεράναιμεν;

β'. Πλὴν ἀλλ' οὐ τὴν αὐτὴν ἀποδίδομεν τάξιν Χριστιανοῖς τε διαδόχοις καὶ Σαμαρείταις, πολλὴν δὲ εἰκότως τοῖς τὰ καλλίω θρησκεύουσι τὴν προνομίαν παρέχομεν. ὅθεν εἴ τις αὐτῶν διαθηκῶν τελευτήσῃ χωρὶς εἰ[9]) καὶ παῖδας τὰ πρὸς θεὸν διῃρημένους καταλίποι, μόνοι κληθήσονται πρὸς τὴν τούτου κληρονομίαν οἱ τὴν ὀρθὴν τῶν Χριστιανῶν πρεσβεύοντες πίστιν, τῶν ἄλλων ἐκκλειομένων ὅσοι τῆς αὐτῆς ἔχονται τῷ τελευτήσαντι πλάνης. ταῦτα δέ φαμεν οὐκ ἐπὶ παίδων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων συγγενῶν ἐξ ὁποίας ἂν εἶεν σειρᾶς, ὥστε τοὺς ὀρθὰ θρησκεύοντας τῶν οὐ παραπλήσια τιμώντων προτίμησιν ἔχειν, πλὴν εἰ τὸν αὐτὸν πάντες οἱ καλούμενοι βαθμὸν ἐπιγράφοιντο ἢ μίαν πρὸς τὸν κλῆρον ἔχοιεν τάξιν. οὐδὲ γὰρ δὴ τοῖς ἐκ μακροτέρου βαθμοῦ καὶ ὑπὸ τῶν ἐγγυτέρων ἐκκλειομένοις[10]), κἂν εἰ τὰ καλλίω θρησκεύοιεν, τὴν κατὰ τῶν ἐγγυτέρων προτίμησιν δίδομεν καὶ προνομίαν.

γ'. Πλὴν ἀλλ' οὐχ ὥστε καὶ ἀμεταμέλητον εἶναι τὸ πρᾶγμα τοῖς ἀποκλειομένοις ἐκ τούτου. εἰ γὰρ δὴ βουληθεῖεν καὶ μετὰ ταῦτα πρὸς τὴν ὀρθὴν τῶν Χριστιανῶν πίστιν ἐπανελθεῖν οἱ παρὰ τοῦτο τῶν κλήρων ἀποκλεισθέντες, τὰς οἰκείας ἀπολήψονται μοίρας, οὕτω καλούμενοι πρὸς τὸν κλῆρον ὡς ἂν εἰ καὶ τὴν ἀρχὴν τῆς ὀρθῆς ταύτης

8) καί in Ven. deest. 8a) αὐτοῖς? ita legere suadet Auth.
9) Ven. τελευτῶν χωρὶς ἢ καὶ. 10) Pro ἐκκλει. malim ἀποκλει. ut mox c. 3.

θρησκείας ὄντες ἐτύγχανον, μόνων στερούμενοι τῶν τοῦ μέσου χρόνου καρπῶν. εἰ δὲ καὶ διαθήκας γράψειέ τις αὐτῶν, ἐῤῥῶσθαι μὲν ταύτας τό γε ὅσον ἐπὶ τῇ θρησκείᾳ κελεύομεν. εἰ δέ γε πατὴρ ἢ καί τις τῶν ἀνιόντων ἕτερος ἢ καὶ τῶν κατιόντων ὁ τὰς διαθήκας γράφων ὑπάρχοι, εἰ μὲν πάντες ἐφεξῆς οἱ πρὸς τὸν κλῆρον καλούμενοι τῆς αὐτῆς αὐτῷ πλάνης ὑπάρχοιεν, διοικήσει τὰ περὶ τῆς οὐσίας ὡς ἂν ἐθελήσοι· εἰ δέ γε τῶν ἐκ τοῦ αὐτοῦ βαθμοῦ καλουμένων τινὲς τῆς αὐτῆς τῷ πατρὶ πλάνης ὑπάρχοιεν, τούτοις οὐ περαιτέρω καταλείψει τῶν δύο τῆς περιουσίας οὐγκιῶν, τοῦ λειπομένου πρὸς τοὺς τὰ ὀρθὰ θρησκεύοντας ἀγομένου, πλὴν εἰ μή τις τυχὸν Χριστιανοῖς ἐξ αὐτῶν καταλείψει πρεσβεῖα. φυλαττομένου κἀνταῦθα τοῖς μεταμελεῖσθαι βουλομένοις τοῦ δύνασθαι τῆς ἰσότητος ἀπολαύειν πρὸς τοὺς ἐξ ἀρχῆς Χριστιανοὺς, ὥσπερ ἐπὶ τῶν ἐξ ἀδιαθέτου φθάσαντες διωρίσαμεν. πρὸς ταύτην δὲ τὴν τάξιν τε καὶ τὴν μοῖραν καὶ de inofficioso δίδομεν ἀνιοῦσί τε καὶ κατιοῦσι τοῖς τὰ ὀρθὰ θρησκεύουσι δόγματα καὶ ἴσως ἀδικηθεῖσι κατὰ τὰς γενομένας ἐπὶ ταῖς διαθήκαις τῶν πραγμάτων διανομάς.

δ΄. Δίδομεν δὲ αὐτοῖς καὶ δωρεὰς διδόναι τε καὶ πρεσβεῖα καταλιμπάνειν, ἐλευθερίαις τε οἰκέτας τιμᾶν, συναλλάττειν τε καὶ πρὸς ἀλλήλους, οὐδὲν τοῦ πρῴην παρ' ἡμῶν τεθειμένου κωλύοντος νόμου. τὸν γὰρ ἡμέτερον φίσκον καὶ πᾶσαν ἄλλην τοῦ δημοσίου μοῖραν ἀποκλείομεν παντελῶς, οὐδεμίαν ἐξ ἐκείνου τοῦ νόμου πρὸς τοὺς αὐτῶν κλήρους ἢ τὰς αὐτῶν οὐσίας ἢ τὰ συμβόλαια μετουσίαν ἔχειν δυνάμενον. ταῦτα δέ φαμεν οὐκ ἐπὶ τοῖς μέλλουσι μόνον, ἀλλὰ γὰρ δὴ καὶ ἐπὶ τῷ φθάσαντι, ὥστε μηδὲ ὑπὲρ τῶν τηνικαῦτα γεγονότων ἢ τὸν ἡμέτερον φίσκον ἢ ἕτερον τῶν πάντων τινὰ τὰς οὐσίας πολυπραγμονεῖν τὰς αὐτῶν. οἱ γὰρ τὰ[11]) μέλλοντα φιλανθρωπευσάμενοι, πῶς ἂν περὶ τῶν παρελ-

11) Ven. τόν.

θόντων ἀκριβολογησαίμεθα; ὥστε αὐτοὺς τῆς παρούσης ἡμῶν ἠξιωμένους φιλανθρωπίας χάριτας ὁμολογεῖν θεῷ τε καὶ ἡμῖν, καὶ Σεργίῳ γε μὴν τῷ ὁσιωτάτῳ τῷ πρὸς ταύτην ἡμᾶς ὡς μάλιστα τὴν περὶ αὐτοὺς ἐκκαλεσαμένῳ φιλανθρωπίαν.

Ἡ τοίνυν σὴ ἐνδοξότης τὴν παρ' ἡμῶν εἰς αὐτοὺς ἐπιδεδειγμένην φιλανθρωπίαν διὰ τοῦ παρόντος ἡμῶν νόμου γινώσκουσα δῆλα ταῖς ἐπαρχίαις διὰ τῶν συνειθισμένων ἰδίκτων τὰ νῦν ἡμῖν παραστάντα ποιήσει, ὥστε διηνεκοῦς ταύτης αὐτοὺς ἀπολαῦσαι τῆς βοηθείας. Dat. XVII. Kal. Iul. Constantinop. DN. Iustiniani PP. Aug. ann. XXV. post Basilii V. C. Cons. ann. X.[12])

CLX.

Servata est in Codice Utinensi indeque primum edita ab Haenelio. Vide Iulian. ed. Haenel. p. 225.

[IMP.] FLAVIUS [1]) IUSTINIANUS ALAMANNICUS GOTTICUS [2]) FRANCICUS ANTICUS VANDALICUS [3]) AFFRICANUS PIUS FELIX INCLITUS VICTOR AC TRIUMPHATOR [4]) SEMPER AUGUSTUS PAULO P. P. AFRICAE.

Pervidimus scribere tuae magnitudini, neminem [5]) de colonis, qui temporibus Vandalorum de possessione [6]) egressi sunt et inter liberos commorati sunt, iterum attrahi [7]) et ad colonatus conditionem [8]) iterum reduci: quia volumus eos sicut temporibus Vandalorum erant, sic et modo sint. insuper autem de cetero quicunque suam contempserint [9])

12) Ven.: Basilio v. c. cons. quod emendavi ex Ath. Theod. et Auth. quod Theod. annum imperii *κβ'* habet, librariorum *σφάλμα* est.

1) Haenel.: Pius. 2) Cod. Gutt. 3) Cod. hic et infra Band. quod tamen a secunda manu emendatum est. 4) Cod. triumfator. 5) Cod. *ut* neminem. 6) Cod. possessiones. 7) retrahi? 8) Cod. conditione. 9) Cod. contemserit.

terram et ad alienam se ducere voluerint, eos restituere iubemus. *Dat. VIII Id. Septembris Constantinopoli imp. Domino Iustiniano*[10]) *Aug.* [*anno XXVI*] *p. consul. Flavi Basilii anno XI Indictione prima.*[11])

Nov. 145. **CLXI.** Auth. 123.

Bas. VI, 20, 1. — Summae: Athan. IV, 23, Theod. Nov. 145. — Codex Ven. primum rubricam habet, quam excipit c. 1a verbo *θεσπίζομεν*, deinde rursus ponitur rubrica, inscriptio et integra Novella, ut in textu habetur.

Ὥστε τοῦ λοιποῦ μηδεμίαν ἄδειαν ἔχειν τὸν δοῦκα ἤτοι βιοκωλύτην κατὰ Φρυγίαν ἑκατέραν καὶ Πισιδίαν[1]) *παραγίνεσθαι ἢ τινας τῶν αὐτοῖς προσηκόντων στέλλειν καὶ συνέχειν τινάς, ἀλλὰ μηδὲ τοὺς τῶν αὐτῶν ἐπαρχιῶν ἀπιέναι πρὸς τοὺς τὰς τοιαύτας ἀρχὰς ἔχοντας ἐπί τε Λυκαονίᾳ καὶ Λυδίᾳ καί τινας παρ' αὐτοῖς ὑπὸ μέμψιν ποιεῖσθαι, τῶν πολιτικῶν ἀρχόντων ἱκανῶν καθεστώτων ταῖς ἀναφυομέναις ὑποθέσεσιν ἐπεξιέναι.*

Ο αὐτὸς βασιλεὺς Ἀρεοβίνδῳ[2]) *ἐπάρχῳ πραιτωρίων καὶ ἀπὸ ἐπάρχων τῆς εὐδαίμονος πόλεως καὶ στρατηλάτῃ.*

Τοῖς ἀεὶ παρεμπίπτουσι τὴν προσήκουσαν ἑκάστοτε θεραπείαν εὑρίσκοντες ἐπειδὰν τὰ τῆς χρείας παρέλθῃ πάλιν τῆς προτέρας γινόμεθα τάξεως, μέχρι μόνου τοῦ πεπονηκό-

10) Cod. Domnus Iustinianus. 11) Cod.: Indict. ter Prima. itaque p. c. Basilii anno XII, quod erat in Utin. reponendum fuit anno XI. — Huic eidem anno Chronicon paschale edictum tribuit, quo Iustinianus rectae fidei dogmata graece et latine exposuit. id tamen constitutionum numero non est habendum, ideoque hic omittendum. pluribus de hoc edicto egit *Biener* Gesch. d. Nov. p. 484.

1) Verba *καὶ Πισιδίαν* nec Ven. nec Flor. habet: addidi ex Ath. Auth. et Basil. 2) Ita Flor. Ven.: *ἀρεβίνδῳ*. Ath.: *ἀρεοβίνδᾳ*.

τος τὴν ἰατρείαν ἱστῶντες. ὁποῖον δή τι καὶ ὁ παρὼν ἡμῶν θεῖος βούλεται νόμος. ὀλίγῳ γὰρ πρότερον τοῦτο μὲν ἀταξίας δημώδεις τοῦτο δὲ ληστῶν ἐπιδρομὰς κατὰ Φρυγίαν ἑκατέραν καὶ Πισιδίαν γίνεσθαι μαθόντες, ὡς πολιτικὴν διοίκησιν ἐκβαίνειν τὴν τοῦ πράγματος ἐπιμέλειαν, ταύταις τε καὶ πρός γε Λυκαονίᾳ καὶ Λυδίᾳ[3]) στρατιωτικὴν ἀρχὴν ἐπεστήσαμεν, δοῦκα ἤτοι βιοκωλύτην ὀνομάσαντες τὸν ἐπὶ τούτου τοῦ μέρους τεταγμένον.[4]) ἀλλὰ καὶ νῦν προσῆλθον ἡμῖν οἱ Φρυγίαν ἑκατέραν καὶ Πισιδίαν οἰκοῦντες, τὰ μὲν πρῴην ἁμαρτανόμενα κατ᾽ αὐτὰς[5]) παύσασθαι λέγοντες, καὶ οὐδὲ ληστήρια κατὰ τοὺς τόπους ἐκείνους συνεστάναι οὐδὲ ἄνδρας[6]) ἐκτρέφεσθαι ταῖς ἐπαρχίαις, τὸ δὲ βάρος οὐ φέρειν τῆς παρ᾽ ἡμῶν ἐπινενοημένης ἀρχῆς, τῶν ὑπηρετουμένων αὐτῇ συνεχῶς[7]) ἐπιφοιτώντων ταῖς ἐπαρχίαις καὶ συλλαμβανόντων τινὰς καὶ ζημίαις ἐπιτριβόντων καὶ στρατιωτικῶν θορύβων ἐμπεπλησμένων τῶν τόπων ἐκείνων, καὶ ὅλως ἀοικήτους αὐτοῖς τὰς ἐπαρχίας εἶναι. καίτοιγε καὶ αὐτῶν καθ᾽ ἑαυτοὺς τῶν πολιτικῶν ἀρχόντων ἱκανῶν πρὸς τὴν τοῦ πράγματος ἐπανόρθωσιν ὄντων. καὶ γὰρ δὴ καὶ αὐτῶν τῶν τὰς ἐπαρχίας οἰκούντων πολλοὺς τὴν ἑτέρων ἐπιείκειαν εὕρημα ποιουμένους τῇ τῆς ἀρχῆς ταύτης ἀποκεχρῆσθαι περιβολῇ, καὶ συνέχειν τοὺς ἀνευθύνους καὶ ταύτῃ τὰ μὴ δίκαια σφίσιν αὐτοῖς καταπράττεσθαι.

α΄. Ταῦτα πολλάκις εἰπόντας αὐτοὺς ἐλεήσαντες ἐπὶ τὸν παρόντα θεῖον ἡμῶν ἤλθομεν νόμον, δι᾽ οὗ θεσπίζομεν ἐξῃρῆσθαι τοῦ λοιποῦ τὰς εἰρημένας ἡμῖν ἐπαρχίας (φαμὲν δὴ Φρυγίαν Σαλουταρίαν καὶ Φρυγίαν Πακατιανὴν καὶ Πι-

3) Ven. λυκαονίαν καὶ λυδίαν. 4) Constitutio, qua dux sive biocolyta harum quinque provinciarum constitutus fuerit, non extat. videtur autem constitutionibus XXIII et XXIV recentior fuisse: dixerit aliquis sub idem tempus datam esse, quo secundum const. LII aliae quinque provinciae Bono Iustiniano quaestori exercitus subiectae sunt. 5) Flor. καὶ ταῦτα. 6) Ven. εἰς ἄνδρας. forte εὐανδρίαν. 7) Flor. συχνῶς.

σιδίαν) τῆς ἀρχῆς ἐκείνης, ἣν αὐταῖς τε καὶ πρός γε τῇ Λυκαόνων καὶ τῇ Λυδῶν ἐπεστήσαμεν πρῴην, καὶ μηδεμίαν ἄδειαν ἐκ τοῦ παρόντος εἶναι τοῖς ἐκείνην ἔχουσι τὴν ἀρχὴν ἢ ἐν αὐταῖς γίνεσθαι ταῖς ἐπαρχίαις ὡς ἀρχικὴν ἔχουσί τινα πρὸς αὐτὰς μετουσίαν, ἢ στέλλειν τινὰ τῆς τάξεως τῆς αὐτῶν ἢ καὶ τῶν ἄλλως αὐτοῖς προσηκόντων καὶ συνέχειν τινάς· ἀλλὰ μηδὲ αὐτοῖς ἄδειαν εἶναι τοῖς ἐκ τῶν ἐπαρχιῶν ἐκείνων τρέχειν πρὸς τοὺς ἑκάστοτε ταύτην ἔχοντας τὴν ἀρχὴν, καὶ μέμψιν ἀποτίθεσθαι κατ' ἀλλήλων, εἴτε ὑπὲρ χρημάτων εἴτε ὑπὲρ ἐγκλήματος τὸ κινούμενον εἴη· ποινὴν ὑφορωμένοις triginta librarum auri, ὡς ἡμῶν πᾶσαν πάροδον πρὸς τὰς εἰρημένας ἡμῖν ἐπαρχίας ἀποκλειόντων τοῖς κατὰ καιρὸν ἔχουσι τὴν ἀρχὴν, ἢ τοῖς ὅλως εἰς τὴν τάξιν τὴν αὐτῶν ἀναφερομένοις. ὥστε οὐδὲ προστάξεις ἐπ' ἐκείναις ταῖς ἐπαρχίαις ἢ τοῖς κατ' αὐτὰς οἰκοῦσι ποιήσονται, οὐδὲ ἄλλως οἰκειώσονταί τι τῶν εἰς αὐτὰς φερομένων, ἀλλ' ἀρκεσθήσονται τῇ τε Λυκαόνων τῇ τε Λυδῶν, κατ' αὐτὰς κελεύοντες μόνας ὡς ἂν εἰ τὴν ἀρχὴν ταῖς δύο ταύταις ἐπαρχίαις περιεκλείσαμεν τὴν ἀρχὴν τὴν αὐτῶν, οὐδεμίαν μετουσίαν εἰς Φρυγίαν ἑκατέραν ἢ Πισιδίαν δεδωκότες αὐτῇ. πάσης γὰρ ἐντεῦθεν δυσκολίας ἐλευθεροῦμεν τὰς ἐπαρχίας ἐκείνας, τῶν πολιτικῶν ἀρχόντων ἐπεξιόντων ἅπασι τοῖς τε εἰς χρήματα τοῖς τε εἰς ἐγκλήματα βλέπουσιν, εἰδότων αὐτῶν, ὡς εἴ τινος γενομένης λῃστείας ἢ ἐφόδου κατ' αὐτοὺς τοὺς τόπους ἢ ἀφαιρέσεως πραγμάτων εἰ[8]) μὴ ἐπεξέλθοιεν καὶ τὸ ἀφαιρεθὲν ἐκδικήσουσιν, ἐκ τῆς σφῶν αὐτῶν περιουσίας τὴν ἐντεῦθεν ζημίαν θεραπεύειν ἀναγκασθήσονται, τοῦτο μὲν ἔχοντες τὴν ἀρχὴν τοῦτο δὲ καὶ καταθέμενοι ταύτην. ὥστε κἂν εἰ πειραθείη πρὸς τὸν ἔπειτα χρόνον ὁ τὴν ἐπὶ Λυκαονίας καὶ Λυδίας στρατιωτικὴν ἔχων ἀρχὴν ἢ αὐτὸς γίνεσθαι κατὰ τὰς εἰρημένας ἡμῖν ἐπαρχίας

8) Abundat et apud Hal. deest.

ἢ στεῖλαί τινα τῶν ἐκ τῆς τάξεως τῆς αὐτοῦ, παῤῥησίαν δίδομεν τοῖς τῶν πόλεων ἐπισκόποις εἴργειν αὐτὸν ἢ τοὺς παρ' αὐτοῦ στελλομένους ἐπιβῆναι βουλομένους, καὶ ἀπελαύνειν τῶν τόπων αὐτους ὡς ἅπαξ διὰ τοῦ παρόντος θείου κεκωλυμένους νόμου, πρὸς τᾷ καὶ ποινὴν triginta librarum auri ἐπικεῖσθαι τῷ τε κατὰ καιρὸν ἔχοντι τὴν ἀρχὴν τοῖς τε ὑπακούειν αὐτοῦ τεταγμένοις, εἴ γέ τι τοιοῦτον ἐκεῖνος κελεύοι ἢ αὐτοὶ θαῤῥήσειαν ὑπουργεῖν, καὶ πρός γε τῆς ἀρχῆς ἔκπτωσιν, κίνδυνόν[9]) τε περὶ τὴν οὐσίαν αὐτήν.[10])

Ἡ σὴ τοίνυν ἐνδοξότης τὰ διὰ τοῦ παρόντος ἡμῶν θείου νόμου θεσπισθέντα γινώσκουσα ποιήσεται μὲν ψήφους ἀκολούθους αὐτοῖς, ἰδίκτοις δὲ χρήσεται καὶ προστάξεσι πρὸς τοὺς τὰς ἐπαρχίας ἰθύνοντας καὶ τοὺς τῶν πόλεων ἐπισκόπους, ὥστε καὶ προτεθῆναι[11]) τοῦτον κατὰ τὰς πόλεις τὸν νόμον, καὶ πᾶσι δῆλα γενέσθαι τὰ κατ' αὐτὴν[12]) ἡμῖν παραστάντα τὴν πρόφασιν. Dat. VI Id. Febr. Constant. DN. Iust. PP. Aug. ann. XXVI post Basilii V. C. cons. ann. XII.[13])

9) Hal. κινδυνεύειν. non male. 10) Ven. ubi prima vice cap. 1 exhibuit, epilogum addit hunc: τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XV. quae ex const. Iustini de Samaritis, quae praecedit in Ven., male huc translata sunt. 11) Ven. προστεθ. 12) κατὰ ταύτην? 13) De subscriptione sic habe: in Ven. est Dat. IV Id. Sept. CP. DN. Iust. PP. A. Bilisar. v. c. cons. — in Auth. Id. Febr. (vel VI Id. Febr. aut Sept.) CP. imp. DN. Iust. PP. Aug. anno XV p. c. Basilii v. c. anno XII. — apud Ath.: Δατ. γ' IIII δ̄ νοεμβρ. (pridie K. Novembr. sive VI Id. Febr.) CP. βασιλείας ἰουστινιανοῦ τὸ κε' μετὰ τὴν ὑπατείαν βασιλείου τὸ β'. — apud Theod. ἐξεφωνήθη μηνὶ φεβρουαρίῳ ἔτει λε' τῆς βασιλείας μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ιγ'. — ex his annus imperii XXV, p. c. Basilii XII, et mensis sive Sept. sive Nov. sive Febr. exire videtur, quod tamen non quadrat. anno autem imperii XXV, si Lydum sequamur, Hephaestus Pr. Praet. fuit, et insequente demum anno Areobinda in thronum praefecturae ascendere potuit. quare subscriptionem ita restitui, ut in textu est.

Nov. 146. CLXII. Auth. 124.

Basil. I, 1, 57. — Summae: Ath. III, 5 Theod. Nov. 146 et incertus epitomator in Nom. XIV titt. XII, 3. — Ven. const. CLXI post inscriptionem notat: *ὁμοίως βι. ν' τί. β' διγ. γ' ἐν τέλει*, quae nota potius ad hanc nostram de Hebraeis const. pertinet.

Περὶ Ἑβραίων.

Ὁ αὐτὸς βασιλεὺς Ἀρεοβίνδῳ[1]) τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων.

Ἐχρῆν μὲν Ἑβραίους τῶν ἱερῶν ἀκούοντας βίβλων μὴ ψιλοῖς[2]) προστετηκέναι τοῖς γράμμασιν, ἀλλὰ πρὸς τὰς ἐναποκειμένας αὐτοῖς προφητείας ὁρᾶν, δι' ὧν τὸν μέγαν θεὸν καὶ σωτῆρα τοῦ τῶν ἀνθρώπων γένους Ἰησοῦν τὸν Χριστὸν καταγγέλλουσι· πλὴν ἀλλ' εἰ καὶ ἀλόγοις σφᾶς αὐτοὺς ἑρμηνείαις ἐπιδιδόντες τῆς ὀρθῆς ἄχρι καὶ νῦν ἀποπεπλάνηνται δόξης, ὅμως ἀμφισβητεῖν πρὸς ἀλλήλους μαθόντες αὐτοὺς οὐκ ἐκαρτερήσαμεν ἄκριτον αὐτοῖς καταλιπεῖν ταραχήν. δι' αὐτῶν γὰρ τῶν προσενηνεγμένων ἡμῖν προσελεύσεων ἐμάθομεν, ὡς οἱ μὲν μόνης ἔχονται τῆς ἑβραΐδος φωνῆς, καὶ αὐτῇ κεχρῆσθαι περὶ τὴν τῶν ἱερῶν βίβλων ἀνάγνωσιν βούλονται, οἱ δὲ καὶ τὴν ἑλληνίδα προσλαμβάνειν ἀξιοῦσι, καὶ πολὺν ἤδη χρόνον ὑπὲρ τούτου πρὸς σφᾶς αὐτοὺς στασιάζουσιν. ἡμεῖς τοίνυν τὰ περὶ τούτου μαθόντες καλλίους ἐκρίναμεν εἶναι τοὺς καὶ τὴν ἑλληνίδα φωνὴν πρὸς τὴν τῶν ἱερῶν βίβλων ἀνάγνωσιν παραλαμβάνειν ἐθέλοντας, καὶ φωνὴν πᾶσαν ἁπλῶς, ἣν ὁ τόπος ἐπιτηδειοτέραν καὶ μᾶλλον γνώριμον τοῖς ἀκούουσιν εἶναι ποιεῖ.

α'. Θεσπίζομεν τοίνυν, ἄδειαν εἶναι τοῖς βουλομένοις Ἑβραίοις κατὰ τὰς συναγωγὰς τὰς αὐτῶν, καθ' ὃν Ἑβραῖοι ὅλως τόπον[3]) εἰσί, διὰ τῆς ἑλληνίδος φωνῆς τὰς ἱερὰς

1) Flor. ἀραιοβ. Ath. ἀρεοβίνδᾳ. 2) Flor. ψιλῶς. 3) Flor. καθ' ὧν — τόπων. non male.

βίβλους ἀναγινώσκειν τοῖς συνιοῦσιν, ἢ καὶ τῆς πατρίου τυχὸν (τῆς ἰταλῆς[4]*) ταύτης φαμὲν), ἢ καὶ τῶν ἄλλων ἁπλῶς, τοῖς τόποις συμμεταβαλλομένης τῆς γλώττης καὶ τῆς δι' αὐτῶν*[4a]*) ἀναγνώσεως, ἐφ' ᾧ σαφῆ τε εἶναι τὰ λεγόμενα τοῖς συνιοῦσιν ἅπασιν ἐφεξῆς καὶ κατὰ τὰ αὐτὰ ζῆν τε καὶ πολιτεύεσθαι· καὶ μὴ παῤῥησίαν εἶναι τοῖς παρ' αὐτοῖς ἐξηγηταῖς μόνην τὴν ἑβραΐδα παραλαμβάνουσι κακουργεῖν ταύτην ὡς ἂν ἐθελήσαιεν, τῇ τῶν πολλῶν ἀγνοίᾳ τὴν σφῶν αὐτῶν περικαλύπτοντες κακοήθειαν. πλὴν οἱ διὰ τῆς ἑλληνίδος ἀναγινώσκοντες τῇ τῶν ἑβδομήκοντα χρήσονται παραδόσει, τῇ*[5]*) πάντων ἀκριβεστέρᾳ καὶ παρὰ τὰς ἄλλας ἐγκεκριμένῃ διὰ τὸ μάλιστα περὶ τὴν ἑρμηνείαν συμβεβηκὸς, ὅτι κατὰ δύο διαιρεθέντες καὶ κατὰ διαφόρους ἑρμηνεύσαντες τόπους ὅμως μίαν ἅπαντες ἐκδεδώκασι σύνθεσιν.* [§. α'.] *πρὸς δέ γε τούτοις τίς οὐκ ἂν τῶν ἀνδρῶν κἀκεῖνο θαυμάσειεν, ὅτι πολλῷ πρεσβύτεροι τῆς σωτηριώδους ἐπιφανείας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γεγονότες, ὅμως ἐκείνην μέλλουσαν ὥσπερ ὁρῶντες τὴν τῶν ἱερῶν βίβλων παράδοσιν ἐποιήσαντο, προφητικῆς ὥσπερ χάριτος περιλαμψάσης αὐτούς; καὶ ταύτῃ μὲν χρήσονται μάλιστα πάντες. πλὴν ἀλλ' ὡς ἂν μὴ τὰς λοιπὰς αὐτοῖς ἀποκλείειν νομισθείημεν ἑρμηνείας, ἄδειαν δίδομεν καὶ τῇ Ἀκύλου κεχρῆσθαι, κἂν εἰ ἀλλόφυλος ἐκεῖνος καὶ οὐ μετρίαν ἐπί τινων λέξεων ἔχῃ πρὸς τοὺς ἑβδομήκοντα τὴν διαφωνίαν.*[6]*) τὴν δὲ παρ' αὐτοῖς λεγομένην δευτέρωσιν ἀπαγορεύομεν παντελῶς, ὡς ταῖς μὲν ἱεραῖς οὐ συνανειλημμένην βίβλοις οὐδὲ ἄνωθεν παραδεδομένην ἐκ τῶν προφητῶν, ἐξεύρεσιν*[7]*) δὲ οὖσαν ἀνδρῶν ἐκ μόνης λαλούντων τῆς γῆς καὶ θεῖον ἐν αὐτοῖς ἐχόντων οὐδέν. καὶ αὐτὰς δὲ δὴ τὰς ἱερὰς φωνὰς ἀναγνώσονται τὰς βίβλους αὐτὰς ἀναπτύσσοντες, ἀλλὰ μὴ*

4) Ven. *ἰταλίας.* 4a) *αὐτῆς?* 5) Articulum Ven. omittit. 6) In Flor. excidit *τὴν διαφωνίαν.* Hal. addit *διαφοράν.* 7) Sic Ven. et Flor. contra Hal. *ἐξαίρεσιν.*

κατακρύπτοντες μὲν τὰ κατ' αὐτὰς εἰρημένα, τὰς ἔξωθεν δὲ παραλαμβάνοντες ἀγράφους κενοφωνίας πρὸς τὴν τῶν ἁπλουστέρων αὐτοῖς ἐπινενοημένας ἀπώλειαν. ὥστε ταύτης δεδομένης παρ' ἡμῶν τῆς ἀδείας οὐδὲ ζημίαις τισὶν ὑπαχθήσονται[8]) *παντελῶς οἱ τὴν ἑλληνίδα φωνὴν καὶ τὰς ἄλλας παραλαμβάνοντες, οὐδὲ παρ' οὑτινοσοῦν κωλυθήσονται· οὐδὲ ἄδειαν ἕξουσιν οἱ παρ' αὐτοῖς ἀρχιφερεκῖται ἢ πρεσβύτεροι τυχὸν ἢ διδάσκαλοι προσαγορευόμενοι περινοίαις τισὶν ἢ ἀναθεματισμοῖς τοῦτο κωλύειν, πλὴν εἰ μὴ βούλοιντο δι' αὐτῶν σωφρονιζόμενοι τῶν εἰς σῶμα ποινῶν καὶ πρός γε ἀφαιρούμενοι τῶν οὐσιῶν ἄκοντες ἐνδιδόναι καλλίονά τε καὶ θεοφιλέστερα βουλομένοις τε ἡμῖν καὶ κελεύουσιν.*

β'. Εἴ τινες δὲ παρ' αὐτοῖς κενοφωνίας ἀθέους ἐπεισάγειν ἐγχειρήσαιεν, ἢ ἀνάστασιν ἢ κρίσιν ἀρνούμενοι ἢ τὸ[9]) *ποίημα τοῦ θεοῦ καὶ κτίσμα τοὺς ἀγγέλους ὑπάρχειν, τούτους καὶ ἀπελαύνεσθαι βουλόμεθα τόπου παντὸς, καὶ μὴ ἀφιέναι φωνὴν βλάσφημον οὕτω καὶ αὐτῆς τῆς περὶ θεοῦ καθάπαξ ἐξολισθήσασαν γνώσεως. ἐγχειροῦντας γὰρ αὐτοὺς παραφθέγγεσθαί τι τοιοῦτον ταῖς πασῶν ἐσχάταις ὑποβάλλομεν τιμωρίαις, τῆς ἐπεισαγομένης πλάνης ἐκ τούτου τὸ τῶν Ἑβραίων περικαθαίροντες ἔθνος.*

γ'. Εὐχόμεθα δὲ αὐτοὺς διὰ ταύτης ἢ ἐκείνης τῆς γλώττης τῶν ἱερῶν βίβλων ἀκούοντας φυλάττεσθαι μὲν τὴν τῶν ἑρμηνευόντων κακίαν, μὴ ψιλοῖς δὲ προσέχειν τοῖς γράμμασιν, ἀλλὰ τῶν πραγμάτων γενέσθαι[10]) *καὶ θειοτέρας ὄντως ἐννοίας λαβεῖν, ὥστε καὶ μεταμανθάνειν τὸ κάλλιον καὶ παύσασθαί ποτε πλανωμένους καὶ περὶ αὐτὸ τὸ πάντων καιριώτατον*[11]) *ἁμαρτάνοντας, τὴν εἰς θεὸν ἐλπίδα φαμέν. διὰ τοῦτο γὰρ δὴ πᾶσαν αὐτοῖς φωνὴν ἀνεῴξαμεν πρὸς τὴν τῶν ἱερῶν βίβλων*[11a]) *ἀνάγνωσιν, ὥστε πάντας ἐφεξῆς*

8) Ven. *ἐπαχθ.* 9) *ἤτοι?* 10) Hal. et Scr. *γεύεσθαι* legere maluerunt. 11) Ven. *καιριωτάτων.* 11a) Ven. *βιβλίων.*

τὴν αὐτῶν λαμβάνοντας εἴδησιν εὐμαθεστέρους πρὸς τὰ καλλίω γενέσθαι, τῶν ὡμολογημένων ὑπάρχοντος, ἑτοιμότερον πολλῷ πρὸς διάκρισιν εἶναι καὶ πρὸς τὴν τοῦ βελτίονος αἵρεσιν τὸν ἐν ἱεροῖς ἐντραφέντα βίβλοις καὶ μικρὸν τὸ λεῖπον ἔχοντα πρὸς διόρθωσιν, ἢ τὸν εἰδότα μὲν τούτων οὐδὲν, μόνου δὲ τοῦ τῆς θρησκείας ἐξηρτημένον[12]) *ὀνόματος καὶ ὥσπερ ἀγκύρας ἀντεχόμενον ἱερᾶς, καὶ μάθημα θεῖον τὴν ψιλὴν τῆς αἱρέσεως προσηγορίαν εἶναι νομίζοντα.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ παρόντος[13]) *θείου νόμου δηλούμενα παραφυλάξει μὲν ἡ σὴ ἐνδοξότης καὶ ἡ πειθομένη σοὶ τάξις, παραφυλάξει δὲ ὁ κατὰ καιρὸν ἐπὶ τῆς αὐτῆς ἀρχῆς ταχθησόμενος, καὶ οὐ συγχωρήσει παντελῶς Ἑβραίοις*[14]) *παρὰ ταῦτα ποιεῖν, ἀλλὰ τοὺς ἐνισταμένους καὶ κωλύειν ὅλως ἐπιχειροῦντας ταῖς εἰς σῶμα πρῶτον ποιναῖς ὑποθεὶς ἐξόρια*[15]) *οἰκεῖν ἀναγκάσει, ἀφαιρουμένους καὶ τῶν οὐσιῶν, ὡς μὴ κατὰ ταὐτὸν αὐτοὺς θεοῦ τε καὶ βασιλείας καταθρασύνεσθαι. χρήσῃ δὲ καὶ προστάξεσι πρὸς τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους προτάττων αὐτῶν τὸν ἡμέτερον νόμον, ὥστε καὶ αὐτοὺς τοῦτον μανθάνοντας προθεῖναι κατὰ πόλιν ἑκάστην, εἰδότας ὡς ταῦτα παραφυλάττειν χρεὼν ἡμετέραν ἀγανάκτησιν δεδιότας.* Dat. VI Id. Febr. CP. DN. Iust. PP. Aug. anno XXVI post Basilii V. C. cons. ann. XII.[16])

12) Ven. *ἐξηρτημένου*. Flor. *ἐξηρτημένων*. 13) In Flor. *παρόντος* omittitur, rectius ni fallor. 14) *ἑβραίους*? 15) Ven. *ἐξορίαν*. 16) Ven. Dat. Id. Febr. — Aug. Basil. v. c. cons. Athanasius et Auth. habent VI Idus Febr. Theod. *βελισαρίου* pro *βασιλείου* habet. annos imperii et consulatus praestant Ath. et Auth.

Nov. 147. **CLXIII.** Auth. 125.

Summam praestat Theod. Nov. 147. — Ven. in fine const. CLXI addit: *βι. μθ' τῶν διγ. τί. ιδ' διγ. μζ' καὶ βι. δ' τοῦ κώδ. τί. ιθ' διατ. γ' καὶ βι. τῶν ἰνστιτούτ. γ' τί. κ' διαιρ. δ'* quae forsitan ad hanc nostram constitutionem pertinent.

Ὥστε τὰς ἐποφειλομένας λοιπάδας τοῖς ἐπάρχοις ἢ ταῖς λαργιτίοσιν ἢ τοῖς πριβάτοις ἢ τῷ θείῳ πατριμονίῳ συγχωρεῖσθαι ἐν παντὶ εἴδει ἄχρι τῆς παρελθούσης ἑβδόμης ἐπινεμήσεως καὶ αὐτῆς ὀφείλειν.

Ὁ αὐτὸς βασιλεὺς Ἀρεοβίνδῳ[1]) τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τῆς Ἕω καὶ ἀπὸ ἐπάρχων τῆς εὐδαίμονος ταύτης πόλεως καὶ στρατηλάτῃ.

Εἰ καὶ δαπάνης νῦν πολλῆς εἴπερ ποτὲ τῷ πολιτεύματι δεῖ, τοσαύτην μεγέθους[2]) ἐπίδοσιν εὐμενείᾳ λαβόντι θεοῦ καὶ πρὸς τὴν τῆς προσθήκης ἀναλογίαν τοῖς περικειμένοις προσπολεμοῦντι βαρβάροις, πᾶσαν ὅμως ἐπινοοῦμεν ὁδὸν, ὡς ἂν καὶ τὰ τῆς χορηγίας ἀκώλυτα γένοιτο, καὶ μηδὲν φιλανθρωπίας εἶδος περὶ τοὺς ὑποτελεῖς τοὺς ἡμετέρους παραλιμπάνοιτο. ὅσα μὲν οὖν τοῖς ἑκάστοτε προσιοῦσιν[3]) ἡμῖν καὶ χρέα προτεινομένοις δημόσια καὶ ἀπορίαν τῆς ἀποδόσεως ἑτοίμως φιλοτιμούμεθα, καὶ ὡς οὐδεὶς φιλανθρωπίας δεηθεὶς ἄπρακτος ἐκ τῆς ἡμετέρας ἀνεχώρησεν ὄψεως, τοῦτο λέγειν οὐχ ἡμέτερόν ἐστι, τῶν ὑπὲρ τούτου γεγραμμένων γραμμάτων καὶ αὐτῶν τῶν τὰς φιλοτιμίας λαβόντων ἐπιμαρτυρούντων ἡμῖν. ἀλλ' ἐπειδὴ μικρὸν[4]) καὶ βασιλείας ἀνάξιον εἶναι νομίζομεν τὸ περὶ τοὺς ἑκάστοτε προσιόντας

1) Flor. *ἀρρεοβ.* et mox *ἑῴας*. 2) Flor. *μεγέθους* omittit. Hal. *ἐπίσχεσιν*, pro *ἐπίδοσιν*, quod Flor. habet. 3) Ven. *προσινοῦσιν*. 4) *μέτριον*? ita Auth.

ἰδικάς τινας φιλοτιμίας ποιεῖσθαι, ἢ καὶ μέχρι χωρίων ἢ πόλεων μόνων ἢ καὶ ὅλων ἐπαρχιῶν τὴν ἡμετέραν ἐκτείνειν φιλανθρωπίαν, ἀλλὰ μὴ μέγα τὶ καὶ κοινὸν ἐπὶ πᾶσι τοῖς ὑπηκόοις ποιήσασθαι,

α΄. τούτου χάριν ἐπὶ τὰς παρούσας θείας ἡμῶν ἤλθομεν δωρεὰς, δι' ὧν θεσπίζομεν, ἀφεῖσθαι πάντας τοὺς ἡμετέρους ὑποτελεῖς ἐλλειμμάτων παντοίων ὀφειλομένων παρ' αὐτῶν ἀπὸ τῆς τοῦ προτέρου κύκλου πρώτης ἐπινεμήσεως[5]) καὶ αὐτῆς, εἰς ἣν τας προτέρας ἡμῶν συνεκλείσαμεν δωρέας[6]), μέχρι τῆς ἄρτι παρελθούσης[7]) ἑβδόμης ἐπινεμήσεως καὶ αὐτῆς, ὡς εἶναι κβ΄ ἐτῶν ἐφεξῆς τὴν εἰς τοὺς ὑπηκόους παρ' ἡμῶν γινομένην φιλοτιμίαν, καὶ μηδεμίαν ἐλλειμμάτων εἴσπραξιν εἶναι πρὸς ἐκείνους ἀναγομένην[8]) τοὺς χρόνους. ταῦτα δέ φαμεν οὐ περὶ τῶν ἐν χρυσίῳ μόνον, ἀλλὰ κἂν εἰ ἄργυρος ἢ σῖτος ἢ ἕτερον εἶδος τὸ χρεωστούμενον εἴη, καὶ τοῦτο μὲν εἰ[9]) τῶν θρόνων τῶν σῶν τὸ παρὰ τῶν ὑποτελῶν ὀφειλόμενον εἴη, τοῦτο δὲ εἰ τῆς παρὰ Ἰλλυριοῖς ἐπαρχότητος ἢ[10]) τῶν θείων ἡμῶν θησαυρῶν, εἴτε ὑπὲρ φόρων εἴτε ὑπὲρ ἑτέρων τίτλων ὁπωσοῦν εἰσαγομένων αὐτοῖς. κοινὴν γὰρ δὴ πᾶσιν ἐφεξῆς τοῖς ἡμετέροις ὑποτελέσι ταύτην ἡμῶν τὴν φιλοτιμίαν παρέχομεν, ὥστε οὐδεὶς ὑπὲρ τῶν χρόνων ἐκείνων ἐπ' αὐτοὺς λοιπὸν ἐνεχθήσεται τὴν οἱανοῦν ἐλλειμμάτων ποιούμενος[11]) εἴσπραξιν, εἴτε παρ' αὐτῶν στελλόμενος τῶν ἀρχῶν ἢ καὶ ὁπωσοῦν τὸ τοῦ δημο-

5) I. e. a. Kal. Sept. anni 522 p. Chr. n. 6) Videtur ergo Iustinianus, quicquid contra dicat Procop. Hist. arc. c. 23, initio imperii, ut mos erat imperatoribus, reliqua subiectis remisisse usque ad Kal. Sept. anni 522 p. Chr. n. 7) Flor. διελθούσης. indicatur ind. VII, quae a Kal. Sept. anni p. Chr. n. 543 ad Kal. Sept. a. 544 pertinuit. 8) Flor. ἀναγομένων. non male. 9) Ven. ἢ. caeterum Flor. verba καὶ τοῦτο μὲν — τοῦτο δὲ omittit. 10) Flor. ἢ τῇ παρ' ἰλλυρίοις ἐπαρχότητι ἤ τινι τῶν κτλ. 11) Flor. ὑπ' αὐτῶν λ. ἐναχθήσεται ποιουμένων, quod propter sequentia στελλόμενος etc. ferri non potest.

σίου πρόσωπον οἰκειούμενος εἴτε τινὰς ἐπιφερόμενος προστάξεις ἢ ἐκταγὰς, ἐπείτοιγε καὶ τοῖς τοιοῦτό τι λαμβάνουσι καὶ τοσοῦτον ἐφεξῆς οὐκ εἰσπράξασι χρόνον τὴν κατὰ τῶν ὑποτελῶν ἀναιροῦμεν ἀπαίτησιν, καὶ πρός γε τὴν κατ' αὐτοῦ τοῦ δημοσίου. ὁ γὰρ χρεωστούμενος ἐφεξῆς τοσοῦτον ἢ ῥαθυμήσας ἢ σπορτούλων μᾶλλον ἀλλ' οὐ τῶν πρωτοτύπων γενόμενος[12]*, καὶ οὐδὲ παρ' ἐκείνων οὐδὲ παρὰ τοῦ δημοσίου λαβὼν, οὐκ ἐν καιρῷ λοιπὸν μέμνηται τῶν ἐκταγῶν ἢ τὴν ἐκεῖθεν ἀπαίτησιν ἐπαγαγεῖν πειρᾶται. τοὐναντίον μὲν οὖν τὸν τοιοῦτόν τι ποιεῖν ἐγχειροῦντα ὡς ταῖς ἡμετέραις λυμαινόμενον ἀποστρεφόμεθα δωρεαῖς, ὥστε πᾶσαν ἐφεξῆς ἀπαιτήσεως πρόφασιν ἢ περίνοιαν ἀναιρεθῆναι κατά τε τῶν ὑποτελῶν κατά τε τοῦ δημοσίου, καὶ μείζονα περιγενέσθαι κἀντεῦθεν ἀπραγμοσύνην τοῖς ἡμετέροις ὑποτελέσιν. ὅτι δὲ τούτων ἀπολαύσουσι τῶν δωρεῶν καὶ ὅσαι τοῖς θείοις ἡμῶν πριβάτοις ἢ τῷ θείῳ ἡμῶν πατριμονίῳ προσήκουσι κτήσεις, καὶ οὐδὲ κατὰ γεωργῶν ἢ μισθωτῶν ἢ ἐμφυτευτῶν εἴσπραξις δημοσίων ὑπὲρ τῶν εἰρημένων ἡμῖν γενήσεται χρόνων ἢ παρὰ τῶν τὰ δημόσια εἰσπραττόντων ἢ παρὰ τῶν παλατίνων αὐτῶν, τῶν πᾶσιν ὡμολογημένων ἐστί. ταῦτα δέ φαμεν περὶ τῶν ὀφειλομένων ἔτι καὶ παρὰ τοῖς ἡμετέροις ὄντων ὑποτελέσιν. εἰ γάρ τι φθάσαντες ἐκεῖνοι δεδώκασι καὶ τοῦτο παρὰ βουλευταῖς τυχὸν ἢ ταξεώταις ἢ ὑποδέκταις ἢ ἐκλήπτορσιν*[13]*) ἢ καὶ παρὰ τοῖς τὰς ἐπαρχίας τρακτεύουσιν ἔμεινε, τοῦτο οὐ συναναλαμβάνομεν οὐδὲ μέρος*[14]*) ποιούμεθα τῆς παρούσης ἡμῶν δωρεᾶς, ἀλλ' ἀποσωθήσεται τῷ δημοσίῳ, τῶν ἀτοπωτάτων ὑπάρχον*[15]*), τὸ παρὰ τῶν ὑποτελῶν δεδομένον μὴ τὸ*[16]*) δημόσιον λαβεῖν, ἀλλὰ ἰδιωτικὸν ἑτέρων κέρδος γενέσθαι.*

β'. Ταύτης δὲ ἡμῶν τῆς φιλοτιμίας ἐκκλείομεν καὶ τὰ ὁμολογηθέντα τυχὸν ἢ καὶ ἀντιπεφωνημένα τῷ δημοσίῳ

12) Flor. *μᾶλλον γενόμ.* 13) Ven. *ἐκλήμπτ.* 14) Flor. *συναναλαμβανόμενον μέρος.* 15) Ven. *ὑπάρχων.* 16) Flor. *τόν.*

παρὰ τρακτευτῶν ἢ σκρινιαρίων ἢ ἀρκαρίων· οὐδὲ γὰρ καὶ τούτοις τῆς ἴσης μεταδίδομεν δωρεᾶς, ἐπεί γε ἅπαξ ᾠκειώσατό τε καὶ σχεδὸν ἔχει ταῦτα λαβὸν τὸ δημόσιον. τῆς δὲ θείας ταύτης φιλοτιμίας ἐξαιροῦμεν τάς τε[17]) στρατιωτικὰς καὶ φοιδερατικὰς δισκουσσίονας. αὗται γὰρ οὐ προσάπτονται μὲν τῶν ἡμετέρων ὑποτελῶν, δικαίαν δὲ τὴν εἴσπραξιν κατ' ἐκείνων ἐπάγουσι τῶν οὐ προσηκόντως ἐκ τοῦ δημοσίου λαβόντων, κἂν[18]) εἰ προφάσει στρατιωτικῆς ἢ φοιδερατικῆς δαπάνης ἔτυχον εἰληφότες, ὅμως οἰκεῖον τοῦτο κέρδος ποιησαμένων. καὶ πολλῷ γε μᾶλλον ταύτης ἡμῶν ἐξαιροῦμεν τῆς δωρεᾶς τὰς τῶν πολιτικῶν χρημάτων ζητήσεις, καὶ πρός γε τὰς τῶν ἔργων δισκουσσίονας τῶν τε κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν τῶν τε κατὰ τὰς ἐπαρχίας, ἐπεί γε μὴ δίκαιόν ἐστι, τοσούτου παρ' ἡμῶν ἐκφορηθέντος χρυσίου προφάσει τῆς τοῦ πολιτεύματος ἀσφαλείας τοὺς μὲν ὑπουργηκότας κέρδος ἄδικον ἔχειν, στερεῖσθαι δὲ τοὺς τόπους τῆς ἐξ ἡμῶν φιλοτιμίας ἢ τῆς ὀφειλομένης αὐτοῖς ἀσφαλείας, ἢ καὶ τὰς πόλεις τῶν εἰς εὐκοσμίαν αὐταῖς ἀπονενεμημένων ἀποστερεῖσθαι χρημάτων. ἐπειδὴ δὲ κἂν εἰ τοὺς κακουργοῦντας παντοίως μισοῦμεν, πλὴν ἀλλὰ τῆς ἡμῶν αὐτῶν φιλανθρωπίας ἐπιλαθέσθαι κατ' οὐδένα δυνάμεθα χρόνον, διὰ τοῦτο θεσπίζομεν τὴν παρ' ἡμῶν ἐπί τισι κεφαλαίοις γινομένην ἐξαίρεσιν χώραν ἔχειν ἐπὶ τοῖς ἀπὸ τῆς ἔναγχος διαδραμούσης πρώτης[19]) ἐπινεμήσεως χρόνοις, ταύτην δέ[19a]) φαμεν τὴν sedecim πρόσθεν annis γενομένην. ἐπὶ[20]) γὰρ δὴ τοῖς προβαίνουσι χρόνοις ἁπλῆν καὶ γενικὴν πᾶσιν ἐφεξῆς τὴν ἡμετέραν φιλοτιμίαν παρέχομεν οὐδεμίαν ἐξαίρεσιν ἐπὶ ταύτῃ ποιούμενοι, ὥστε κοινῇ πάντας ἀνθρώπους ἀπολαύειν ἀμεριμνίας καὶ μηδεμίαν ἐλλειμμάτων εἴσπραξιν ἐξ οἱασοῦν ἀφορμῆς ἐξ ἐκείνων προϊέναι τῶν χρόνων. ταύ-

17) Verba καὶ σχεδὸν — τάς τε omittit Ven. 18) καὶ κἄν?
19) Alciatus τρίτης legi vult, Hal. mox sexto anno. male.
19a) δή? 20) Ven. ἐπεί.

την ἡμεῖς τοῖς μὲν ὑπηκόοις φιλοτιμήσασθαι, θεῷ δὲ τῷ μεγάλῳ προσαγαγεῖν τὴν πρᾶξιν ἡγησάμεθα δεῖν, ὡς ἂν πάντες τῶν ἐντεῦθεν ἀπολαύοντες ἀγαθῶν χάριτας ὑπὲρ τῆς ἡμετέρας βασιλείας ὁμολογοῖεν τῷ μεγάλῳ θεῷ, τῷ καὶ ταύτην εἰς νοῦν ἡμῖν βαλομένῳ[21]) *τὴν πρᾶξιν.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ σπευσάτω πρὸς ἔργον ἀχθῆναι καὶ παραφυλαχθῆναι σπουδασάτω. Dat. XVII. Kal. Maii Const. DN. Iust. PP. Aug. ann. XXVII post Basilii V. C. cons. ann. XII.[22])

CLXIV.

Haec const. extat in Codicibus Epitomae Novellarum Iuliani Paris. 4568 (olim Ranconet.), Mediolanensi et Utinensi. Primum edita est a Miraeo: nuper ab Haenelio in edit. Iuliani p. 185, ubi varietas lectionum e dictis Codicibus enotata est.

I. Ut omnia firma sint, quae Amalasuintha vel Atalaricus vel Theodatus concesserunt.

Pro petitione Vigilii venerabilis antiquioris Romae episcopi quaedam disponenda esse censuimus ad utilitatem omnium pertinentia, qui per occidentales partes habitare noscuntur. in primis itaque iubemus, ut omnia, quae Atalaricus vel Amalasuintha regia mater eius vel etiam Theodatus Romanis vel senatu poscente concesserunt[1]),

21) Ven. *βαλλομ.* Flor. *λαβομ.* 22) Ven. annos imperii et consulatus omittit. Auth.: prid. K. Nov. . . . anno XXVIII (al. XIX) p. c. Basilii v. c. anno III vel. IV — Theod.: *ἐξεφωνήθη μηνὶ μαΐῳ ἔτει ιε΄ μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ιβ΄.* — Anno imperii XXVII p. c. Basilii anno XII ind. 1 constitutionem datam esse ex c. 2 colligitur; XVII Kal. Maii id factum esse verisimile fit eo, quod plerumque eiusmodi remissiones sub festum paschae datas esse constat.

1) Codices: concessa sunt. forte: senatui poscenti.

inviolabiliter conserventur. sed et ea, quae a nobis vel a piae memoriae Theodora Augusta quondam coniuge nostra collata sunt, volumus illibata servari, nulla cuicunque data[2]) licentia contra ea venire, quae a praedictis personis pro quibuscunque rebus vel titulis data vel concessa esse noscuntur; excepta videlicet donatione a Theodato in Maximum pro rebus habita Marciani, ex quibus dimidiam portionem Liberio viro gloriosissimo dedisse meminimus, reliqua dimidia Maximo viro magnifico relicta, quas apud utrumque firmiter manere censemus.

II. Ut per Totilanem factae donationes omnes irritae sint.

Si quid a Totilane tyranno factum vel donatum esse invenitur cuicunque Romano seu cuicunque alio, servari[3]) vel in sua firmitate manere nullo modo concedimus, sed res ablatas ab huiusmodi detentatoribus antiquis dominis reformari praecipimus. quod enim per illum tyrannidis eius tempore factum esse invenitur, hoc legitima nostra notare tempora non concedimus.

III. Nemini noceat in captivitate gentium amissio instrumentorum.

Licet enim generali lege prospectum est, ne instrumentorum amissio dominis, pro quibus instrumenta conscripta sunt, quodcunque praeiudicium rerum possit inferre, tamen specialiter etiam per illa loca hoc renovare censuimus, quum sciamus, per diversas calamitates et hostiles pervasiones tam in ipsa civitate Romana quam in aliis locis hominibus instrumenta perisse. ne quam[4])

2) Paris. danda. 3) Codd. servare. 4) Coni. Haenel. Codices: nequaquam.

igitur ex hoc quicunque patiantur calumniam aut aliquod sustineant detrimentum, sancimus, instrumentorum quidem amissionem vel corruptionem nullum praeiudicium pro dominio vel possessione prove[5]) credito dominis rerum vel possessoribus aut creditoribus, pro quibus instrumenta conscripta fuissent, inferre. *Pragmatica dat. Id. Aug. Const. Imp. Domino nostro Iustiniano PP. Aug. anno XXVIII p. c. Basilii v. c. anno XIII.*

IV.

Sed et si quis res absentis vel etiam capti, forsitan greges, per suam aut cuiuslibet auctoritatem invasit, vel petendo eas tenuit, reverso eo vel liberato sine ulla dilatione iubemus restitui ipsi vel etiam heredibus eius. et si forte ille fatale munus subiit, etiam heredibus eius restituatur, [ut] legis auctoritas suggerit. *Anno die et consul. ss.*

V. Non praesumat quis alienum.

Quia autem verisimile putamus diversos tyrannidis tempore res suas per metum alienasse hominibus vel officium quodcunque gerentibus vel aliam a Totila commissam actionem vel potentiam vel gratiam apud eum habentibus, sive venditionis[6]) vel quibuscunque contracti[6a]) titulis, modo vero quod factum est prius rescindi desiderare utpote per violentiam vel per metum tyrannici temporis factum, sancimus, omnibus esse licentiam sui[7]) recipiendi sive vindicandi, vel possessionis a iudice adipiscendae, pretiis tantummodo videlicet restitutis, quae tamen eo qui se dedisse perhibet approbante veraciter constiterit exsoluta, nec aliquo postea modo vel fraude

5) Codd. pro. 6) Mediol. addit: sive donationis. 6a) contractus? 7) sua?

subtracta vel ab eo recepta, quum non absque ratione esse putamus, multa tunc tempore per metum vel violentiam facta esse, quae nostris temporibus rescindi exposcit iustitia; poena videlicet instrumentis inserta propter praedictas sanctiones modis omnibus quiescente. *Dat. sub die anno et cons. ss.*

VI. De tempore postliminii, id est post captivitatem.

Quum autem deo propitio nostro imperio sint omnes restituti, sancimus pro nostrarum legum auctoritate triginta nec non et quadraginta annorum praescriptionem, alias insuper legibus[8]) locum habere et suam tenere per omnia firmitatem, his duntaxat temporibus, quae ab adventu tyrannorum bellica confusio comprehendit, nullatenus in praescriptionum curriculis imputandis. *Dat. Id. Aug. Const. Imp. Dom. nostro Iustiniano PP.* [*Aug.*] *anno XXVIII p. c. Basilii v. c. anno XIII.*

VII. Ut instrumenta irrita revocentur.[9])

Cognovimus, dum hostilis ferocitas Romanam civitatem vel alias obsideret, diversos contractus esse factos inter Romanos qui obsidebantur vel etiam instrumenta conscripta, in praesenti vero quosdam praedictos contractus rescindere vel etiam instrumenta irrita revocare. sancimus, etsi postea per hostilem incursionem huiusmodi documenta perierunt, nullam esse licentiam quae facta sunt infirmandi, sed omnes contractus obsidionis tempore factos in sua firmitate durare, instrumentis etiam competentem vim habituris et nullo per eorum amissionem dominis

8) legibus *cognitas*? 9) *non* revoc.?

praeiudicio generando.[10]) quod enim rite perfectum est, per fortuitos belli casus sub verti, subtilitatis non patitur ratio. *Dat. anno die et consulibus suprascriptis.*

VIII. De rebus mobilibus vel immobilibus.

Res insuper mobiles vel immobiles seseque moventes, quas a Theodorici regis temporibus usque ad nefandissimi Totilae superventum quocunque iure vel titulo Romani possedisse noscuntur per se vel usufructuarias vel alias personas, per quas unusquisque[11]) praecepit possidere, in posterum sine aliqua concussione apud eos servamus, eo videlicet ordine quo per praedicta tempora easdem res possedisse noscuntur. *Dat. anno die et indict. suprascript.*

IX. Pro immunitate tributorum.

Ne autem tributorum exactionis intuitu habitatores patiantur molestias quascunque provinciarum, sancimus, nullius maioris dignitatis officia pro exigendis functionibus dirigi, sed per provinciarum iudices et eorum officia[12]) quodcunque damnum collatores sustinere pro tributorum videantur exactione; licentia non deneganda maioribus iudicibus et eorum officiis, si minus illatae fuerint functiones, ipsos iudices et eorum officia convenire et quod minus est illatum exigere, ut tam publicae rationes quam collatoris utilitas procuretur. *Dat. anno die et cons. ss.*

X. De confirmatione absolutionis tributorum.

Ipsarum enim functionum solutionem per consueta loca vel tempora solenniter praecipimus fieri, nulla inno-

10) Codices: nullum — praeiudicium generandum. 11) Codices: unumquemque. accusativum pro nominativo usurpare infimae latinitatis est. 12) Exciderunt nonnulla, veluti: *inferri, ne.*

vatione per hostilem adventum solutioni tributorum penitus inferenda, sed pro sua consuetudine vel nostrorum beneficiorum tenore sive ad arcam sive in provincia unumquemque solutionem in posterum etiam celebrare. *Dat. anno die et cons. ss.*

XI. Ut leges imperatorum per provincias ipsorum dilatentur.

Iura insuper vel leges Codicibus nostris insertas, quas iam sub edictali programmate in Italiam dudum misimus, obtinere sancimus. sed et eas, quas postea promulgavimus constitutiones, iubemus sub edictali propositione vulgari, [et] ex eo tempore, quo sub edictali programmate vulgatae fuerint, etiam per partes Italiae obtinere, ut una deo volente facta republica legum etiam nostrarum ubique prolatetur auctoritas. *Dat. anno die et cons. ss.*

XII. De suffragio collatorum.

Provinciarum etiam iudices ab episcopis et primatibus uniuscuiusque regionis idoneos eligendos et sufficientes ad locorum administrationem ex ipsis videlicet iubemus fieri provinciis, quas administraturi sunt, sine suffragio litis[13]), etiam codicillis per competentem iudicem eis praestandis, ita videlicet, ut si aliquam collatoribus laesionem intulisse inveniantur aut supra statuta tributa aliquid exegisse, vel in coëmptionibus mensuris enormibus aliisque praeiudiciis vel gravaminibus aut iniquis solidorum ponderibus possessores damnificasse, ex suis satisfaciant facultatibus. quod etiam si quis de administratoribus aut actionariis de praeteritorum nefandorum tyrannorum tempore fecisse invenitur, ex suis facultatibus ei a quo abs-

13) *militis*?

tulit restituere iubemus, quum nos indemnitatem subiectorum undique volumus procurari. *Dat. Id. Aug. Const. Imp. Dom. nostro Iustiniano PP. Aug. anno XXVIII p. c. Basilii v. c. anno XIII.*

XIII. Ut proprietas unicuique restituatur.

Quum autem cognovimus, inimicis deo propitio diversis expulsis provinciis quosdam greges invenientes ab illis relictas et[14]) suo eas vindicare dominio licet ad alios antea pertinebant, sancimus, causa discussa quantum quidem ad eos pertinet eis praestari: si quid vero ab aliis agnoscetur, dominum sua recipere; quod vero ex certo[15]) domino non cognoscitur, inter illos distribui, qui per eandem provinciam greges amisisse inveniuntur, divisione pro rata portione scilicet facienda. *Dat. anno die et cons. ss.*

XIV. De eo cui aliquid ablatum est, ut restituatur.

Si qui etiam collatorum per occasionem tributorum exactionis vel cuiuslibet oneris praetextu aut alio irrationabili modo a quibusdam in auro vel in speciebus laesi esse noscuntur, hoc etiam competenter ei cui ablatum est iubemus sine ambiguitate restitui, ut undique provinciarum habitatores legitime sua recipiant et nostri temporis possint felicitatem sentire. *Dat. die anno et cons. ss.*

XV. De servis, qui tyrannorum tempore liberas duxerunt uxores.

Illud etiam praeteritis capitulis inserendum esse censuimus, ut, si qui per Gothicae ferocitatis nefandissima

14) Dele. grex h. l. feminino genere sumitur. 15) Codices: excepto.

tempora servi constituti liberas uxores inveniantur duxisse, vel etiam liberis hominibus ancillae coniunctae, licentiam quidem liberae personae discedendi per praesentes nostros mereantur affatus[16]), ancilla videlicet vel servo in dominorum suorum iura remeantibus[17]), nullo praeiudicio dominis servorum vel ancillarum ex praeterito tempore generando. si vero in posterum etiam coniugia tenenda esse putaverint, nullum praeiudicium circa libertatem propriam patiantur, filii vero maternam conditionem sequantur. quod etiam in illis, qui ex tali coniugio nati sunt, obtinere iubemus. *Dat. Id. Aug. Const. Imp. Dom. Iustiniano PP. Aug. anno XXVIII post cons. Basilii v. c. anno XIII.*

XVI. De servis et colonis ab alio detentis.

Servos etiam vel colonos, quos ab aliquo contigit detineri, suis restitui dominis una cum medii temporis prole iubemus. *Dat. die anno et cons. ss.*

XVII. De deo dicatis virginibus.

Quum autem tyrannicae ferocitatis praesumtionem res etiam illicitas quasi permissas egisse sine dubio sit, sancimus, ut si qui mulieres deo sacratas vel habitum religiosum habentes sibi coniunxisse inveniantur, nullam eas tenendi vel dotes forte conscriptas exigendi licentiam habeant, immo magis nolentes mulieres abstrahantur ac suis iterum monasteriis vel ecclesiis aut sancto proposito cui dedicatae sunt restituantur. *Dat. Id. Aug. Const. Imp. Dom. nostro PP. Aug. anno XXVIII post cons. Basilii v. c. anno XIII.*

16) Codices: affectus. 17) Codices: remanentibus vel manentibus.

XVIII. Ne per comparationes specierum collatores graventur.

Ne vero per coëmtiones etiam quodcunque collatores detrimentum sustinere inveniantur, sancimus per unamquamque provinciam illarum fieri specierum coëmtionem, quae per eandem provinciam abundare noscuntur (neque enim eius, quod ibi non abunde nascitur, coëmtionem fieri patimur), pretiis videlicet pro specierum venalitate quae tunc temporis in foro rerum venalium obtinere noscuntur statuendis, ipsis tamen pretiis specierum unicuique collatorum in tributorum imputandis exactionem, commerciis videlicet navium nullo modo prohibendis, ut et noster felicissimus exercitus possit nutriri, et collatores aurarias functiones ex abundantium specierum commercio infundere valeant; distributione coëmtionis pro arbitrio tam locorum antistitis quam primatum uniuscuiusque[18]) celebranda, ne collatores ex officiorum avaritia per quemcunque modum opprimi videantur. *Dat. die anno et cons. ss.*

XIX. De mensuris et ponderibus.

Ut autem nulla fraudis vel laesionis provinciarum nascatur occasio, iubemus in illis mensuris vel ponderibus species vel pecunias dari vel suscipi, quae beatissimo papae vel amplissimo senatui nostra pietas in praesenti contradidit. *Dat. die anno et cons. ss.*

XX. De mutatione solidorum id est monetae.

Quum autem scimus veterum Romanorum principum solidos per illa loca facile inveniri, comperimus autem negotiatores vel alios quosdam propter mutationem soli-

18) uniuscuiusque *civitatis?*

dorum dispendium aliquod collatoribus nostris inferre, sancimus, solidos Romanorum principum forma signatos sine permutationis dispendio per omnes provincias ambulare, et per eos celebrari contractus; eo, qui dispendium aliquod pro mutatione solidorum inferre praesumserit, pro unoquoque solido alterum tantum ei, cum quo contraxerit, inferente.[19]) *Dat. Id. Aug. Const. Imp. Dom. nostro Iustiniano PP. Aug. anno XXVIII p. c. Basilii v. c. XIII.*

XXI. Ut pretio satisfaciat de quo [abs]tulit quis.

Si quis etiam de rebus immobilibus ad alium pertinentibus aliquem ornatum vel materiam abstulisse inveniatur, modis omnibus restituere, vel si iam alicui iuncta sint aedificio, pretio satisfacere coarctetur, ut undique nostrarum legum conservetur auctoritas. instrumenta etiam, quae ad alios pertinentia forte ab aliis detinentur, prioribus dominis iubemus restitui, ut omnes undique nostrarum legum adiutorio potiantur. si vero instrumentum periisse inveniatur, cuius exemplar apud alterum invenitur, utpote duobus scriptis authenticis, prout in contracti[bu]s solitum est, ex eo quod apud partem alteram invenitur aliud conscribi iubemus, et parti dari cuius iam instrumenta perierunt, ut competentem possit habere cautelam. sed et si quis instrumentum alienum sive ipse tollendo sive quocunque casu inveniendo malignitate vel incendit vel abscondit aut corrupit aut quocunque modo habere desierit, tunc quanti interest eius, ad cuius iura instrumenta pertinebant[20]), is qui dolum fecit satisfacere compellitur. *Dat. die anno et Cons. ss.*

19) Codices: eum . . . . inferat. 20) Codd. pertinebunt.

XXII. Ut annona ministretur medicis et diversis.

Annonam etiam, quam et Theodoricus dare solitus erat et nos etiam Romanis indulsimus, in posterum etiam dari praecipimus, sicut etiam annonas, quae grammaticis ac oratoribus vel etiam medicis vel iurisperitis antea dari solitum erat, et in posterum suam professionem scilicet exercentibus erogari praecipimus, quatenus iuvenes liberalibus studiis eruditi per nostram rempublicam floreant. *Dat. die anno et cons. ss.*

XXIII. Ut civiliter inter se causas audiant.

Lites etiam inter duos procedentes Romanos vel ubi Romana persona pulsatur per civiles iudices exerceri iubemus, quum talibus negotiis vel causis iudices militares immiscere se ordo non patitur. *Dat. die anno et cons. ss.*

XXIV. Ut mutationes in suo statu stent.

Reipublicae permutationes vel etiam comparationes sive competitiones[21]) cum publico factas usque ad adventum sceleratae memoriae Totilae in sua firmitate servamus, si tamen nulli aliquid alio possidenti[22]) competit. *Dat. die anno et cons. ss.*

XXV. Ut fabricae publicae serventur.

Consuetudines etiam et privilegia Romanae civitatis vel publicarum fabricarum reparationi vel alveo Tiberino vel foro aut portui Romano sive reparationi formarum concessa servari praecipimus, ita videlicet, ut ex hisdem tantummodo titulis, ex quibus delegata fuerunt, praestentur. *Dat. die anno et cons. ss.*

21) compactiones? compositiones? 22) Codd. possidente.

XXVI. Ut per negotiatores coëmtiones fiant.

Super haec cognovimus Calabriae vel Apuliae provinciae possessoribus pro coëmtionibus non inferendis superindictitium titulum impositum esse pro unaquaque millena, unde coëmtiones per negotiatores annis singulis exerceri, in praesenti vero negotiatoribus specierum coëmtiones recusare temptantibus tam superindictitium titulum quam coëmtionis onus provinciae possessoribus imminere. quum abunde mercatores sint per quos possit exerceri coëmtio, sancimus, magnitudinem tuam haec examinantem, si possibile sit per negotiatores species comparatas inferri, collatores provinciae nullatenus praegravari, quum superindictitio titulo semel eis imposito, coëmtionis etiam onus inferre sit impossibile. *Dat. die anno et cons. ss.*

XXVII. Ut qui voluerit ad praesentiam Imperatoris navigare non impediatur.

Viros etiam gloriosissimos ac magnificos senatores ad nostrum accedere comitatum volentes sine quocunque impedimento venire concedimus, nemine prohibendi eos habituro licentiam, ne senatoribus nostris vel collatoribus debitus introitus quodammodo videatur excludi. sed etiam ad Italiam provinciam eundi eis, et ibi quantum voluerint tempus commorandi pro reparandis possessionibus aperimus licentiam, quum dominis absentibus recreari possessiones aut competentem mereri culturam difficile sit.

Quae igitur per hanc divinam pragmaticam sanctionem nostra statuit aeternitas, magnitudo tua modis omnibus effectui mancipare observareque procuret, poena decem librarum auri imminente contra temeratores nostrarum iussionum. *Pragmatica dat. Idib. August. Constant.*

imp. DN. Iustiniano PP. Aug. anno XXVIII., post cons. Basilii V. C. anno XIII. Narsi viro ill. praeposito sacri cubiculi, Antiocho viro magnifico praefecto per Italiam.[23])

Nov. 159. **CLXV.** Auth. 126.

Summae: Iulian. c. 117, Athan. IX, 11, Theod. Nov. 159, incertus epitomator in *Ἀνέκδ.* meis p. 223.

Ὥστε τὰς ὑποκαταστάσεις μέχρι ἑνὸς βαθμοῦ ἵστασθαι.[1])

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ β΄.[2])

Τοσοῦτον ἡμῖν φιλανθρωπίας περίεστιν, ὥστε μηδὲ τὰς ἰδιωτικὰς ὑποθέσεις ὅσαι δοκοῦσιν ἡμῖν ζήτησιν ὑπερβαίνειν δικαστικὴν νόμοις ἡμετέροις διορίζειν ἀπαξιοῦν, ὡς μὴ δι'[2a]) *ὑπόθεσιν ἰδιωτικὴν ὑπερβαίνουσαν ἀκοὴν εἰς δικαστήριον φερομένην μακρᾷ τοὺς ἀμφισβητοῦντας παραδιδόναι τριβῇ. Ἀλέξανδρος τοίνυν ὁ ἐνδοξότατος ἀνήγαγε πολλάκις ἡμῖν,*

23) Haec subscriptio et inscriptio ei iuncta proprie pertinent ad cap. XXVII, neque inde concludi potest etiam capp. I—XXVI eiusdem pragmaticae sanctionis esse. imo hoc, quod de eadem re similes sanctiones variis capitibus continentur, veluti cap. III et VII de instrumentis, cap. IX et XII de exactione tributorum per iudices facienda, argumento est, diversarum pragmaticarum formarum sanctiones sub capitibus I—XXVII compositas esse. has autem cunctas idibus Aug. anno imperii XXVIII post cons. Basilii anno XIII *datas* fuisse Codices praedicant: qui si hoc tempore istas omnes *propositas* esse dixissent, fide digniores fuissent.

1) Flor. *κτᾶσθαι.* 2) Athan. inscribit *Μουσωνίῳ ἐπάρχῳ πόλεως.* similiter const. CLXVI Petro P. P. et Musonio P. U. inscripta reperitur. 2a) Ven. et Flor. *μηδέ.*

Ἱέριον τὸν τῆς ἐνδόξου μνήμης αὐτοῦ πατέρα γράφοντα διαθήκας ῥήμασι χρήσασθαι τούτοις· „βούλομαι δὲ καὶ κελεύω τοὺς ἐμοὺς κληρονόμους, Κωνσταντῖνον μὲν τὸν λαμπρότατον τὴν ἀφορισθεῖσαν αὐτῷ οἰκίαν μετὰ πάντων τῶν καθὰ προγέγραπται συναφθέντων αὐτῇ δικαίων καὶ τὸ προάστειον τὸ ἐν τοῖς Κωπαρίοις[3]) μετὰ πάντων καθὰ προγέγραπται τῶν διαφερόντων αὐτῷ δικαίων καὶ τὴν οἰκίαν τὴν ἐν Ἀντιοχείᾳ τὴν κατὰ Μαμμιανόν[4]), Ἀνθέμιον δὲ τὸν γλυκύτατον τὸ προάστειον τὸ ἐν Βλαχέρναις τὸ κατὰ Εὐγένιον καὶ Ἰουλιανὸν τοὺς τῆς ἐνδόξου μνήμης καὶ τὸ προάστειον τὸ ἐν τῷ ἄκρῳ τοῦ κόλπου τοῦ Σωσθενίου (τό ποτε κατὰ Ἀρδαβούριον[5]) τὸν τῆς ἐνδόξου μνήμης), Καλλιόπιον δὲ τὸν λαμπρότατον τὸ προάστειον τὸ Βυθάριον ἤτοι τοῦ Φιλοθέου[6]), καὶ Ἀλέξανδρον τὸν λαμπρότατον τὸ προάστειον τὸ ἐν τοῖς Βενέτοις μὴ ἐκποιῆσαι μὴ κατὰ πρᾶσιν μὴ κατὰ δωρεὰν μὴ κατὰ ἀνταλλαγὴν μὴ ἄλλως ὁπωσδήποτε, μηδὲ ἐκβαλεῖν ἢ ἀλλοτριῶσαι τὰς αὐτὰς οἰκίας ἢ τὰ προγεγραμμένα πέντε προάστεια τοῦ ἐμοῦ ὀνόματος καὶ τῆς ἐμῆς φαμιλίας. ἀλλ' εἰ μὲν (ὅπερ εὔχομαι) γένοιντο αὐτοῖς παῖδες, καὶ ἐπὶ παισὶν ἢ ἐγγόνοις γνησίοις ἢ καὶ φυσικοῖς τελευτήσαιεν, καταλιμπάνειν ἕκαστον αὐτῶν τὸ ἀφορισθὲν αὐτῷ προάστειον καὶ τὰς οἰκίας, τήν τε διακειμένην κατὰ ταύτην τὴν βασιλίδα πόλιν καὶ τὴν ἐν Ἀντιοχείᾳ, παισὶ καὶ ἐγγόνοις ἕκαστον[7]) τοῖς γνησίοις ἢ καὶ φυσικοῖς· πιστεύω γάρ, ὡς οὐκ ἀθετήσουσιν οὐδὲ ἐπὶ φυσικῶν παίδων ἢ ἐγγόνων τὴν ἐμὴν[8]) διατύπωσιν καὶ βούλησιν. εἰ δὲ ἐπὶ παντελεῖ ἀπαιδίᾳ πάντες ἤ τινες ἢ εἷς ἐξ[9]) αὐτῶν τελευτῴη (ὃ μὴ γένοιτο), βούλομαι καὶ κελεύω τοὺς ἄπαιδας ἢ τὸν ἄπαιδα μέλλοντα τελευτᾶν ἀποκαταστῆσαι τοῖς περιοῦσιν ἢ τῷ περιόντι αὐτῶν ἀδελφῷ τὰς προγεγραμμένας οἰκίας,

3) Flor. *Κοπ.* 4) Flor. *Ἀμμ.* 5) Flor. *Ἀρδουβάριον.* 6) Auth. *κατὰ Φιλόθεον* legere suadet. 7) *ἑκάστων?* 8) Ven. *ἢ ἐγγ. τὴν ἐμὴν* omittit. 9) Ven. *ἀπ'.*

τήν τε ἐνταῦθα καὶ τὴν ἐν Ἀντιοχείᾳ, καὶ τὰ προδηλωθέντα πέντε προάστεια μετὰ πάντων αὐτῶν τῶν δικαίων καὶ τῆς καθόλου περιοχῆς ἀπαραλείπτως, ἀργούσης δηλαδὴ μεταξὺ αὐτῶν τῆς ἐπὶ τοῖς φιδεικομμίσσοις ἢ λεγάτοις ἱκανοδοσίας. βούλομαι γὰρ καὶ κελεύω μὴ ἀπαιτεῖσθαι αὐτοὺς παρ' ἀλλήλων τὰς τοιούτας ἱκανοδοσίας, τῶν ἐπιχειρούντων ἤτοι ἐπιχειροῦντος παρὰ τὸν ἐμὸν πατρικὸν καὶ φιλόστοργον περὶ αὐτοὺς σκοπὸν ἀπαιτεῖν τοὺς ἀδελφοὺς αὐτῶν ἢ τὸν ἀδελφὸν αὐτῶν ἱκανοδοσίαν ἐπὶ τοῖς κωλυθεῖσιν ἐκποιηθῆναι πράγμασι παντελῆ αὐτοῦ τοῦ fideicommissou *ἔκπτωσιν ὑπομένοντος ἤτοι ὑπομενόντων.“ καὶ ταῦτα μὲν ἐπὶ τῆς διαθήκης εἰπεῖν, γράψαι δὲ καὶ κωδίκιλλον, τοιούτοις καὶ κατ' αὐτὸν χρησάμενον ῥήμασι· „δῆλον τοίνυν ποιῶ, ὅτι περ ἤδη μὲν ἐγγράφως ἐθέμην διαθήκην καὶ τὰ ἐν αὐτῇ καθ' ὃν ἔδοξέ μοι τρόπον διετύπωσα, καὶ βούλομαι καὶ κελεύω πάντα ὅσα τῇ αὐτῇ διαθήκῃ ἐμφέρεται ἐκ παντὸς τρόπου ἰσχύειν, πλὴν μόνων ἐκείνων, ὧν ἂν ἐν τούτῳ μοῦ τῷ κωδικίλλῳ μετατυπώσω ἢ καὶ ἀφέλωμαί τινα τῶν καταλελειμμένων λεγάτων. βούλομαι τοίνυν καὶ κελεύω τὸ προάστειόν μου τὸ καλούμενον τὰ Κωπάρια, ὅπερ ἐν τῇ προειρημένῃ διαθήκῃ Κωνσταντίνῳ τῷ μεγαλοπρεπεστάτῳ μοῦ υἱῷ κατέλιπον, δοθῆναι καὶ διαφέρειν τελείας νομῆς καὶ δεσποτείας δικαίῳ Ἱερίῳ*[10]) *τῷ λαμπροτάτῳ καὶ εὐγενεστάτῳ μοῦ ἐγγόνῳ, υἱῷ Κωνσταντίνου*[11]) *τοῦ μεγαλοπρεπεστάτου μοῦ υἱοῦ, σύμπαν τὸ αὐτὸ προάστειον μετὰ τῶν ὄντων ἐν αὐτῷ πραιτωρίων καὶ σκαλῶν πασῶν, καὶ τῶν μισθουμένων εἴτε ἔνδον τῆς πύλης εἴτε ἔξω τῆς πύλης οἰκημάτων καὶ ἐργαστηρίων, καὶ τοῦ λουτροῦ καὶ τῶν κήπων τῶν τε ἔνδον καὶ τῶν ἔξω τοῦ τείχους, καὶ τοῦ ἱπποδρόμου καὶ τοῦ ἐν αὐτῷ κήπου καὶ κινστέρνης, καὶ παντὸς ἁπλῶς καθ' οἱονδήποτε τρόπον ἁρμόζοντός μοι δικαίου ἐπὶ τῷ*

10) Ven. *ἱερεῖ.* 11) Flor. *Κώνσταντος.*

αὐτῷ προαστείῳ. δοθῆναι μέντοι βούλομαι τὸ αὐτὸ προάστειον τῷ προειρημένῳ λαμπροτάτῳ μου ἐγγόνῳ Ἱερίῳ, γινομένῳ αὐτεξουσίῳ κατ' ἐμαγκιπατίωνα παρὰ τοῦ οἰκείου πατρὸς μετὰ τὴν ἐμὴν τελευτήν, μηδεμιᾶς διδομένης ἀδείας τῷ αὐτῷ εὐγενεστάτῳ μου ἐγγόνῳ, ἀλλὰ μηδὲ τοῖς εἴτε ἐκ ταύτης μου τῆς διαθήκης εἴτε ἐκ διαθήκης τοῦ αὐτοῦ λαμπροτάτου μου ἐγγόνου διαδεχομένοις τὰ αὐτὰ δίκαια τοῦ διαπωλῆσαι ἢ ἀνταλλάξαι ἢ δωρήσασθαί τινι ἢ ὁπωσδήποτε ἐκποιῆσαι τὸ αὐτὸ προάστειον ἢ μέρος τι ἐξ αὐτοῦ ἢ δίκαιον, διὰ τὸ βούλεσθαί με τὸ αὐτὸ προάστειον ἤτοι οἰκίαν διακείμενον ἢ διακειμένην ἔνδον τῆς πύλης τοῦ Συκῶν τείχους, τῆς ἀπαγούσης ἐπὶ τὸ εὐαγὲς μαρτύριον τῆς ἁγίας Θέκλας, μεῖναι διὰ παντὸς καὶ διηνεκῶς ἐν τῇ ἐμῇ φαμιλίᾳ καὶ μηδέποτε ἐξελθεῖν τοῦ ἐμοῦ ὀνόματος. βούλομαι δὲ καὶ κελεύω, εἴπερ συμβῇ τὸν προειρημένον εὐγενέστατόν μου ἔγγονον Ἱέριον τελευτῆσαι ἐν ἀνηβότητι ἢ καὶ μετὰ ἀνηβότητα ἐκτὸς μέντοι παίδων ἐκ νομίμων γάμων αὐτῷ τικτομένων, περιέρχεσθαι καὶ διαφέρειν ἤτοι ἀποκατασταθῆναι[12]) τὴν νομὴν καὶ δεσποτείαν τοῦ αὐτοῦ προαστείου ἤτοι οἰκίας τῷ μεγαλοπρεπεστάτῳ αὐτοῦ πατρὶ Κωνσταντίνῳ ἐπὶ τῷ αὐτῷ ὅρῳ τοῦ μὴ ἐκποιηθῆναί ποτε ἐκ τῆς ἐμῆς φαμιλίας ἢ ἐκ τοῦ ἐμοῦ ὀνόματος." ἐπὶ τούτοις μὲν οὖν αὐτὸν ἀπελθεῖν, Ἱέριον δὲ τὸν τῆς ἐνδόξου μνήμης τὴν μὲν ἐπὶ τῆς Θεουπολιτῶν διακειμένην οἰκίαν, ἥτις ἐκ τῆς πατρῴας εἰς αὐτὸν περιῆλθε διαδοχῆς, ἑτέροις διαπωλῆσαι προσώποις· τὴν δὲ κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν οἰκίαν, καὶ πρός γε καὶ τὸ κατὰ τὸν κωδίκιλλον αὐτῷ δεδομένον προάστειον, ἐφ' οἷς ἅπασιν ἡ ἐκποίησις ἀπηγόρευται, Κωνσταντίνῳ τῷ τῆς ἐνδόξου μνήμης αὐτοῦ παραπέμψαι παιδί· ἐκεῖνόν τε αὖθις κύουσαν καταλιπόντα τὴν γαμετὴν τελευτῆσαι τὸν βίον, γράψαντα διαθήκας,

12) Ven. ἀποκαταστῆναι.

καθ' ἃς διετύπωσεν ὡς εἴτε μὴ τεχθείη παιδίον εἴτε τεχθὲν ἄνηβον τελευτήσοι, τήν τε μητέρα τὴν αὐτοῦ Μαρίαν τὴν ἐνδοξοτάτην τήν τε αὐτῷ συνοικοῦσαν Μαρίαν τὴν εὐκλεεστάτην ἐπὶ τὴν αὐτοῦ καλεῖσθαι διαδοχήν· ἐπειδὴ δὲ τεχθεῖσα[12a]) θυγάτηρ καὶ αὐτὴ νηπίαν ἄγουσα καὶ ἁπαλὴν ἔτι τὴν ἡλικίαν ἐξ ἀνθρώπων ἀπῆλθεν, εἰς τὰς εἰρημένας εὐκλεεστάτας περιαχθῆναι γυναῖκας τά τε λοιπὰ τῆς οὐσίας καὶ τὴν ἐπὶ ταύτης τῆς μεγάλης πόλεως οἰκίαν, καὶ πρός γε καὶ τὸ προάστειον, τοῦτο δὴ τὸ ῥητῶς ἐπὶ τοῦ κωδικίλλου Ἱερίῳ τῷ τῆς ἐνδόξου μνήμης καταλειφθέν. χώραν τε εἰκότως ἔκ τε τῆς διαθήκης ἔκ τε τῶν τοῦ κωδικίλλου ῥημάτων ἔσχεν[13]) αὐτὸς τήν τε οἰκίαν καὶ τὸ προάστειον ἐκδικεῖν, μόνος ἐκ τῶν Ἱερίου τοῦ τῆς ἐνδόξου μνήμης παίδων ὑπολελειμμένος τὰ νῦν καὶ πρῶτον ἐπέχων ἐν τῷ τῆς φαμιλίας ὀνόματι τὸν βαθμόν. ἀλλ' οἱ τοὺς ὑπὲρ Μαρίας καὶ Μαρίας τῶν ἐνδοξοτάτων ποιούμενοι λόγους τοῖς μὲν τῆς διαθήκης ῥήμασιν οὐδεμίαν ἔφασκον χώραν γενέσθαι· μηδὲ γὰρ παίδων χωρὶς Κωνσταντῖνον τὸν τῆς ἐνδόξου μνήμης ἀπελθεῖν ἐξ ἀνθρώπων, ὡς χώραν τῇ τῶν οἰκιῶν ἑκατέρων ἀποκαταστάσει γενέσθαι, ἀλλ' οὐδὲ ὑπὲρ[14]) τοῦ προαστείου μετὰ τοῦ νόμου Ἀλέξανδρον τὸν ἐνδοξότατον χωρεῖν ἐπ' αὐτάς, τόν γε καὶ αὐτὸν προεκποιήσαντα τὸ προάστειον, ὅπερ αὐτῷ[15]) κατελέλειπτο, ἐφ' ᾧ τὴν ἐκποίησιν ἐν ἴσῳ τῶν ἄλλων ὁ κοινὸς πατὴρ ἀπαγορεύσας ἐτύγχανε· καὶ τοὺς ἄλλους δὲ δὴ τῶν ἀδελφῶν ταὐτὸ τοῦτο ποιῆσαι, καὶ τοὺς ἡμετέρους νόμους, ἐπειδὰν ἅπαντες ἐφεξῆς ἐφ' οἷς τι τοιοῦτο διώρισται παραβαῖεν τὴν τοῦ τελευτήσαντος γνώμην, ἅπασιν ὁμοίως τὴν ἀποκατάστασιν ἀναιρεῖν, ὡς μὴ ἀμοιβαδὸν αὐτοὺς ἀλλήλοις ἐνάγοντας πολλοῖς ὑπὲρ μιᾶς ὑποθέσεως δικαστηρίοις ὑπάγεσθαι· τῶν τε ὑπὲρ τούτου κειμένων ἡμᾶς ἀνεμίμνησκον νόμων. Ἀλέξαν-

12a) ἐπειδὴ δ' ἐτέχθη? 13) Scilicet Alexander, Hierii senioris filius, cuius ad imperatorem relatio in hoc prooemio exponitur. 14) Ven. ὑπὲρ omittit. 15) Ven. αὐτὸ. mox καταλέλειπτο.

δρος δὲ ὁ ἐνδοξότατος μάλιστα μὲν καὶ περὶ τῶν οἰκιῶν ἑκατέρων ὀρθῶς ἔλεγεν ἐγκαλεῖν. ἐπὶ γὰρ τοῦ κωδικίλλου σαφῆ καὶ τὴν περὶ τῶν λοιπῶν πραγμάτων γνώμην αὐτοῦ τὸν ἀπελθόντα ποιήσασθαι τῇ φαμιλίᾳ τὰ πράγματα φυλαχθῆναι βουλόμενον, πλὴν ἀλλ' ἐπὶ τῷ προαστείῳ δικαιοτέροις λόγοις κεχρῆσθαι· μηδὲ γὰρ ὀρθῶς αὐτῷ τὴν ἐκποίησιν προφέρειν ἐκείνας ἐκ βασιλικῆς τοῦτο ποιεῖν συνωθηθέντι[16]) κελεύσεως. συχνοῖς τε ὑπὲρ τούτων λόγοις ἐκέχρητο μέρος ἑκάτερον, πῆ τὴν μὲν[17]) τοῦ τεστάτορος ἑρμηνεύοντες γνώμην, πῆ δὲ τοῖς ἡμετέροις χρώμενοι νόμοις, οὓς αὐτοῖς συμφέρειν ἡγοῦντο.

α'. Ἡμεῖς τοίνυν νόμων τε καὶ διαθήκης ἑρμηνείαν προκειμένην εἰδότες οὐ ψιλῇ κρίσει, νόμῳ δὲ περιλαβεῖν τὴν τῆς ὑποθέσεως τομὴν ἡγησάμεθα δεῖν, ὡς ἂν τήν τε παροῦσαν ἀμφισβήτησιν διακρίνωμεν, τοῖς τε λοιποῖς προανέλοιμεν τὴν περὶ τῶν τοιούτων φιλονεικίαν. ὅθεν λεπτότερόν τε καὶ ἀκριβέστερον τοῖς τῆς διαθήκης ἐπισκήψαντες ῥήμασιν, αὐτοῖς εὕρομεν τοῖς τὸν κλῆρον διαδεξαμένοις παισὶν τὴν ἐκποίησιν ἀπηγορευμένην, ἐπειδὰν μέλλοιεν παίδων χωρὶς καταλύειν τὸν βίον, οὐκ ἔτι δὲ καὶ τοῖς ἅπαξ αὐτοὺς διαδεξομένοις παισὶν, ἀλλ' ἀρκεῖσθαι τὸν ἀπελθόντα μέχρι τῶν παίδων στῆσαι τὴν ἀπαγόρευσιν· εἰ γὰρ δὴ καὶ αὐτοὶ παῖδας καταλιπόντες ἀπέλθοιεν, οὐ πολυπραγμονεῖν τὸ λειπόμενον. οὐδὲ μακροτέραν τῆς τῶν παίδων ζωῆς τὴν τῆς ἐκποιήσεως[18]) κώλυσιν ἐθελῆσαι ποιήσασθαι. τὸν δέ γε κωδίκιλλον ἐπὶ τῷ προαστείῳ μόνον γενόμενον ἀπαγορεῦσαι καὶ τοῖς ἐκ διαθήκης Ἱερίου τοῦ τῆς ἐνδόξου μνήμης (τοῦ νέου φαμὲν) τὰ πράγματα διαδεξαμένοις τὸ προάστειον ἐκποιεῖν, καὶ πρός γε τούτοις ἐπηγμένου τοῦ βουληθῆναι τὸν ἀπελθόντα διηνεκῶς ἐπὶ τῆς φαμιλίας μένειν αὐτό. τὰ μὲν οὖν ἀμφισβητηθέντα τοιαῦτα.

16) Flor. συνωθισθέντι. 17) πῆ μὲν τὴν? 18) Ven. ἐκ τῆς ποιήσεως.

β'. Κατασκεψάμενοι δὲ τὴν ὅλην ἡμεῖς μεθ' ὅσης ἐχρῆν ἀκριβείας ὑπόθεσιν, ἐπὶ μὲν τοῖς ἄλλοις πράγμασιν, ὧν δήπου Κωνσταντῖνος ὁ τῆς ἐνδόξου μνήμης ὁ Ἱερίου τοῦ πρεσβυτέρου παῖς ἐκ τῶν τοῦ πατρὸς διαθηκῶν γέγονε κύριος, οὐδὲ τὴν τυχοῦσαν ᾠήθημεν καλῶς ἐνίστασθαι ζήτησιν, εἴργεσθαι δὲ τῆς ἐπὶ τούτοις ἐναγωγῆς οὐκ Ἀλέξανδρον μόνον τὸν ἐνδοξότατον, ἀλλὰ καὶ τὴν λοιπὴν πᾶσαν φαμιλίαν, τῶν τε τῆς διαθήκης ῥημάτων μέχρι μόνων παίδων ἱστώντων τὴν κώλυσιν, καὶ αὐτῶν τῶν Ἱερίου τοῦ τῆς ἐνδόξου μνήμης υἱῶν δι' ὧν εἰσποιοῦσι σφᾶς αὐτοὺς τοῖς Ἱερίου δικαίοις οἱ μετ' ἐκείνους τῆς φαμιλίας ὑπάρχοντες μέρος ἐκποιησάντων τινὰ[19]) τῶν παρ' αὐτοῖς, καὶ ὅλως ὥσπερ εἰς τὴν ὑποκατάστασιν ἐκ γνώμης ἀπαγορευσάντων μιᾶς. ἐπὶ δέ γε τῷ προαστείῳ, οὗ δὴ κύριον ὁ κωδίκιλλος Ἱέριον δείκνυσι τὸν ἐνδόξῳ τῇ μνήμῃ, πολλῆς ἡμῖν ἔδοξεν ἀνάμεστον εἶναι περιεργίας τέτρασιν ὕστερον γενεαῖς τὴν τοιαύτην εἰς μέσον[20]) ἄγεσθαι ζήτησιν. νῦν γὰρ Μαρίας καὶ Μαρίας τῶν ἐνδοξοτάτων ἔτι περιουσῶν, ἃς δή που καὶ αὐτὰς ἐν τῇ φαμιλίᾳ θετέον, τῶν ἡμετέρων νόμων καὶ τὰς νύμφας τούτου τοῦ προσρήματος ἀξιούντων, οὐκ ὀρθῶς οὐδὲ προσηκόντως Ἀλέξανδρος ὁ ἐνδοξότατος τὴν παρ' αὐτοῦ[21]) προτεινομένην ἐνεστήσατο δίκην· ἀπιουσῶν δὲ καὶ τούτων, ὡς τέσσαρας ἤδη γενεὰς παρεληλυθέναι δοκεῖν, οὐκ ἂν ὑπομείναιμεν ἀρχαίαν οὕτω δικαστηρίοις ὑπόθεσιν παραδίδοσθαι, μάλιστα τῆς Κωνσταντίνου παιδὸς ἐπὶ νέας οὕτω τῆς ἡλικίας καταλυσάσης τὸν βίον, ὥστε κἂν εἰ μὴ διαθέμενος ἐκεῖνος ἐτύγχανεν, εἰς τὴν μητέρα τὴν αὐτῆς περιελθεῖν τὸ προάστειον, οὐκ αὐτῆς τῆς νέας τοῦ νόμου δὲ ὥσπερ γενομένου τούτων αἰτίου, καὶ οὐδενὸς τῶν Ἱερίου τοῦ τῆς ἐνδόξου μνήμης διαδόχων περὶ τὴν βούλησιν ἁμαρ-

19) *τί?* 20) Ven. *μίαν.* Flor. *μέσιν.* Auth. *in medium.*
21) Ven. *αὐτῶν.*

τάνοντος τὴν αὐτοῦ. καὶ γὰρ εἰ διαθήκας ὁ Κωνσταντῖνος γράφων ὑποκαταστάσεις τινὰς ἐποιήσατο τῆς παιδὸς τελευτώσης ἀνήβου, πλὴν ἀλλ᾽ οὐδὲν ἐντεῦθεν εἰσάγεται μέγα, καὶ αὐτοῦ καθ᾽ αὑτὸν τοῦ νόμου τῇ τῆς νέας μητρὶ τὴν οὐσίαν παρεξομένου διαθηκῶν χωρὶς ἀπιούσης αὐτῆς.

γ΄. Θεσπίζομεν τοίνυν μηδὲ Ἀλέξανδρον τὸν ἐνδοξότατον ἢ τοὺς αὐτοῦ παῖδας μηδὲ τοὺς διαδόχους τῶν λοιπῶν Ἱερίου τοῦ τῆς ἐνδόξου μνήμης τοῦ πρεσβυτέρου παίδων μηδὲ ἄλλον τινὰ τῶν πάντων εἰς τὴν αὐτὴν ἀναφερομένων φαμιλίαν ἢ κατὰ Μαρίας καὶ Μαρίας τῶν ἐνδοξοτάτων προφάσει τῶν παρ᾽ αὐταῖς καθεστώτων πραγμάτων ἢ κατὰ τῶν ἄλλων χωρεῖν, παρ᾽ οἷς τὰ πράγματα καθέστηκε νῦν ἢ καὶ εἰς οὓς κατὰ τὸν ἑξῆς περιέλθοιεν χρόνον ἐφ᾽ οἷς Ἱέριος ὁ τῆς ἐνδόξου μνήμης κωλύσας ἐτύγχανε τὴν ἐκποίησιν, ἢ ὅλως μεμνῆσθαι λοιπὸν τῆς κωλύσεως καὶ τοῦ τῆς φαμιλίας ὀνόματος καί τι δίκαιον κατασκευάζειν ἐκ τούτου, ὡς καὶ τῶν ἄλλων Ἱερίου τοῦ τῆς ἐνδόξου μνήμης υἱῶν τὰ αὐτῶν ἐκποιησάντων πράγματα, καὶ συμφωνησάντων ὥσπερ καὶ ταῖς τῶν λοιπῶν ἐκποιήσεσι καὶ προσανελόντων σφίσι τε αὐτοῖς καὶ τοῖς διαδόχοις τὰς δυναμένας ἁρμόττειν ἀγωγὰς ἐκ τούτου, καὶ τῶν ἄλλων οὓς φθάσαντες ἔφημεν λογισμῶν πρὸς τὴν τοιαύτην ἡμῖν ἀρκούντων κρίσιν τε καὶ νομοθεσίαν. καὶ ταύτην εἶναι τομὴν οὐ τῆς παρούσης ὑποθέσεως μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν, ἐφ᾽ ὧν κωλύσεως γενομένης τοιαύτης διαδοχαὶ τοσαῦται παρέλθοιεν καὶ τῶν κληρονόμων τελευταῖος διὰ μέσου τινὸς ἀνήβου διαδέξοιτο τὸν κλῆρον. τηνικαῦτα γὰρ καὶ τοῖς ἔξω τῆς φαμιλίας τοῦ πρώτου κωλύσαντος ἄδειαν ἐκ τοῦ παρόντος ἡμῶν νόμου παραπέμπειν ἕξει τὰ πράγματα. κοινὸν γὰρ δὴ τοῦτον ἐποιησάμεθα τὸν νόμον τῆς τε παρούσης ὑποθέσεως, τῶν τε μετὰ ταῦτα γενησομένων οὕτω κωλύσεων, τήν τε συμβᾶσαν νῦν διατεθεικότες φιλονεικίαν, τάς τε ὡς εἰκὸς ἐσομένας προανακόπτοντες.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦ παρόντος δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης προθεῖναι κατὰ ταύτην τὴν πανευδαίμονα πόλιν, καὶ ἔργῳ καὶ πέρατι παραδοθῆναι καὶ παραφυλαχθῆναι προσταξάτω.

Καὶ νῦν ἡ πολιτεία τῆς τοῦ κρατίστου βασιλέως περὶ τὸ νόμιμον μέρος ἀκριβείας τε καὶ ὀξύτητος ἀπολαύει. τὰς γὰρ ἐπ' ἀπαιδίᾳ γινομένας ὑποκαταστάσεις διακρίνας[22]) *σαφῶς ὡς ἔνεστι τῷ προλάμποντι νόμῳ, δέδωκε καὶ τοῖς τελευτῶσι θαῤῥεῖν ὡς*[23]) *οὐδεὶς ἂν αὐτῶν τὰς γνώμας παρακινήσειε*[24]), *καὶ τοῖς περιοῦσιν ἀμφισβητήσεων καὶ διαδικασιῶν χωρὶς τὰ τοιαῦτα πρὸς ἀλλήλους διατιθέναι, μίαν μὲν ὑπόθεσιν ἐπανορθώσας, κοινῇ δὲ πρὸς ἅπαντας τὸν λόγον ἐκτείνας, καὶ τὴν εὐεργεσίαν οὐ ῥητοῖς προσώποις, ἀλλὰ πᾶσι τοῖς ὑπηκόοις ἐν ἑνὶ χαρισάμενος. προτρέπειν μὲν οὖν εἰς τὰς ὑπὲρ τῆς αὐτοῦ νίκης*[25]) *εὐχὰς οὐδὲν δεόμεθα τοὺς πολίτας ὑμᾶς· ἤδη γὰρ τοῦτο ποιοῦντες ἐδείχθητε. πρόδηλον δὲ ὡς ὁ μέγας θεὸς τὰ οὕτως εὐσεβῶς καὶ δικαίως προϊόντα καὶ πρὸ τῶν ἡμετέρων εὐχῶν ἀποδεχόμενος, ἐπὶ πλέον χαρίσεται χρόνου μῆκος τὸν κοινὸν δεσπότην ἡμῖν νίκας ἐπὶ νίκαις συνάπτοντα.*

PP. Fl. Ihoannes et Curicus ab actis optulimus. D. K. Iun.[26]) CP. DN. [Iustiniani anno XXIX post cons. Basilii anno XIV ind. III.][27])

22) Ven. *διακρ.* omittit. 23) Flor. *καὶ ὡς.* 24) Ven. omisso *γνώμας* habet *παρακινήσεις.* 25) Victoriam adversus Gothos in Italia reportatam significant. 26) Ven. *Ian.* 27) Inclusa supplevi sequutus Theodorum. nam quod habet Athanasius: *ἐγράφη καλ. φεβρουαρ. βασιλείας ἰουστινιανοῦ τὸ ιθ' μετὰ τὴν ὑπατείαν βασιλείου τὸ δ'*, id non quadrat, quia mensis Febr. anni p. c. Basilii IV in annum imperii XVIII incidit; et si facili coniectura numeros istos in *κθ'* et *ιδ'* mutaveris, tamen mensis Februarius ne tum quidem recte habet. Auth.: VI K. Mai? caeterum varietas lectionis in hac subscriptione fortasse inde pendet, quod alia die ad Petrum P. P. alia ad Musonium P. U. data, alia denique a Ioanne et Curico proposita est.

Auth. 127. CLXVI. Nov. 134.

Bas. VI, 19, 1—9. IX, 2, 10. XXIII, 2, 3. 4. XXVIII, 7, 1. 6. Particulas praestat Proch. IX, 20, Epan. VII, 8. XVIII, 29. — Summae: App. Iuliani ed. Haenel p. 192 sq., Ath. IV, 22, Theod. Nov. 134, incerti epitomatoris in Nomoc. XIV titt. IX, 1. XI, 1 et *Ἀνεκδ.* p. 220, Proch. XXXIX, 23 et Epan. XL, 26, denique in libello *αἱ ῥοπαί* XXV, 12.

Περὶ τοποτηρητῶν καὶ μοιχευομένων γυναικῶν καὶ ἑτέρων κεφαλαίων.

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς[1]), *Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Ἀντικὸς Ἀλανικὸς Βανδαλικὸς Ἀφρικανὸς εὐτυχὴς εὐσεβὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος Μουσωνίῳ ἐπάρχῳ πόλεως.*[2])

Τὰ πρὸς ὠφέλειαν τῶν ἡμετέρων ὑπηκόων περισκοποῦντες ἀεὶ εὕρομεν διαφόρους βλάβας τοῖς ἡμετέροις ὑποτελέσιν ἐπάγεσθαι ἐκ τῶν προβαλλομένων τοποτηρητῶν ἐν ταῖς ἐπαρχίαις παρά τε τῶν πολιτικῶν καὶ τῶν στρατιωτικῶν ἀρχόντων, καὶ περὶ τούτου ἤδη νόμον[3]) *ἐγράψαμεν μερικήν τινα ποιούμενοι τοῦ πράγματος ἐπανόρθωσιν.*

α΄. Νῦν δὲ τελειότερον βοηθῆσαι τοῖς ἡμετέροις ὑποτελέσι σπουδάζοντες θεσπίζομεν, μηδεμίαν ἄδειαν ἔχειν τοὺς κατὰ καιρὸν ἐπάρχους τῶν τε ἀνατολικῶν τῶν τε παρὰ Ἰλλυριοῖς πραιτωρίων ἢ κόμητα λαργιτιόνων ἢ κόμητα πριβάτων[4]) *τοποτηρητὰς ἐκπέμπειν ἐν ταῖς ἐπαρχίαις, ἢ αὐτοὺς*

1) Ven. et Flor. addunt *Αὔγουστος*, licet infra recurrat. 2) Schol. ad Iulianum 21 et 28 „novella constitutio quae ad Musonium rescripta est.“ Musonius P. U. occurrit apud Theophanem ad a. 556 ind. IV. Cuiacio teste in quodam Codice legitur: scripta ad Petrum PP. et rescripta ad Monachium (l. Musonium) P. U. cf. Biener p. 33. 533. — Caeterum Ven. post inscriptionem notat: *βι. ς΄ τῶν βασιλ. τί. ιθ΄ κεφ. α΄.* 3) Const. XVI. CLII. 4) Ven. *πριβάτων* omittit, sed habet inter lineas: *ἤτοι τῶν θησαυρῶν καὶ τῆς ἰδικῆς περιουσίας.*

τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας ποιεῖν καὶ τῆς ἰδίας ἀρχῆς τοποτηρητὰς, ἀλλὰ μηδὲ τοὺς ἐπιχωρίους ἄρχοντας ἐν ταῖς ἐμπιστευθείσαις αὐτοῖς ἐπαρχίαις τοποτηρητὰς προβάλλεσθαι ἐν οἱαδήποτε πόλει. μόνον δὲ κελεύομεν εἶναι τοποτηρητὴν τῆς ἐπαρχότητος τὸν ἐν Ὀσροηνῇ καὶ Μεσοποταμίᾳ, καὶ εἰ χρεία καλέσοι εἰς ἑτέρους τόπους καιρῷ ἐκστρατεύματος ὑπὲρ ἀποτροφῆς αὐτοῦ σταλῆναί τινα, καὶ τοῦτο μέντοι κατὰ κέλευσιν ἡμετέραν. πρὸς τούτοις κελεύομεν, ὥστε μηδὲ στρατηλάτας μηδὲ δοῦκας ἐν ταῖς ἐπαρχίαις ἐν αἷς ἄρχειν ἐκελεύσθησαν ἔχειν τοποτηρητὰς ἢ βιοκωλύτας ἢ ληστοδιώκτας. εἰ δὲ συμβῇ χρείας καλούσης εἴτε στρατηλάτας εἴτε δοῦκας πεμφθῆναι καθ᾽ ἡμετέραν κέλευσιν ἐν ἑτέροις τόποις, τότε γίνεσθαι τοποτηρητὴν τοῦ ἀπόντος, καὶ τοῦτον κατ᾽ ἐπιτροπὴν ἡμετέραν. μηδενὶ δὲ ἐξέστω πολιτικῷ ἢ στρατιωτικῷ ἄρχοντι περιϊέναι τὴν ἐπαρχίαν αἰτίας ἀναγκαίας χωρίς. εἰ δέ τις ἀνάγκη καλέσει τοιοῦτό τι γίνεσθαι, δαπάναις οἰκείαις τοῦτο ποιεῖν κελεύομεν τούς τε ἄρχοντας καὶ τοὺς προσήκοντας αὐτοῖς καὶ τὴν πειθομένην αὐτοῖς τάξιν, μήτε δὲ ἀγγαρείαις ἢ τοῖς καλουμένοις ἐπιδημητικοῖς ἢ ἑτέρᾳ οἱαδήποτε ζημίᾳ βαρύνειν τοὺς ἡμετέρους ὑποτελεῖς. μήτε δὲ συνηθείας ὀνομάζειν ἢ ζητεῖν, ἅπερ τυχόν τινες τῶν προηγησαμένων εἰς οἰκεῖον κέρδος ἀδίκως ἐπενόησαν· τὰ γὰρ κακῶς ἐπινοούμενα οὐδὲ μακρᾷ συνηθείᾳ βεβαιοῦσθαι βουλόμεθα.[4a]) εἰδότων ἁπάντων τῶν προειρημένων ἀρχόντων τῶν πολιτικῶν τε καὶ στρατιωτικῶν, ὡς εἴ τι παρὰ ταῦτα γένηται, καὶ ὁ ποιῶν τοποτηρητὴν κ´ χρυσίου λιτρῶν καταθήσει ποινὴν καὶ τῆς ζώνης ἔξω γενήσεται, καὶ ὁ γενέσθαι καταδεξάμενος ἐκπίπτων τῆς οἰκείας περιουσίας ἐξορίᾳ ὑποβληθήσεται.

β´. Πρὸς πλείονα δὲ τῆς ἡμετέρας διατυπώσεως ἀσφάλειαν κελεύομεν, τοὺς κατὰ τόπον ἐπισκόπους καὶ τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας καὶ αὐτοὺς τοὺς τὰς πόλεις οἰκοῦντας

4a) Auth. „male enim adinventa malaeque consuetudines neque ex longo tempore neque ex longa consuetudine firmantur.“

μηδένα παρὰ τὴν παροῦσαν ἡμῶν διατύπωσιν δέχεσθαι ἢ βιοκωλύτην ἢ ληστοδιώκτην· καθόλου γὰρ οὐδένα τῶν ἀρχόντων πολιτικῶν τε καὶ στρατιωτικῶν ἐνδημοῦντα κατὰ τὴν χώραν ἔχειν τοποτηρητὴν συγχωροῦμεν. καὶ μάλιστα μὲν κελεύομεν τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας οὕτως ὀρθῶς διαγίνεσθαι καὶ τὰ πράγματα καλῶς διοικεῖν, ὡς μὴ χρείαν γίνεσθαι περὶ οἱουδήποτε πράγματος ὀφείλοντος ζητηθῆναι ἤγουν διοικηθῆναι εἰς τὰς ἐπαρχίας τινὰ πεμφθῆναι. εἰ δὲ καὶ χρεία καλέσοι πεμφθῆναί τινας ἐν ταῖς ἐπαρχίαις προφάσει δημοσίων εἰσπράξεων ἢ ἑτέρων οἱωνδήποτε ἀναφυομένων ζητήσεων τοποτηρητάς, μηδὲ πρόσταξιν μηδὲ ὄνομα ἐχέτω τοποτηρητοῦ· γινόμενος δὲ ὁ πεμπόμενος κατὰ τὴν ἐπαρχίαν μηδεμίαν μὲν τοῖς ὑποτελέσιν ἐπαγέτω ζημίαν, τὴν δὲ καταπιστευθεῖσαν αὐτῷ χρείαν πληρούτω, τοῦ ἄρχοντος τῆς ἐπαρχίας καὶ τῆς αὐτοῦ τάξεως βοηθούντων αὐτῷ. εἰ δὲ καὶ κατὰ τοῦ ἄρχοντος τυχὸν κατηγορηθέντος πεμφθῇ, τηνικαῦτα κελεύομεν καὶ τὴν ἐπιχώριον τάξιν ὑπουργεῖν αὐτῷ. ὥσπερ δὲ κωλύομεν τοποτηρητὰς γενέσθαι, οὕτω τὸν πάντα κίνδυνον κελεύομεν ἔχειν τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας καὶ τὴν αὐτῶν τάξιν, ὥστε φροντίδα ποιεῖσθαι τῆς τε τῶν δημοσίων ἀνύσεως τῆς τε τῶν τόπων καταστάσεως καὶ τοῦ πᾶσαν ἀδικίαν καὶ βλάβην ἀναστέλλειν. εἰ δὲ ἐν ταῖς ἐπαρχίαις ἢ βίνδικες[5]) ἢ ἐκλήπτορές εἰσι τῶν δημοσίων καὶ δεηθῶσί τινος βοηθείας, κελεύομεν τοὺς ἄρχοντας τῶν ἐπαρχιῶν καὶ τὰς τάξεις αὐτῶν πᾶσαν σύναρσιν[6]) καὶ σπουδὴν αὐτοῖς συνεισάγειν ὥστε ἀνεμποδίστως τὴν τῶν δημοσίων εἴσπραξιν προϊέναι. καὶ πάσας δὲ τὰς κινουμένας εἴτε χρηματικὰς εἴτε ἐγκληματικὰς ὑποθέσεις καὶ ἁρμοζούσας τοῖς τῶν ἐπαρχιῶν ἄρχουσιν, αὐτοὺς ἐπιτρέπομεν ζητεῖν, ὥστε αὐτοὺς οἰκείῳ κινδύνῳ ταύτας ἐξετάζειν καὶ νόμιμον πέρας αὐταῖς[7]) ἐπιθεῖναι. πρὸς τούτοις κελεύομεν τοὺς τῶν ἐπαρ-

5) Ven. inter lineas ἔκδικοι. 6) Ven. συνάρμοσιν, verbum inusitatum et sensu parum apto. 7) Ven. et Hal. αὐτοῖς.

χιῶν ἄρχοντας ἡνίκα μέλλοιεν τὰς ἀρχὰς παραλαμβάνειν, εἴτε παρόντες ὦσιν εἴτε ἀπόντες, ἀσφάλειαν προκαθιστᾶν[8]) τῇ τε ἐπαρχότητι καὶ ταῖς ἡμετέραις λαργιτίοσι[9]) καὶ τῷ κόμητι τῶν πριβάτων ὑπὲρ τῶν εἰσαγομένων χρημάτων ἑκάστῃ τῶν εἰρημένων ἀρχῶν, ὁπότε κἂν μὴ ἀσφαλίσωνται, ὡς ποιήσαντες[10]) ἀσφάλειαν οὕτω κελεύομεν αὐτοὺς καὶ τὰς αὐτῶν τάξεις ὑποκεῖσθαι ταῖς εἰρημέναις ἀρχαῖς. ἐν ἐκείναις δὲ ταῖς ἐπαρχίαις καὶ πόλεσι βουλόμεθα τοὺς ἄρχοντας ἐγκινδυνεύειν ὑπὲρ τῆς τῶν δημοσίων εἰσπράξεως, ἐν αἷς μηδὲ σκρινιάριοι μηδὲ βίνδικες μηδὲ ἕτεροί τινες εἶεν ἰδίῳ κινδύνῳ τὴν ἀπαίτησιν ποιούμενοι.

γʹ. Καὶ τοῦτο δὲ ἦλθεν εἰς ἡμᾶς, ὥς τινες τῶν ἐν ἐπαρχίαις ἀρχόντων οὕτως ἀσεβῶς φέρονται προφάσει αἰσχροκερδείας, ὡς μηδὲ διαθήκας συγχωρεῖν γίνεσθαι μηδὲ γενομένας[11]) ἐμφανίζεσθαι, μηδὲ γάμοις τινὰς προσομιλεῖν μηδὲ τὰ ἐπὶ ταῖς γαμικαῖς δωρεαῖς ὑπομνήματα συντάττεσθαι, μηδὲ τὰ τῶν τελευτώντων σώματα ταφαῖς παραδίδοσθαι, μηδὲ πραγμάτων ἀναγραφὴν συγχωρεῖν γίνεσθαι, ἢ ἄλλο τὶ τῶν τοιούτων πράττεσθαι ἢ ἐν ὑπομνήμασιν ἢ ἐν ἐκμαρτυρίαις. διὰ τοῦτο ἀπαγορεύομεν πᾶσι τοῖς ἄρχουσι πολιτικοῖς τε καὶ στρατιωτικοῖς καὶ ταῖς αὐτῶν τάξεσιν ἢ καὶ ἑτέρῳ οἱῳδήποτε τοιοῦτό τι τολμᾶν. εἰ δέ τις τοιοῦτο μῦσος ἐν οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας ἐπιχειρήσει διαπράξασθαι ἢ ὑπουργῆσαι τῷ ταῦτα τολμῶντι, κελεύομεν τοὺς τοιούτους ἔξω τῆς ζώνης γινομένους ἐν ἐξορίᾳ πέμπεσθαι, καὶ ἐκ τῆς οὐσίας αὐτῶν τὴν συμβαίνουσαν ζημίαν τοῖς ἠδικημένοις κατὰ τὸ διπλάσιον ἀποδίδοσθαι, οὐκ ἀνῃρημένης αὐτοῖς οὐδὲ τῆς ἄλλης τῆς ἀπὸ τῶν νόμων βοηθείας. πᾶσαν δὲ δίδομεν ἄδειαν τοῖς κατὰ τὸν τόπον ὁσιωτάτοις ἐπισκόποις καὶ τοῖς πρωτεύουσι τῶν πόλεων τὰ τοιαῦτα

8) Ven. et Bas. προσκαθιστᾶν. 9) Ven. addit glossema ἤγουν ὑπεροχαῖς (l. παροχαῖς). 10) ποιήσαντας? 11) Ven. γινομ.

ἐγχειρήματα κωλύειν, καὶ φροντίζειν τοῦ ταῦτα πάντα ἀνεμποδίστως καὶ ἀζημίως κατὰ τὴν τῶν νόμων δύναμιν προϊέναι, καὶ τὰ περὶ τούτων ἡμῖν μηνύειν. τὰς μέντοι κατὰ νόμους ἐπιδεδομένας ἐκκλήτους καὶ δέχεσθαι βουλόμεθα πάντας τοὺς ἄρχοντας καὶ τοὺς καθ' ἡμετέραν κέλευσιν ἀκροωμένους, εἴτε μείζονες εἴτε ἐλάττονες εἶεν, καὶ ἐκδιδόναι τὰ πεπραγμένα δίχα τινὸς ὑπερθέσεως τοῖς δικαζομένοις, ὥστε ἐξέτασιν νόμιμον περὶ τούτων προϊέναι. πρὸς τούτοις κελεύομεν, ἐκκλήτου ἐπιδιδομένης[12]) κατὰ τὸν νόμον μηδὲ ἐκβιβασμοὺς γίνεσθαι μηδὲ νομὰς πραγμάτων μετατίθεσθαι μέχρι τελείας ἐπ' αὐτῇ κρίσεως.

δ'. Ἐπειδὴ δὲ συμβαίνει μοιχείας ἢ ἁρπαγὰς γυναικῶν ἢ φόνους ἢ ἕτερα οἱαδήποτε ἐγκλήματα ἐν ταῖς ἐπαρχίαις ἁμαρτάνεσθαι, κελεύομεν τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους[13]) πάντα κατὰ νόμους διεκδικεῖν, καὶ τοὺς ἁμαρτάνοντας κρατεῖν καὶ μὴ ἑτέρους ἀνθ' ἑτέρων, ἢ[14]) ἐξ ὧν ὥρμηνται χωρίων οἱ τὰ ἐγκλήματα τολμήσαντες ἄλλον ἀντ' ἄλλου συνέχειν ἢ ζημίαν τοῖς αὐτῶν ἐπάγειν χωρίοις, ἀλλὰ μηδὲ ἐνεχυρασμοὺς ποιεῖν διὰ τὸν ἡμαρτηκότα, ἢ τὴν τοῦ ἐγκλήματος ἐκδίκησιν ἰδίου κέρδους ἕνεκα καταλύειν ἢ τὰ τῶν πλημμελησάντων πράγματα οἰκεῖον κέρδος ποιεῖσθαι. ἡμεῖς γὰρ τοὺς μὲν αἰτίους τὰς ἐκ τῶν νόμων ποινὰς ὑπομένειν βουλόμεθα, ζημίαν δὲ τοῖς ὑποτελέσιν ἡμῶν ἢ κέρδος ἐκ τούτου τοῖς ἄρχουσιν ἢ τοῖς αὐτῶν ἀνθρώποις ἤγουν τάξεσι γίνεσθαι οὐδαμῶς συγχωροῦμεν, ἵνα μὴ διὰ τὴν τῶν πραγμάτων ἐπιθυμίαν εὑρεθῶσιν ἀδίκως τινὰς τιμωρούμενοι καὶ τοὺς ἁμαρτήσαντας πιπράσκοντες. εἰ γὰρ δή τι παρὰ ταῦτα γένηται, αὐτὸς μὲν ὁ τῆς ἐπαρχίας ἄρχων πᾶσαν τὴν ἐντεῦθεν προσγινομένην τοῖς ἠδικημένοις θεραπεύσει ζημίαν καὶ τιμωρίαις ὑποβληθεὶς ἐξορίᾳ παραδοθήσεται, καὶ ὁ τού-

12) Ven. δεδομ. 13) Ven. ἄρχοντας καὶ ἡγ. 14) Ven. ἢ omittit.

του δὲ πάρεδρος τὴν ὁμοίαν ὑποστήσεται τιμωρίαν, ἐὰν τοῖς γινομένοις παρὰ τοῦ ἄρχοντος ὑπεναντίον τῶν νόμων ἐγγράφως συναινέσῃ, καὶ ἡ τάξις δὲ αὐτοῦ καὶ οἱ ἄλλοι οἱ περὶ τὰ τοιαῦτα διὰ κέρδος ἴδιον αὐτῷ ὑπουργοῦντες οὐ μόνον τὰς ζημίας τοῖς ἠδικημένοις ἀναγκασθήσονται ἀποκαταστῆσαι, ἀλλὰ καὶ οἱ αἰτιώτεροι αὐτῶν ταῖς ἐκ τῶν νόμων τιμωρίαις ὑποβληθέντες ἐξορίᾳ παραδοθήσονται.

ε΄. Εἰ δέ τις τῶν ἐνεχομένων ἐγκλήμασι διαλάθοι ἢ καταλίπῃ τὴν ἐπαρχίαν ἐκείνην ἐν ᾗ τὰ ἐγκλήματα ἐπλημμέλησε, κελεύομεν νομίμοις κηρύγμασι παρὰ τοῦ ἄρχοντος καλεῖσθαι αὐτόν. καὶ εἰ μὴ ὑπακούσει, ἐκεῖνα ἐπ' αὐτῷ προϊέναι τὰ τοῖς ἡμετέροις νόμοις διωρισμένα· εἰ δὲ γνωσθῇ ὡς καθ' ἑτέραν ἐπαρχίαν διάγει, κελεύομεν τὸν τῆς ἐπαρχίας ἡγούμενον, καθ' ἣν ἁμαρτηθῆναί τι τοιοῦτο συμβαίη, ἐπιστολῇ δημοσίᾳ κεχρῆσθαι πρὸς τὸν τῆς ἐπαρχίας ἐκείνης ἄρχοντα, ἐν ᾗ τὸ πλημμελῆσαν πρόσωπον διάγει, ἐκεῖνον δὲ τὸν τὰ δημόσια δεχόμενον γράμματα κινδύνῳ αὐτοῦ καὶ τῆς τάξεως αὐτοῦ συνέχειν τὸν τοιοῦτον καὶ πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας αὐτὸν παραπέμπειν ἐν ᾗ ἥμαρτε τὰς ἀπὸ τῶν νόμων τιμωρίας ὑποστησόμενον. εἰ δὲ ὁ τὴν δημοσίαν ἐπιστολὴν δεχόμενος ῥαθυμήσει τοῦτο ποιῆσαι, ἢ οἱ τῆς τάξεως αὐτοῦ προδώσουσιν ἢ ἐπιτραπέντες ἀμελήσουσι, τηνικαῦτα καὶ αὐτὸν τὸν ἄρχοντα τρεῖς χρυσίου λίτρας καὶ τὴν τάξιν αὐτοῦ ἑτέρας τρεῖς ὑπὲρ ποινῆς καταβάλλειν κελεύομεν. εἰ δὲ ὁ ἄρχων ἤ τις τῶν τῆς τάξεως αὐτοῦ διὰ κέρδος τὸ τοιοῦτο πρόσωπον μὴ συσχῇ ἢ συσχὼν μὴ παραπέμψει καὶ τοῦτο πράξας ἐλεγχθῇ, γυμνωθεὶς τῆς ζώνης ἐξορίᾳ παραδιδόσθω.

ϛ΄. Καὶ τοῦτο δὲ κελεύομεν παραφυλάττεσθαι παρὰ πάσης ἀρχῆς, ἵνα ἐὰν συμβῇ ἔγγραφον ἡμετέραν κέλευσιν γενέσθαι πρός τινα τῶν ἀρχόντων καὶ ἐν τῷ μεταξὺ οὗτος παυθῇ τῆς ἀρχῆς, τὸν μετ' ἐκεῖνον παραλαμβάνοντα τὴν ἀρχὴν δέχεσθαι ταύτην καὶ ἐμφανίζειν, καὶ εἰ μὲν ἰδιωτικὸν

εἴη τὸ πρᾶγμα, καὶ πληροῦν αὐτὸ καὶ ἐπεξιέναι, ὡς ἂν εἰ πρὸς αὐτὸν ἔτυχε γεγραμμένη, εἰ δὲ τοιαύτη ἔγγραφος κέλευσις εἰς τὸ δημόσιον ὁρᾷ, ἐξετάζειν ταύτην, καὶ εἰ μὲν μὴ βλάπτεται τὸ δημόσιον, τὰ ἐν αὐτῇ περιεχόμενα πληροῦν, εἰ δὲ πρὸς βλάβην ἐστὶ τοῦ δημοσίου, μηδὲν ἐπ' αὐτῇ παντελῶς πράττεσθαι, μηνύειν δὲ εἰς ἡμᾶς πρῶτον, ὥστε δευτέραν ἡμῶν περὶ τούτου γίνεσθαι κέλευσιν. εἰ δὲ καὶ προστάξεις οἱουδήποτε ἄρχοντος εἴησαν, καὶ πρὶν ἐμφανισθῆναι ταύτας ἢ τὸν προστάξαντα ἢ πρὸς ὃν αἱ προστάξεις γεγόνασι συμβῇ ἀποκινηθῆναι τῆς ἀρχῆς, καὶ οὕτως ὁ γινόμενος ἄρχων ταύτας δεχέσθω, καὶ ἐκβιβαζέτω εἰ νομίμως γεγόνασιν· εἰ δὲ παρὰ τὸν νόμον ἢ κατὰ τοῦ δημοσίου ἐγένοντο, ταύτας ἀντὶ μηδὲ γεγραμμένων εἶναι κελεύομεν.

ζ'. Ἐπειδὴ δὲ καὶ τοιαύτην ἀσέβειαν ἐν διαφόροις τόποις τῆς ἡμετέρας πολιτείας ἔγνωμεν ἁμαρτάνεσθαι, ὅτι οἱ δανεισταὶ τὰ τέκνα τῶν χρεωστούντων τολμῶσι κατέχειν ἢ εἰς ἐνέχυρον ἢ εἰς δουλικὴν ὑπηρεσίαν ἢ μισθοῦν, τοῦτο πᾶσι τρόποις κωλύομεν[15]), καὶ κελεύομεν, εἴ τις τοιοῦτό τι πλημμελήσει μὴ μόνον ἐκπίπτειν αὐτὸν τοῦ χρέους, ἀλλὰ καὶ τοσαύτην ἄλλην ποσότητα καταδικάζεσθαι δοθησομένην[16]) τῷ κρατηθέντι παρ' αὐτοῦ ἢ τοῖς γονεῦσιν αὐτοῦ, καὶ μετὰ τοῦτο καὶ σωματικαῖς ποιναῖς αὐτὸν καθυποβάλλεσθαι παρὰ τῶν κατὰ τόπον ἀρχόντων, ἐπειδὴ πρόσωπον ἐλεύθερον ὑπὲρ χρέους ἐτόλμησε κατασχεῖν ἢ μισθῶσαι ἢ ἐνεχυριάσαι.

η'. Κἀκεῖνο δὲ συνείδομεν ὑπὲρ τῆς τῶν ὑποτελῶν ὠφελείας ἐπανορθῶσαι, ἵνα εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσει τῷ οἰκείῳ ἀνδρὶ ἢ ὑπογράψει καὶ τὴν οἰκείαν περιουσίαν ἢ καὶ ἑαυτὴν ἔνοχον ποιήσει[17]), κελεύομεν μηδὲν τοιοῦτον ἰσχύειν ἢ κρατεῖν, εἴτε ἅπαξ εἴτε πολλάκις τοιοῦτό τι ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται, εἴτε

15) Ven. λύομεν. 16) Ven. καταδικαζομένην δοθήσεσθαι. 17) Hal. ἢ ὑπογράφουσα — ποιήσουσα.

ἰδιωτικὸν εἴτε δημόσιον εἴη τὸ ὄφλημα, ἀλλ' οὕτως εἶναι ὡς ἂν εἰ μηδὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθείη, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδαπανήθη.

θ'. Ἀναγκαῖον δὲ νομίζομεν κἀκεῖνο προσηκούσῃ βοηθείᾳ ἐπανορθῶσαι, ἵνα μηδεμία γυνὴ περὶ οἱουδήποτε πράγματος χρηματικοῦ ἐξ οἱουδήποτε ἄρχοντος ἐγκλείηται ἢ φυλάττηται. ἀλλ' εἰ μὲν ὑπὲρ δημοσίων χρεῶν ἢ ἰδιωτικῶν ἐναχθείη κατὰ τὸν νόμον ἡ γυνὴ, ἢ διὰ τοῦ ἀνδρὸς ἢ δι' ἑαυτῆς ἢ δι' οἵου δ' ἂν βούλοιτο προσώπου νομίμως ἀποκρινέσθω, καὶ διοικείτω τὸ πρᾶγμα. εἰ δὲ καὶ χήρα εἴη ἢ μηδὲ τὴν ἀρχὴν ἀνδρὶ γαμηθεῖσα, ἐξέστω ὁμοίως τῇ γυναικὶ ἢ δι' ἑαυτῆς ἢ δι' ὧν ἂν βουληθείη τὰ οἰκεῖα προτιθέναι δίκαια κατὰ τὸν νόμον. τὸν δὲ παρὰ ταῦτα τολμῶντα πρᾶξαί τι τῶν προειρημένων κελεύομεν, εἰ μὲν μείζων ἄρχων εἴη, κ' χρυσίου λιτρῶν, εἰ δὲ ἥττων, ι' χρυσίου λιτρῶν ποινῇ ὑποκεῖσθαι, τοὺς δὲ ὑπουργοῦντας αὐτοῖς ἐπὶ ταῖς προειρημέναις ἀρχαῖς[18]) γυμνουμένους τῆς ζώνης βασάνοις ὑποβάλλεσθαι καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ ἡ γυνὴ μετὰ νόμιμον ὑπόμνησιν μὴ βουληθείη προβάλλεσθαί τινα τὸν ὑπὲρ αὐτῆς ἀποκρινόμενον ἢ καὶ δικασαμένη κατακριθῇ, μηδὲ οὕτως ἐγκλείεσθαι ἢ φυλάττεσθαι αὐτὴν, ἀλλὰ τὰ νόμιμα ἐπὶ τοῖς προσήκουσιν αὐτῇ πράγμασι προϊέναι. εἰ δὲ ἔγκλημα εἴη τὸ ἐπαγόμενον τῇ γυναικὶ, ἐφ' ᾧ ἀνάγκη ἐστὶν αὐτὴν φυλαχθῆναι, εἰ μὲν ἐγγυητὴν προσώπου δυνηθείη παρασχεῖν, αὐτῷ πιστευθῇ, εἰ δὲ ὀμόσει μὴ δύνασθαι δοῦναι ἐγγυητὴν, ἐξωμοσίαν ποιήσει περὶ τῆς εἰς τὸ δικαστήριον προσεδρείας. εἰ δὲ βαρύτατον εὑρεθείη τὸ ἔγκλημα, ἐφ' ᾧ κατηγορεῖται, εἰς μοναστήριον ἢ εἰς ἀσκητήριον ἐμ-

18) Leunclavius *αἰτίαις* legere voluit et ita Auth. interpres legisse videtur. in Syn. I, 9, 1 verba *ἐπὶ ταῖς προ. ἀρχαῖς* omittuntur. quid si dicamus *ἢ ταῖς προειρ. ἀρχαῖς* glossema esse ad praecedens *αὐτοῖς*?

βάλλεσθαι, ἢ γυναιξὶ παραδίδοσθαι αὐτὴν δι' ὧν δυνατὸν σωφρόνως καὶ ἐλευθερίως αὐτὴν φυλαχθῆναι ἕως οὗ τὸ πρᾶγμα αὐτῆς φανερωθῇ, τότε δὲ ἐκεῖνα προβαίνειν ἐπ' αὐτῇ τὰ τοῖς νόμοις διωρισμένα. οὐδεμίαν γὰρ γυναῖκα ὑπὲρ χρηματικῆς αἰτίας, δημοσίας ἢ ἰδιωτικῆς, ἢ ὑπὲρ ἐγκλήματος οἱουδήποτε ἢ εἰς φρουρὰν βάλλεσθαι συγχωροῦμεν ἢ δι' ἀνδρῶν φυλάττεσθαι, ἵνα μὴ διὰ τῶν τοιούτων ἀφορμῶν εὑρεθῶσι περὶ τὴν σωφροσύνην ὑβριζόμεναι. μονάστριαν μέντοι ἢ ἀσκήτριαν δι' οὐδεμίαν ἐναγωγὴν ἀφέλκεσθαι συγχωροῦμεν ἐκ τῶν οἰκείων μοναστηρίων ἢ ἀσκητηρίων.

ι'.[19]) Εἴ ποτε δὲ μοιχείας ἔγκλημα φανερῶς ἀποδειχθείη, κελεύομεν ἐκείνας τὰς ποινὰς τοῖς ἁμαρτάνουσιν ἐπάγεσθαι, ἃς Κωνσταντῖνος ὁ τῆς εὐσεβοῦς λήξεως διετύπωσε[20]), κἀκείνων τὰς ὁμοίας ὑπομενόντων ποινὰς, οἵτινες μέσοι ἢ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβεῖ ἐγκλήματι γεγόνασιν. ἐκ τῆς οὐσίας δὲ τοῦ μοιχοῦ εἰ ἔχοι γαμετὴν τὴν προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν αὐτῇ περισώζεσθαι, ἢ τὴν ἀπὸ τοῦ ἡμετέρου νόμου μοῖραν εἰ προικῷα συμβόλαια μὴ[21]) παρηκολούθησαν, τὴν δὲ λοιπὴν αὐτοῦ περιουσίαν, εἰ μέν εἰσι κατιόντες ἢ ἀνιόντες ἕως τρίτου βαθμοῦ, λαμβάνειν αὐτοὺς κατὰ τὰς τάξεις καὶ τοὺς βαθμοὺς, εἰ δὲ μή εἰσι τοιοῦτοί τινες, τῷ φίσκῳ προσκυροῦσθαι ταύτην κελεύομεν. τὴν δὲ μοιχευθεῖσαν γυναῖκα ταῖς προσηκούσαις ποιναῖς[22]) ὑποβαλλομένην ἐν μοναστηρίῳ ἐμβάλλεσθαι. καὶ[23]) εἰ μὲν εἴσω διετίας ἀναλαβεῖν αὐτὴν ὁ ἀνὴρ βουληθείη, ἐξουσίαν αὐτῷ δίδομεν τοῦτο πιεῖν καὶ συνοικεῖν αὐτῇ, μηδένα κίν-

19) Cap. 10 et 11 apud Hal. desunt, utpote in Flor. constitutioni CXLI inserta. 20) l. 30 §. 1 C. ad l. Iul. de adult. 9, 9. 21) Negationem Ven. omittit. 22) Incertus epitomator in Ἀνεκδ. p. 220: πληγαῖς (Auth. *vulneribus*), sed in Nom. XIV titt. alii πληγαῖς alii ποιναῖς. 23) Ven. in marg. περὶ γυναικὸς μοιχευθείσης καὶ στραφούσης μετὰ τοῦ ἀνδρὸς αὐτῆς.

δυνον ἐντεῦθεν εὐλαβουμένῳ μήτε διὰ τῶν ἐν μέσῳ γινομένων καταβλαπτομένου τοῦ γάμου. εἰ δὲ ὁ προειρημένος χρόνος παρέλθῃ ἢ ὁ ἀνὴρ πρὶν ἀναλαβεῖν τὴν γυναῖκα τελευτήσοι, κελεύομεν κουρεύεσθαι αὐτὴν καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν, καὶ οἰκεῖν ἐν τῷ αὐτῷ μοναστηρίῳ ἐπὶ ὅλον τὸν χρόνον τῆς οἰκείας ζωῆς. καὶ εἰ μὲν ἔχοι κατιόντας, τὰ δύο μέρη λαμβάνειν αὐτοὺς τῆς περιουσίας αὐτῆς κατὰ τὴν τῶν νόμων διαιρούμενα τάξιν, τὸ δὲ λοιπὸν τρίτον μέρος τῷ μοναστηρίῳ ἐν ᾧ ἐμβάλλεται δίδοσθαι, εἰ δὲ κατιόντες μὴ εἴησαν, ἀλλὰ ἀνιόντες εὑρεθῶσι μὴ συμπράξαντες τῷ τοιούτῳ ἀσεβήματι, τετραούγκιον αὐτοὺς κατὰ τὴν τοῦ νόμου τάξιν διαιρούμενον λαμβάνειν, τὰς δὲ ὀκτὼ οὐγκίας δίδοσθαι τῷ μοναστηρίῳ ἐν ᾧ ἐγκλείεται ἡ τοιαύτη γυνή. εἰ δὲ μήτε κατιόντας μήτε ἀνιόντας ἔχοι, ἢ καὶ ἀνιόντες συνέπραξαν τῇ τοιαύτῃ ἀσεβείᾳ, πᾶσαν αὐτῆς τὴν οὐσίαν λαμβάνειν τὸ μοναστήριον. ἐκείνου παραφυλαττομένου ὥστε δι᾽ ὅλων τῶν θεμάτων τῷ ἀνδρὶ τὰ σύμφωνα τὰ τοῖς προικῴοις[24]) ἐμφερόμενα συμβολαίοις φυλάττεσθαι.

ια΄. Ἐπειδὴ δέ τινες τὸν ἡμέτερον νόμον[24a]) παραβαίνειν σπουδάζουσιν, ἐν ᾧ ἰδικῶς τὰς αἰτίας ἀπηριθμησάμεθα, ἐξ ὧν μόνων ῥεπούδια δύναται πέμπεσθαι ἢ ἐκ τοῦ ἀνδρὸς ἢ ἐκ τῆς γυναικὸς, κελεύομεν παρ᾽ ἐκείνας τὰς αἰτίας μηδενὶ τρόπῳ ῥεπούδια γίνεσθαι ἢ ἐῤῥῶσθαι τὰ γινόμενα, ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα. εἰ δὲ παρὰ τὰς ἀφ᾽ ἡμῶν διωρισμένας αἰτίας τολμήσουσί τινες διαλύειν τὸν γάμον, κελεύομεν, εἰ μὲν κατιόντας ἔχοιεν εἴτε ἐξ αὐτοῦ εἴτε ἐξ ἄλλου γάμου, τὰς οὐσίας αὐτῶν ἐκείνοις δίδοσθαι κατὰ τὴν τῶν νόμων τάξιν, καὶ τόν τε ἄνδρα τήν τε γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῶν χρόνον, καὶ ἐκ τῆς ἑκάστου περιουσίας ἀνὰ τέσσαρας οὐγκίας τοῖς μοναστηρίοις

24) Ven. inter lineas γαμικοῖς. 24a) c. CXLI.

ἐν οἷς ἐμβάλλονται ἀφορίζεσθαι, τοῦ ἀνδρὸς δηλονότι μηδὲ χρῆσιν ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. εἰ δὲ κατιόντας μὴ ἔχοιεν, ἀλλὰ ἀνιόντες εὑρίσκονται, τὸ τρίτον μέρος τῆς οὐσίας λαμβάνειν αὐτοὺς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συνῄνεσαν, τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις ἐν οἷς ἕκαστος ἐμβάλλεται ἀφορίζεσθαι. εἰ δὲ μήτε κατιόντες μήτε ἀνιόντες εἶεν ἢ καὶ ἀνιόντες συνῄνεσαν τῷ γεγονότι, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις ἐν οἷς ἐνεβλήθησαν δίδοσθαι, ἵνα μὴ διὰ ταύτης τῆς περινοίας καὶ τὸ τοῦ θεοῦ κρίμα καταφρονηθείη καὶ ὁ ἡμέτερος νόμος παραβαθῇ. ἀλλὰ καὶ τοὺς ὑπουργοῦντας ταῖς τοιαύταις λύσεσι τῶν γάμων ἢ τὰ τοιαῦτα ἀθέμιτα συμβόλαια συντιθέντας ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι κελεύομεν καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπιχειρήσαντες βουληθῶσιν πάλιν ἑαυτοῖς συζευχθῆναι πρὶν ἐμβληθῶσι μοναστηρίοις, ἄδειαν αὐτοῖς δίδομεν τοῦτο ποιεῖν, καὶ τὰς προειρημένας ποινὰς συγχωροῦμεν αὐτοῖς καὶ τὰς ἰδίας περιουσίας ἔχειν καὶ οὕτως πρὸς ἀλλήλους ζῆν, ὡς ἂν εἰ μηδὲν τοιοῦτον ἡμαρτημένον ἐτύγχανεν. τοῦ ἑνὸς δὲ βουλομένου τὸν γάμον ἀνακαλέσασθαι εἰ μὴ συναινέσει τὸ ἕτερον πρόσωπον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. ταῦτα δὲ πάντα φυλάττεσθαι κελεύομεν ἔν τε τῇ βασιλίδι ταύτῃ πόλει καὶ ἐν ταῖς ἐπαρχίαις, διά τε τοῦ κόμητος τῶν πριβάτων καὶ τῆς τῶν παλατίνων σχολῆς καὶ τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων καὶ τῶν τάξεων αὐτῶν, εἰδότων αὐτῶν, ὡς εἰ ῥαθυμήσουσι τοιούτου τινὸς ἁμαρτανομένου καὶ μὴ ταῦτα παραφυλάξουσι, καὶ ἐξορίαν καὶ δήμευσιν ὑποστήσονται. ταῦτα δὲ αὐτὰ παραφυλάττειν κελεύομεν καὶ τοὺς κατὰ τόπον ὁσιωτάτους ἐπισκόπους, ὥστε προνοίᾳ αὐτῶν τὰ παραδιδόμενα πρόσωπα ἐν μοναστηρίοις ἐμβάλλεσθαι καὶ ἐκ τῶν πραγμάτων αὐτῶν τὰ παρ' ἡμῶν διορισθέντα τοῖς μοναστηρίοις παρέχεσθαι.

ιβ'. Εἴ τις δὲ κατηγορηθεὶς ἐπὶ μοιχείᾳ προδοσίᾳ τῶν

δικαστῶν ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ τὰς ἀπὸ τοῦ νόμου ποινὰς ἀποφύγοι, καὶ μετὰ ταῦτα εὑρεθείη τῇ γυναικὶ περὶ ἧς κατηγορήθη αἰσχρῶς συναναστρεφόμενος ἢ εἰς γάμον λαμβάνων αὐτὴν, καὶ τοῦτο γένηται ζῶντος τοῦ ἀνδρὸς ἢ καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν, οὐδὲ τὸν γάμον ἐῤῥῶσθαι κελεύομεν, ἀλλὰ καὶ τὸν τοιοῦτο πλημμελῆσαι τολμήσαντα, εἰ καὶ τὸ πρότερον διέφυγεν, ὅμως ἄδειαν δίδομεν παντὶ δικαστῇ καὶ συνέχειν αὐτὸν, καὶ μετὰ βασάνους ταῖς ἐσχάταις τιμωρίαις ὑποτιθέναι[25]), μηδεμιᾶς ἄλλης κατηγορίας ἢ ἀποδείξεως δεομένῳ· καὶ τὴν γυναῖκα σωφρονισθεῖσαν καὶ καρεῖσαν μοναστηρίῳ ἐμβληθῆναι κελεύομεν κἀκεῖ μένειν ἐπὶ ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτῆς, τὴν ἑκατέρου δὲ περιουσίαν κατὰ τὴν προειρημένην τάξιν διαιρεῖσθαι, κινδύνῳ καθὼς προείπομεν τοῦ τε κόμητος τῶν πριβάτων καὶ τῶν κατὰ τὸν τόπον ἀρχόντων.

ιγ΄. Ἐπειδὴ δὲ δεῖ ἡμᾶς τὴν τοῦ ἀνθρωπίνου γένους ἀσθένειαν σκοπεῖν[26]), τὰς εἰς σῶμα ποινὰς κατά τι μέρος ἐλαττοῦντες ἀπαγορεύομεν ἑκατέρας τὰς χεῖρας ἢ καὶ πόδας τέμνεσθαι, ἢ τοιαύτας τισὶν ἐπάγεσθαι τιμωρίας δι᾽ ὧν τὰ ἄρθρα διαλύονται, ἐπειδὴ ἡ τῶν ἄρθρων διάλυσις βαρυτέρα ἐστὶ τῆς ἑκατέρων τῶν χειρῶν ἐκτομῆς. διὸ κελεύομεν, εἰ μὲν τοιοῦτό τι ἁμαρτηθείη ἐξ οὗ οἱ νόμοι θάνατον τοῖς ἁμαρτάνουσιν ἐπάγουσιν, κατὰ τὴν τῶν νόμων δύναμιν ὑπέχειν αὐτὸν τὰς ποινὰς, εἰ δὲ τοιοῦτο εἴη τὸ ἔγκλημα ὥστε θανάτου ἄξιον μὴ εἶναι, ἄλλως αὐτὸν σωφρονίζεσθαι ἢ εἰς ἐξορίαν πέμπεσθαι, εἰ δὲ ἡ τοῦ ἐγκλήματος ποιότης μέλους ἀποτομὴν ἀπαιτήσει γενέσθαι, μίαν μόνην χεῖρα[27]) τέμνεσθαι. ὑπὲρ κλοπῆς δὲ οὐ βουλόμεθα παντελῶς οἱονδήποτε μέλος τέμνεσθαι ἢ ἀποθνήσκειν, ἀλλ᾽ ἑτέρως αὐτὸν σωφρονίζεσθαι. κλέπτας δὲ καλοῦμεν τοὺς λάθρα καὶ ἄνευ ὅπλων τὰ τοιαῦτα πλημμελοῦντας· τοὺς γὰρ βιαίως ἐπερχο-

25) Ven. *ἐπιτιθ.* 26) Hal. *σκέπειν*, accedente Auth.
27) Theod. *μία μόνον χεὶρ ἢ εἷς ποῦς ἀποτεμνέσθω.*

μένους ἢ μετὰ ὅπλων ἢ χωρὶς ὅπλων, ἐν οἴκῳ ἢ ἐν ὁδῷ ἢ ἐν θαλάσσῃ, τὰς ἀπὸ τῶν νόμων κελεύομεν ὑπομένειν ποινάς. ὥστε δὲ μὴ μόνον τὰς εἰς σῶμα ποινὰς, ἀλλὰ καὶ τὰς εἰς χρήματα μετριωτέρας γίνεσθαι, θεσπίζομεν, τοὺς ἐπὶ ἐγκλήμασι κατηγορουμένους[27a]), ἐφ' ὧν οἱ νόμοι δήμευσιν ἢ θάνατον ὁρίζουσιν, ἐὰν ἐλεγχθῶσιν ἢ κατακριθῶσι, τὰς αὐτῶν περιουσίας μὴ[28]) γίνεσθαι κέρδος τοῖς ἄρχουσιν ἢ ταῖς αὐτῶν τάξεσιν, ἀλλὰ μηδὲ κατὰ τοὺς παλαιοὺς νόμους τῷ δημοσίῳ αὐτὰς προσκυροῦσθαι, ἀλλ' εἰ μὲν ἔχοιεν κατιόντας, αὐτοὺς ἔχειν τὴν οὐσίαν χωρὶς τῶν διὰ τοῦ τοιούτου ἁμαρτήματος αὐτοῖς προσγενομένων, εἰ δὲ μὴ ὕπεισι κατιόντες, ἀλλ' ἀνιόντες ἄχρι τρίτου βαθμοῦ, αὐτοὺς ἔχειν. εἰ δὲ γαμετὰς ἔχουσιν οἱ οὕτως κατακριθέντες, πᾶσι τρόποις κελεύομεν ταύτας καὶ τὴν προῖκα καὶ τὴν γαμικὴν δωρεὰν λαβεῖν. εἰ δὲ καὶ δίχα προικὸς τοῖς τοιούτοις προσώποις συνῴκησαν, τὴν ἀπὸ τῶν ἡμετέρων νόμων ὁρισθεῖσαν μοῖραν ἐκ τῆς ὅλης οὐσίας τοῦ κατακριθέντος ταύτας λαμβάνειν, εἴτε τέκνα ἔχουσιν εἴτε καὶ μή. εἰ δὲ μηδένα τῶν προειρημένων ἔχοι ὁ πλημμελήσας, τότε τῷ φίσκῳ προσκυροῦσθαι τὴν ἐκείνου περιουσίαν βουλόμεθα. ἐπὶ μέντοι τοῖς καθοσιώσει κατακρινομένοις τοὺς παλαιοὺς νόμους φυλάττεσθαι κελεύομεν.

Προνοησάτω τοίνυν ἡ σὴ ἐνδοξότης[28a]) τὸν παρόντα θεῖον ἡμῶν νόμον κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν προθεῖναι, καὶ στεῖλαι κατὰ τὰς ἐπαρχίας καὶ καταφανῆ ποιῆσαι τοῖς τούτων ἡγουμένοις, ἐφ' ᾧ πάντας τοὺς ὑπηκόους μαθεῖν ὅσην αὐτῶν ποιούμεθα πρόνοιαν. Dat. Kal. Maii Constantinop. DN. Iustiniano PP. Aug. [ann. XXX. post] Basilii V. C. cons. [ann. XV].[29])

27a) τῶν — κατηγορουμένων? 28) Negatio in Ven. deest. 28a) Nempe ad Petrum P. P. hic epilogus pertinet. 29) Uncis inclusa, quae in Ven. deerant, ex Iul. supplevi. Theod. μετὰ τὴν ὑπατείαν βασιλείου ιϛ' ἔτει.

Nov. 135.

CLXVII.

Bas. IX, 5, 18. — Summae: Ath. XVI, 4, Theod. Nov. 135 et incerti epitomatoris in Ἀνέκδ. meis p. 220.

Περὶ τοῦ μὴ ἀναγκάζεσθαί τινας ἐκστασίῳ[1]) χρήσασθαι.[2])

Ὅσα τὸ θεῖον ἐξευμενίζεσθαι ὑφ' ἡμῶν προτρέπεται, ταῦτα ἐπὶ τοῖς ὑπηκόοις αὐξάνεσθαί τε καὶ διαλάμπειν ἀγωνιζόμεθα. Ζωσάριός τις ἐκ τῆς Μυσῶν ἐπαρχίας καθεστὼς[3]) σὺν δάκρυσι δεηθεὶς ἡμῶν ἐδίδαξεν, ὡς ἐπὶ χρήμασι δημοσίοις τε καὶ ἰδιωτικοῖς μεθοδείαν ὑπομένων ὑπὸ τοῦ τῆς χώρας λαμπροτάτου ἄρχοντος ἐπὶ ὕβρει καὶ μόνῃ (οὐ γὰρ ἐπὶ τῶν χρημάτων πέπονθε περσεκουτίονος[4]) ἐπιδίδοσθαι λιβέλλους τῶν οἰκείων πραγμάτων αὐτοῦ), ὅπερ ἀδικώτατον καὶ τῶν ἐν κεφαλαίοις λυπηρῶν καθέστηκε. ποῦ γὰρ δίκαιον, τὸν ἅπαξ ἐκ τοῦ συμβεβηκότος καὶ οὐ ῥαθυμίᾳ παραδεδομένῃ ἐκτὸς τῶν αὐτοῦ γεγονότα αὖθις ἀσχήμονα τὸν βίον ἑαυτῷ περιτιθέναι, καὶ τῆς ἐφημέρου τροφῆς ὡς εἰκὸς τῆς τε τοῦ σώματος σκέπης ἔξω βιαίως καταστῆναι;

α'. Ταῦτα μαθόντες, καὶ τῷ κρείττονι τὸ χεῖρον διορθώσασθαι πρὸς θεραπείαν τοῦ τε[5]) ἀγαθοῦ τῶν ἁπάντων θεοῦ καὶ τὸ[5a]) μή τι θλιβερὸν ἐπὶ[6]) ἡμῶν πολιτεύεσθαι

1) Ath. ἐκστάσει. 2) Idem addit καὶ τὰ ἑξῆς. — Ven. notat ὁμοίως βι. θ' τοῦ κώδ. τί. δ' ἐν τέλει (scil. c. 6 §. 7) καὶ νεαρὰ γ' καὶ δ' (lege δ' κεφ. γ') (nobis const. XI). 3) Sic Flor. Ven. ἑστὼς, quod cum σὺν δάκρυσι iungendum erit. 4) Sic Ven. et Flor. qui supra lineam ἀπαιτήσεως adscribit. sed nec πέπονθε ἐπιδίδοσθαι bene dicitur, nec persecutionis vocabulum hoc loco aptum esse videtur. quid si legamus πέποιθε (ut habet Hal.) προφεσσίονος (cf. l. 6 C. qui bonis cedere 7, 71), ut sensus sit: neque enim persuadere ei poterat ut professionis libellos de rebus suis ob debita pecuniaria ista ederet? 5) Abundat. 5a) Ven. et Flor. τοῦ. 6) Ven. παρ'. forte παρ' ἡμῖν.

προθυμηθέντες, θεσπίζομεν, μηδενὶ ἐξεῖναι τῶν ἐνδοξοτάτων ἢ μεγαλοπρεπεστάτων ἀρχόντων ἐκστασίου πράγματος χάριν ἀνάγκην ἐπάγειν τινὶ τῶν τὰς εὐθύνας ἐπὶ ταῖς εἰρημέναις χρείαις (ἐπὶ χρήμασι τυχὸν δημοσίοις ἢ ἰδιωτικοῖς)[7]) ὑπομενόντων, ἢ τοιουτοτρόποις αἰκισμῶν[7a]) κεχρῆσθαι προφάσεσιν, ὡς ἂν αὐτοὺς τῆς τοῦ σώματος φειδομένους τιμωρίας αἱρεῖσθαι μᾶλλον τὴν τῶν ἰδίων στέρησιν δέχεσθαι, καὶ μὴ[7b]) σὺν τῷ τῆς ἀπορίας ζυγῷ καὶ τῷ τῆς ἀσχημοσύνης πιέζεσθαι μέχρι θανάτου ὀνειδισμῷ. ὅρκον δὲ πρὸς τῶν προσκυνητῶν παρέχειν λογίων ὡς οὔτις[8]) αὐτῷ πρόφασις πραγμάτων χάριν ὑπολέλειπται ἢ χρυσίου ὅθεν τὴν τοῦ χρέους ποιήσεται πλήρωσιν. εἰ δὲ δίκαια αὐτῷ τινα ὁ νόμος ἢ ἀπὸ κληρονομίας ἢ δωρεᾶς συγγενῶν δίδωσι κινητῶν ἢ ἀκινήτων πραγμάτων, καὶ τούτων ἔτι ἐντὸς μὴ κατέστη, ἁρμόζειν δὲ αὐτῷ φαίνεται, καὶ δυνατὸν μέρος ἐξ αὐτῶν ἢ καὶ τὸ ὅλον τοῖς ὀφειλομένοις συνάξαι (δίχα μέντοι τῶν τῆς γαμετῆς πραγμάτων, τῇ ἀληθείᾳ εἴπερ διαφέρει αὐτῇ), τοῦτο γίνεσθαι καὶ ἄδειαν εἶναι τοῖς ὀφειλομένοις οἰκειοῦσθαι τὰς τοιαύτας ἀγωγὰς καὶ εἰς πρόσωπον τοῦ ποτε τῶν δικαίων κυρίου τὰς ἐναγωγὰς ποιεῖσθαι, εἴτε[9]) πάρεστιν ὁ ὀφειλέτης εἴτε καὶ μή, καὶ εἰς πρόσωπον αὐτοῦ ἁπλῶς εἰπεῖν τοῦ ὑπευθύνου ἐπὶ τῇ τοιαύτῃ ἐναγωγῇ ἢ ἐκδικήσει τῶν πραγμάτων καθεστάναι.

Ἡ σὴ τοιγαροῦν ἐπιμελὴς καὶ φιλάρετος μεγαλοπρέπεια[9a]) τὰ οὕτως ἡμῖν εὐσεβῶς παραστάντα παραφυλαξάτω,

7) Quae uncis inclusa sunt Flor. non habet. 7a) Flor. *αἰκισμοῖς*. 7b) *μὴν*? (coniecit Rob. Schneider.) 8) Ven. Flor. Bas. *οὐδείς*. 9) Athan. *εἴτε καταδέχονται τοὺς κλήρους ἢ τὰς δωρεὰς ἐκεῖνοι εἴτε καὶ μή, καὶ εἴτε πάρεισιν κτλ.* unde nonnulla excidisse in Ven. et Flor. videntur. 9a) Sic fere praesides vel comites imperator alloquitur: cf. c. XX. XLVII. CXXXIX. quid si ad praetorem Thraciae constitutionem datam esse dicamus? nam de Bono quaestore Iustiniano exercitus cogitari non potest, quippe cui *ὑπεροχῆς* vel *ἐνδοξότητος* appellatio competeret. cf. c. LXVII.

δέκα χρυσίου λιτρῶν ἐπιτίμιον τῷ[10]) *παραβαίνειν τὶ τῶν ἐπὶ τούτοις παρ' ἡμῶν θεσπισθέντων τολμῶντι*[11]) *ὁρίζουσα. οὐδὲ γὰρ κινδύνου χωρίς, ἀλλὰ καὶ περὶ τὴν σωτηρίαν οὗτος ἐπαχθήσεται τοῖς ἕως ἐνθυμήσεως ψιλῆς παρασαλεύειν τὰ δικαίως παρ' ἡμῶν διὰ τοῦδε τοῦ θείου νόμου τετυπωμένα ἐπιχειροῦσι.* D. VI Kal. Mart.[12]) CP. imp. DN. Iustiniani PP. Aug. anno XXX post cons. Basilii v. c. anno XVI.[13])

CLXVIII.

Servata in Cod. Vindob. latino 2160, primum edita a Bienero in Zeitschr. f. gesch. RW. V p. 352.

LEX[1]) QUAE DATA EST PRO DEBITORIBUS IN ITALIA ET SICILIA.

In nomine domini nostri Iesu Christi Imperator Caesar Flavius Iustinianus Alanicus Gothicus Francicus Germanicus Guandalicus Africanus pius felix inclitus victor ac triumphator Augustus Narsi Panfronio[2]) et Senatui.

Cum semper decursio barbarici temporis in[tuitu] novarum rerum et veteris iuris[3]) legibus occasionem prae-

10) Ven. *τοῖς*. 11) In Ven. *τολμ.* excidit, sed lacuna relicta est. 12) Ven. D. KVUMAR. legendum transposita litera K: VI (vel VII) K. Mart., ut habet Ath. *πρὸ ϛ' καλ. μαρτ.* (Theod. *μηνὶ μαρτίῳ*). 13) Ven. Bilisar. v. c. cons. Ath. *βασιλείας ἰουστινιανοῦ .... μετὰ τὴν ὑπατείαν ....* Theod. *ἔτει λῆς* (sic) *βασιλείας ἰουστινιανοῦ.* anni imperii in subscriptionibus nonnisi inde ab anno 538 propter const. LXVI adscribuntur; quos quum Ath. et Theod. exhibeant, Veneti lectio reiicienda est. apud Theod. *ἔτει λ' τῆς βασ.* legendum esse putavi, quodsi *ἔτει λη' βασιλείας* legere malueris, nihil obstat.

1) Cod. LX. 2) *Παμφρόνιον* Romae Patricium Narsis tempore habet Menander in Exc. ed. Paris. p. 124. 133. 3) Cod. in novarum rer. et veteribus.

beat[4]) promulgandis, generalibus hominum difficultatibus communi remedio subvenire necesse est. universae quidem Italiae nobis oblatae[5]) preces generaliter commoverunt foeneraticiis pecuniis reddendis aliquod iam renuere, postulantes remedium, ne per communes calamitates et reditibus propriis fraudentur[6]), et debiti impossibili solutioni succumbant.[7]) talibus itaque precibus annuentes praesente lege[8]) sancimus, ut per universam Italiam atque Siciliam pro mutuis pecuniis, quae usque ad nuper factam incursionem Francorum datae[9]) noscuntur, post redditam perfectam pacem Italiae expleto quinquennio, tunc aut media pars creditae sortis creditoribus offeratur, aut medietatem[10]) suae substantiae, si hoc elegerit debitor, offerat creditori, usura[11]) videlicet a die[12]) crediti usque ad completum quinquennium [in] istis contractibus omnimodo cessante.[13]) si quae autem[14]) pignora pro debito data per clades Italiae perierunt, rei communem eventum tam debitor quam creditor sentiat, ut nec creditor pro mutuis pecuniis convenire[15]) nec debitor possit actiones exercere pigneraticias. si vero pignora exstant, debitae etiam sortis pro integris pignoribus solutio[16]) celebretur. quodsi pars pignorum salva inveniatur, pro rata portione sortis etiam pars[17]) creditorem sequatur. si quis vero datorum[18]) pignorum magnitudinem occasione[19]) barbaricae [incursionis][20]) lucri causa supprimere aut celare voluerit, et hoc a debitore comprobari[21]) potuerit, amisso

4) Cod. praebeant. 5) Cod. nos oblata. 6) Cod. reditum — fraudetur. 7) Cod. solutionem succumbeat. 8) Cod. praesentem legem. 9) Cod. data. 10) Cod. medietatis. 11) Cod. usuras. 12) Cod. audiet. 13) Cod. cessantem. 14) Cod. si qua utrum (vel iterum). 15) Cod. conveniri. 16) Cod. solatio. 17) Cod. ratam portionem — partem. 18) Cod. actorum. 19) Cod. occa-sionem. 20) Cod. barbarici. 21) Cod. comprobare.

debito pignora reddere compellatur. hi vero, qui necessitate debiti faciente[22]) beneficia vel usuras[23]) in capite debiti redigunt, quod etiam bonis temporibus fieri leges minime patiuntur, per hanc sanctionem huiusmodi fraudentur augmento[24]), ita videlicet, ut quidquid etiam de usuris et beneficiis confert...[25]).

CLXIX.

Servata est in Cod. Utinensi et ex eo edita ab Haenelio. vide Iulian. ed Haenel p. 225 sq.

IMP. FL. IUSTINIANUS ALAMANNICUS GOTTICUS FRANCICUS GERMANICUS ANTICUS ALANICUS VANDALICUS AFFRICANUS PIUS FELIX INCLITUS VICTOR AC TRIUMFATOR[1]) SEMPER AUGUSTUS IOHANNI P. P. PER AFRICAM.[2])

Cognitum nobis est quod quidam in provincia Africana non adtendentes iussiones nostras[3]), quas pro repetitione[4]) fecimus rusticorum, calumniam exercere non cessant, repetentes colonos vel rusticos[5]) vel filios eorum, qui ex propriis rebus ante adventum felicissimi exercitus exisse monstrantur[6]), sed et clericos in officiis ecclesiasticis constitutos ex iure colonatus sollicitare non cessant: scimus enim nos pro hac causa sacros apices promulgasse, quibus definivimus tempus[7]) ex quo debere[8]) repetitiones fieri rusticorum sive rusticarum. iubemus ergo

22) Cod. necessitatem — facientem. 23) Cod. usura. 24) Cod. augmentum. 25) Reliqua desiderantur. post Francorum incursionem pax Italiae reddita est anno 555. itaque paulo post constitutio data est.

1) Cod. triūfator. 2) Cod. africa. Ioannem ἄρχοντα ἀφρικῆς commemorat Theophanes ad a. 562. 3) Const. CLX. 4) Cod. repetitiones. 5) Cod. colonas vel rusticas. 6) Cod. monstratur. 7) Cod. tempore. 8) debeant?

magnitudinem tuam has calumnias repetitionis modis omnibus in Africanis regionibus amputare, et nulli[9]) permittimus colonorum statum in viris aut[10]) in mulieribus vel filiis eorum sibimet vindicare nisi ex tempore quo sicut diximus felicissimus noster exercitus Africanam provinciam auxiliante Deo[11]) nostro imperio vindicavit, clericorum autem repetitiones quo tempore[12]) nostris apicibus statuimus fieri iubemus nec ulterius dilatari: veternosas enim lites et contentiones non patimur protelari.[13]) quum autem cognovimus viros eloquentissimos supradictas iussiones nostras generalibus legibus non praeferre, iubemus tam praeteritas iussiones quas pro hac causa promulgavimus quam hanc praesentem iussionem in Africanis regionibus legis vicem obtinere et nulla praescriptione[14]) legum generalium submoveri: sed [et] edictis a tua magnitudine propositis innotescere, ut sciant omnes Africani populi sub qua temporis cautela suas debeant pro repetitione[15]) colonorum vel colonarum sive clericorum exercere actiones: poena quinque librarum auri qui contra hanc iussionem[16]) venire temptaverint feriendis. divinitas te servet per multos annos. *Dat. X K. Octobris*[17]) *Chalcedone*[18]) *imp. Domino Iustiniano Aug. anno XXXII*[19]) *[post] cons. Fl. Basilii v. c. anno XVII*[20]) *ind. VII.*

9) Cod. nullam. 10) Cod. tam. 11) Cod. dño. 12) Cod. quia tempus. 13) Cod. protelas. 14) Cod. nullam praescriptionem. 15) Cod. repetitiones. 16) Cod. iussione. 17) Cod. Octubris. 18) Cod. Calcedona. 19) Haenel notat „Incertum quid scriptum sit: palluit numerus. lege XXX." Imo a. XXXII. 20) Cod. XVI.

Nov. 142.

CLXX.

Absque prologo et epilogo repraesentatur in Basil. LX, 51, 67. — Summas habent Athan. XVIII, 8 et Theod. Nov. 142.

Περὶ τῶν εὐνουχιζόντων.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Μαρθάνῃ.[1])

Αἱ παρὰ τῶν πρὸ ἡμῶν βεβασιλευκότων ὁρισθεῖσαι τιμωρίαι κατὰ τῶν εὐνουχίζειν τολμώντων πᾶσι δῆλαι τυγχάνουσιν. ἐπειδὴ δέ τινες καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας ἐτόλμησαν ὅλως πρὸ φανεροῦ χρόνου τὸ τοιοῦτον ἀσεβὲς ἁμάρτημα διαπράξασθαι, διὰ τοῦτό τινες μὲν ἐξ αὐτῶν ἀξίας δεδώκασι ποινὰς, ἕτεροι δὲ μετὰ τὸ τιμωρηθῆναι καὶ ἐν ἐξορίᾳ ἐπέμφθησαν. ἐπειδὴ τοίνυν οὐδὲ οὕτως τῆς ἀνοσίας ἀπέσχοντο πράξεως, ἀλλ' εἰς πλῆθος ἐξῆλθε τὸ τοιοῦτον μῦσος, ὡς διαφόρως ἀπὶ πολλῶν ὀλίγους περισωθῆναι[2]), *καὶ τοσοῦτον, ὅτι καί τινες ἐξ αὐτῶν τῶν περισωθέντων ἐπ' ὄψεσιν ἡμετέραις κατέθεντο ὅτι ἀπὸ ἐνενήκοντα μόλις τρεῖς περιεσώθησαν, τίς οὕτως περιφρονεῖ τῆς ἰδίας σωτηρίας, ὥστε παριδεῖν καὶ ἀνεκδίκητα ταῦτα καταλιπεῖν; εἰ γὰρ οἱ ἡμέτεροι νόμοι τοὺς ξίφος κατά τινος σύροντας τιμωρίαις ὑποβάλλουσι, πῶς ἔχωμεν παριδεῖν οὕτως ἀδεῶς γινομένους φόνους καὶ πρᾶγμα γινόμενον ἐναντίον τε τοῦ θεοῦ καὶ τῶν ἡμετέρων νόμων; ἀναγκαῖον οὖν ἡγησάμεθα τοῖς τὰ τοιαῦτα τολμῶσι διὰ τοῦ παρόντος νόμου ἀκριβέστερον ἐπεξελθεῖν.*

1) Ath. *Μαρθανῇ κόμητι πριβάτων.* Alemannus ad Procop. hist. arc. cap. 29 notat: „In epistola Iustiniani et actis synodi Mopsvestenae Marthanii; unde colligitur anno imperii Iustiniani XXIV in Cilicia fuisse; nam Mopsvestia oppidum est secundae Ciliciae, ubi concilium adversus Theodorum celebratum est, cui M. iussu Caesaris interfuit." Ven. post inscriptionem notat: *βι. α' τοῦ κώδ. τὶ. μβ' διατ. α'.*
2) Flor. *περιδιασωθ.*

α΄. Θεσπίζομεν τοίνυν τοὺς ἐν οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας εὐνουχίζειν τολμῶντας ἢ καὶ τολμήσαντας[3]) *οἱονδήποτε πρόσωπον, εἰ μὲν ἄνδρες εἶεν οἱ τοῦτο τολμήσαντες ἢ καὶ τολμῶντες, ταὐτὸ τοῦτο παθεῖν ὃ πεποιήκασι, καὶ εἰ περισωθεῖεν τὰ πράγματα αὐτῶν τῷ δημοσίῳ προσκυροῦσθαι διὰ τοῦ κατὰ καιρὸν τὴν*[4]) *τῆς σῆς ἐνδοξότητος ἀνύοντος ἀρχὴν, κἀκείνους ἐν Γύψῳ πέμπεσθαι ὀφείλοντας τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν χρόνον ἐκεῖ*[5]) *εἶναι. εἰ δὲ γυναῖκες ὦσιν αἱ τοῦτο ποιοῦσαι, καὶ ταύτας τιμωρεῖσθαι, καὶ τὰ πράγματα αὐτῶν διὰ τοῦ κατὰ καιρὸν τὴν αὐτὴν ἀνύοντος ἀρχὴν τῷ δημοσίῳ προσκυροῦσθαι καὶ εἰς ἐξορίαν πέμπεσθαι, ἵνα ἐξ ἧς ἐνόμισαν ἢ νομίζουσιν ἀσεβείας κέρδος ἑαυτοῖς περιποιεῖν, ἐξ αὐτῆς τιμωρίαν καὶ ἔκπτωσιν τῶν ἰδίων πραγμάτων ὑποστῶσιν. τοὺς μέντοι ἐπιτάξαντας καὶ ἐπὶ τούτῳ πρόσωπα παραδεδωκότας, ἢ καὶ οἴκους ἢ τόπον τινὰ ἐπὶ τούτῳ παρασχομένους ἢ καὶ παρέχοντας, εἴτε ἄνδρες εἶεν εἴτε γυναῖκες, τὰς αὐτὰς κελεύομεν ὑποστῆναι τιμωρίας ὡς συνίστορας γενομένους τῆς ἀδίκου ταύτης πράξεως.*

β΄. Αὐτοὺς δὲ τοὺς εὐνουχισθέντας ἐχρῆν μὲν ἀπὸ παλαιοτέρων χρόνων[6]), *πλὴν κελεύομεν, ὥστε τοὺς ἀπὸ τῆς* duodecimae indictionis[7]) *τοῦ νῦν παρελθόντος*[8]) *κύκλου εὐνουχισθέντας παρ' οὑτινοσοῦν ἐν τόποις τῆς ἡμετέρας πολιτείας ἐλευθέρους εἶναι, καὶ κατὰ μηδένα τρόπον οἱου-*

3) Ita Flor. Ven. *τολμήσοντας.* sed mox *τολμήσαντες ἢ καὶ τολμ.* et *ἐνόμισαν ἢ νομίζουσιν* et *παρασχομένους ἢ καὶ παρέχοντας.* 4) Ven. articulum omittit. 5) Flor. *ἐκεῖσε.* quod fortassis praestat, quia *ἐκεῖ εἶναι* durius esse videtur. 6) Videtur verbum excidisse, forte *ἐλευθεροῦσθαι.* 7) Ven. duodecimae nduae *ἐπινεμήσεως*, addens supra lineam: *δεκάτης ἐπινεμήσεως.* Flor. *ἀπὸ δεξίμια.* legendum „duodecimae indictionis." nempe qui *longo tempore* ante castrati fuerunt, eos in libertatem pervenire imperator noluit. 8) Flor. (cum Bas.) *ἐπελθόντος.*

δήποτε εἴδους συναλλάγματος[9]) εἰς δουλείαν καθέλκεσθαι, μηδὲ συμβόλαιον ἐπ' αὐτοῖς ἀγοραῖον ἢ ἰδιόχειρον καθ' οἱονδήποτε τρόπον ἢ κατὰ περίνοιαν γινόμενον ἢ καὶ γενησόμενον κρατεῖν, ἀλλὰ μηδὲ τὰς λεγομένας ἀνακρίσεις ἐπὶ τοῖς τοιούτοις γίνεσθαι προσώποις ἢ γινομένας κρατεῖν· ἀλλὰ καὶ πάντας τοὺς τοιούτοις συναλλάγμασι τὸ λοιπὸν ὑπουργοῦντας τὰς ἀνωτέρω εἰρημένας κελεύομεν ὑποστῆναι ποινάς. εἰ μέντοι διὰ πάθος συμβῇ δοῦλον εὐνουχισθῆναι, κἀκεῖνον κελεύομεν τῆς ἐλευθερίας τυγχάνειν· οἱ γὰρ ἐξ ἀρχῆς ὄντες ἐλεύθεροι πάθει ὡς εἰκὸς τοιούτῳ περιπίπτοντες ἑαυτῶν ἔχουσιν ἐξουσίαν, ἣν ἂν θέλωσι θεραπείαν ἑαυτοῖς προσάγειν. τοὺς εὐνουχισθέντας τοίνυν ἀπὸ τοῦ μνημονευθέντος χρόνου ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ παρ' οἱῳδήποτε προσώπῳ ὄντας κελεύομεν ἀναζητηθῆναι, καὶ ἐλευθέρους εἶναι καὶ μηδέποτε εἰς δουλείαν τούτους καθέλκεσθαι. εἰ μέντοι θαῤῥήσουσί τινες ἐξ αὐτῶν τῶν εὐνουχισθέντων τινὰς μετὰ τὸν παρόντα ἡμῶν ἐπισχεῖν νόμον, δίδομεν ἄδειαν καὶ αὐτοῖς τοῖς εὐνουχισθεῖσιν ὡς ἅπαξ ἐλευθερίας ἐκ τοῦ παρόντος ἡμῶν τυχοῦσι νόμου, ἐνταῦθα μὲν τῇ τε βασιλείᾳ προσιέναι τῷ τε κατὰ καιρὸν ἁγιωτάτῳ πατριάρχῃ καὶ τοῖς ἐνδοξοτάτοις ἡμῶν ἄρχουσι προσαγγέλλειν, ἐν δὲ ταῖς ἐπαρχίαις τοῖς κατὰ τόπον ὁσιωτάτοις ἐπισκόποις καὶ τοῖς τούτων ἄρχουσιν, ἐφ' ᾧ προνοίᾳ πάντων τῶν ἡμετέρων ἀρχόντων καὶ κινδύνῳ τῶν πειθομένων αὐτοῖς τάξεων εἴτε ἐν Κωνσταντινουπόλει εἴτε ἐν ἑτέρῳ οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας τούτους ἐκδικεῖσθαι, καὶ φυλάττεσθαι τὴν ἐκ τοῦ παρόντος ἡμῶν νόμου διδομένην[10]) αὐτοῖς ἐλευθερίαν. παριδεῖν γὰρ φόνους τοσούτους γινομένους κατὰ πρόφασιν τῶν τὰ τοιαῦτα τολμώνταν ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ οὐδαμῶς ἀνεχόμεθα. εἰ γὰρ βάρβαροι ἀκούσαντες τῶν ἡμε-

9) Ven. οἱονδήποτε εἶδος συναλλάγματος. Flor. οἱονδ. εἴδους συναλλάγματι. 10) Flor. δεδομ.

τέρων περὶ τούτου παραγγελιῶν ταύτας ἐφύλαξαν, πῶς ἂν ἡμεῖς συγχωρήσωμεν[11]) μετὰ τοσαύτας τῶν πρὸ ἡμῶν βεβασιλευκότων νομοθεσίας τοιοῦτόν τι ἁμαρτάνεσθαι ἢ ἀνεκδίκητον ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ καταλιμπάνεσθαι;

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου γενικοῦ δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης ἐνταῦθά τε καὶ κατὰ χώραν πράξει καὶ παραφυλάξει. Dat. XV. K. Dec.[12]) CP.[13]) DN. Iust. PP. Aug. [anno XXXII post] Basilii V. C. Cons. [anno XVII].[14])

CLXXI.

Nov. 141.

Summam praestat Theod. Nov. 141.

Ἔδικτον Κωνσταντινουπολίταις Ἰουστινιανοῦ περὶ ἀσελγαινόντων.

Τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ ἀγαθότητος ἀεὶ μὲν πάντες δεόμεθα, μάλιστα δὲ νῦν, ὅτε διὰ τὸ πλῆθος τῶν ἡμαρτημένων ἡμῖν πολυτρόπως αὐτὸν παρωργίσαμεν. καὶ ἠπείλησε μὲν καὶ ἔδειξεν ὧν ἄξιοι κατὰ τὰς ἡμετέρας ἁμαρτίας ἐσμὲν[1]), ἐφιλανθρωπεύσατο δὲ καὶ ἀνεβάλετο τὴν ὀργὴν ἀναμένων τὴν ἡμετέραν μετάνοιαν, ὡς μὴ βουλόμενος τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν, ἀλλὰ τὴν ἐπιστροφὴν

11) Flor. et Bas. *συγχωρήσαιμεν*. non male. 12) Ath. simpliciter *καλ. δεκεμβρ.* Theod. ut assolet *μηνὶ δεκεμβρίῳ*. 13) Ath. *ἐν τῷ σέπτιμο.* videatur Ducangii Constantinop. Christ. ed. Paris. p. 126, ubi habetur de Hebdomo disquisitio topographica. 14) Ven. uncis inclusa non habet. addidi ex Theod. cui fidem facit quod mensis December anni XXXII imperii Iustiniani cum anno XVII p. c. Basilii apprime convenit. cf. etiam not. 7. Athan. annum imperii non habet, et *μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ιδ´* scribit.

1) Terrae motum qui hoc tempore accidit imperator indicare videtur.

καὶ τὴν ζωήν. οὐ δίκαιον οὖν πάντας[2]) *ἡμᾶς καταφρονῆσαι τοῦ πλούτου τῆς χρηστότητος καὶ τῆς ἀνακοχῆς καὶ τῆς μακροθυμίας τοῦ φιλανθρώπου θεοῦ, ἵνα μὴ κατὰ τὴν σκληρὰν καὶ ἀμετανόητον ἡμῶν καρδίαν θησαυρίσωμεν ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, ἀλλὰ πάντας μὲν τῶν πονηρῶν ἐπιτηδευμάτων καὶ πράξεων ἀποσχέσθαι, μάλιστα δὲ τοὺς τῇ μυσαρᾷ καὶ θεῷ μεμισημένῃ δικαίως ἀνοσίᾳ πράξει συνσαπέντας, λέγομεν δὴ τὴν τῶν ἀῤῥένων φθορὰν*[3]), *ἣν ἀθέως τολμῶσί τινες ἄῤῥενες ἄῤῥεσι*[4]) *τὴν ἀσχημοσύνην κατεργαζόμενοι.*

α΄. Ἴσμεν γὰρ ἐκ τῶν θείων γραφῶν διδασκόμενοι, ποίαν ὁ θεὸς κόλασιν δικαίαν ἐπήγαγε τοῖς ἐν Σοδόμοις πρῴην οἰκήσασι διὰ τὴν περὶ τὴν μίξιν ταύτην μανίαν, ὥστε μέχρι νῦν[5]) *ἐκείνην τὴν γῆν ἀσβέστῳ πυρὶ κατακαίεσθαι, τοῦ θεοῦ διὰ τούτου παιδαγωγοῦντος ἡμᾶς ὥστε τὴν ἀνοσίαν ταύτην ἀποστρέφεσθαι πρᾶξιν. ἴσμεν δὲ πάλιν, οἷα περὶ τῶν τοιούτων ὁ θεῖος ἀπόστολος λέγει, οἷά τε οἱ τῆς πολιτείας διαγορεύουσι νόμοι. ὥστε πάντας ὀφείλειν τῷ τοῦ θεοῦ προσέχοντας φόβῳ ἀποσχέσθαι τῆς τοιαύτης ἀσεβοῦς καὶ ἀνοσίας πράξεως, ἣν οὐδὲ ἐν ἀλόγοις ἁμαρτανομένην ἐστὶν εὑρεῖν, καὶ τοὺς μὲν μηδὲν ἑαυτοῖς συνειδότας τοιούτους*[6]) *φυλάττειν ἑαυτοὺς καὶ πρὸς τὸν ἔπειτα χρόνον, τοὺς δὲ ἤδη συνσαπέντας τούτῳ τῷ πάθει, μὴ μόνον παύσασθαι τοῦ λοιποῦ, ἀλλὰ καὶ μετανοῆσαι δικαίως καὶ τῷ θεῷ προσπεσεῖν, καὶ προσαγγεῖλαι τῷ μακαριωτάτῳ πατριάρχῃ τὴν νόσον καὶ τρόπον θεραπείας λαβεῖν, καὶ κατα τὸ γεγραμμένον καρπὸν ἐνεγκεῖν*[7]) *μετανοίας, ἵνα ὁ φιλάνθρωπος θεὸς κατὰ τὸν πλοῦτον τῶν ἰδίων οἰκτιρμῶν ἀξιώσῃ φιλαν-*

2) Malim *πάντως*, quod cum *δίκαιον* iungatur. nam *πάντας ἡμᾶς* vix aptum est. 3) Flor.: *τῇ — φθορᾷ*. 4) Flor. *ἐν ἄῤῥεσι*. 5) Flor. *μέχρι τοῦ νῦν*. 6) Ven. *τοιοῦτον*. forte *τοιοῦτον τοιούτους φυλάττειν ἑαυτούς*. 7) Flor. *καρποὺς συνεισενεγκεῖν*.

θρωπίας καὶ ἡμᾶς, καὶ πάντες εὐχαριστήσωμεν ἐπὶ τῇ τῶν μετανοούντων σωτηρίᾳ, οἷς καὶ νῦν τοὺς ἄρχοντας ἐπεξελθεῖν ἐκελεύσαμεν[8]) τὸν θεὸν θεραπεύοντες τὸν δικαίως ἡμῖν ὀργιζόμενον. καὶ νῦν μὲν πρὸς τὸ τῶν ἁγίων ἡμερῶν σέβας ἰδόντες[9]) παρακαλοῦμεν τὸν φιλάνθρωπον θεὸν οὕτω μετανοῆσαι τοὺς τῷ τοιούτῳ τῆς ἀσεβοῦς ταύτης πράξεως ἐγκυλισθέντας βορβόρῳ ὡς μηδὲ ἕτερον ἡμῖν ἐπεξελεύσεως δοθῆναι καιρόν· προσαγορεύομεν[10]) δὲ πᾶσιν ἐφεξῆς τοῖς τοιοῦτό τι συνειδόσιν ἑαυτοῖς ἡμαρτῆσθαι, ὡς εἰ μὴ καὶ[11]) παύσονται καὶ προσαγγείλαντες ἑαυτοὺς τῷ μακαριωτάτῳ πατριάρχῃ τῆς οἰκείας ἐπιμελήσονται σωτηρίας ὑπὲρ τῶν τοιούτων ἀσεβῶν πράξεων τὸν θεὸν ἐξιλεούμενοι εἴσω τῆς ἁγίας ἑορτῆς, πικροτέρας ἑαυτοῖς ἐπάξουσι τιμωρίας ὡς οὐδεμιᾶς τοῦ λοιποῦ συγγνώμης ἄξιοι. οὐδὲ γὰρ ἐνδοθήσεται οὐδὲ ἀμεληθήσεται ἡ τοῦ πράγματος ζήτησις καὶ διόρθωσις εἰς τοὺς μὴ προσαγγέλλοντας ἑαυτοὺς εἴσω τῆς ἁγίας ἑορτῆς, ἢ καὶ ἐμμένοντας τῇ αὐτῇ ἀσεβεῖ πράξει, ἵνα μὴ διὰ τῆς περὶ τούτου[12]) ῥᾳθυμίας καθ᾽ ἡμῶν τὸν θεὸν παροργίσωμεν, πρᾶξιν παρορῶντες οὕτως ἀσεβῆ καὶ ἀπηγορευμένην καὶ ἱκανὴν οὖσαν τὸν ἀγαθὸν παροργίσαι θεὸν εἰς τὴν ἁπάντων ἀπώλειαν. Proponatur Constantinopolitanis civibus nostris. Dat. Id. Mart. CP. DN. Iust. PP. Aug. ann. XXXII post Basilii V. C. Cons. ann. XVIII.

8) Cf. const. XXVIII. 9) Festum paschae innuit. 10) Ven. *προαγορ.* 11) Ven. *εἰ καὶ μή.* 12) Ita Flor. Ven. *τοῦτον.* forte legendum *τούτων.*

Ed. 11.

CLXXII.

Ὥστε μηδεμίαν ἄδειαν ἔχειν τοὺς παρ' Αἰγυπτίοις ζυγοστάτας τε καὶ χρυσῶνας τοῦ λοιποῦ ὑπὲρ ὀβρύζης τὶ ἀπαιτεῖν, ἀλλὰ καθ' ὁμοιότητα τῆς μεγάλης ταύτης πόλεως τὸ χαραττόμενον ἐκεῖσε χρυσίον γίνεσθαι, τὰς δὲ σφραγῖδας ἐντιθέναι αὐτοὺς κατὰ τὸν σωζόμενον ἐν τῷ χαράγματι σταθμόν.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον καὶ ἀπὸ κομήτων τῶν θείων λαργιτιόνων τὸ β' καὶ ἀπὸ ὑπάτων.

Τὴν παρ' Αἰγυπτίοις λεγομένην ὄβρυζαν τοῖς ἄνωθεν μὲν χρόνοις οὐκ ἐγνωσμένην, ὀλίγῳ δὲ πρόσω ἐναρξαμένην τοῖς ἐπ' Αἰγύπτου συναλλάγμασιν ἐνοχλεῖν, καὶ εἰς τοσοῦτον ἀτοπίας ἐκβᾶσαν ὡς ἐννέα χρυσοὺς ἐφ' ἑκάστῃ παρέχεσθαι λίτρᾳ, πρὸς τὸ[1]) λοιπὸν ἀναστεῖλαι καὶ παῦσαι δεῖν ἡγησάμεθα, ὡς ἂν μὴ μέλλοι καὶ τῷ δημοσίῳ λυμαίνεσθαι καὶ τοῖς τῶν ὑποτελῶν παρενοχλεῖν συναλλάγμασι, μάλιστα ὅτι καὶ τὸ πλεῖστον ὡς ἔγνωμεν ἐπ' αὐτῆς μόνης τῆς τῶν Ἀλεξανδρέων ἐξετάθη τὸ τοῦ πράγματος ἄτοπον, οὐχ οὕτω κατ' Αἴγυπτον ἢ τὰς ἄλλας πόλεις τῆς διοικήσεως ἐκείνης τῆς ἐπαρχίας πολιτευόμενον.

α'. Θεσπίζομεν τοίνυν κατὰ τὸ πάλαι πολιτευσάμενον, κἂν εἰ παρὰ τοὺς ἐν μέσῳ παρέφθαρται χρόνους ἐν τῷ παρὰ Ἀλεξανδρεῦσιν ἀπολύτῳ καλουμένῳ χαράγματι, τὸ κατὰ τὴν Αἰγυπτιακὴν διοίκησιν πολιτεύεσθαι χρυσίον, οὐ δυναμένου τινὸς ὑπὲρ τῆς κακῶς ἐπινενοημένης ὀβρύζης ἀπαίτησιν ποιεῖσθαί τινα, [§. α'.] ἀλλὰ καὶ τὸ κατ' Αἴγυπτον πολιτευόμενον χρυσίον οὕτως ἐν τοῖς συναλλάγμασι συλλο-

1) Ven. τὸν τό.

γίζεσθαι ὡς τὸ κατὰ ταύτην τὴν μεγάλην χαραττόμενον πόλιν, παραφυλαττομένου τούτου κινδύνῳ τοῦ τε κατὰ καιρὸν παρὰ Ἀλεξανδρεῦσιν αὐγουσταλίου καὶ τῶν ὑπηρετουμένων αὐτῷ τάξεων.[2])

β'. Ἐπειδὴ δὲ κεφάλαιον τοῦ κακουργήματος οἵ τε ζυγοστάται καὶ οἱ χρυσῶνες τυγχάνουσιν, ἐπετρέψαμεν τῷ νῦν ἐκείνας ἔχοντι τὰς ἀρχὰς[3]) ὑπὸ τὴν προσήκουσαν αὐτοὺς ἀσφάλειαν καταστήσασθαι, ὡς δι' ἀπολύτου χαράγματος ὑπουργήσωσι τοῖς συναλλάγμασι, καὶ εἴ γε καὶ σφραγῖσαι δέοι ποτὲ, τοσοῦτον ἐπιγράψωσι μόνον ὅσον ταῖς ἀληθείαις ἐστὶν ὁ τοῦ ταῖς σφραγῖσιν ἐμβληθέντος χρυσίου σταθμὸς, οὐ δυναμένους πλέον τοῦ ταῖς ἀληθείαις ἐμβεβλημένου σταθμοῦ ταῖς σφραγῖσιν ἐγγράφειν κατὰ τοῦτο δὴ τὸ κακῶς ἄχρι τοῦδε πολιτευσάμενον. εἰ γάρ τι τοιοῦτο τολμήσουσι, καὶ δημοσίας αὐτῶν τὰς οὐσίας ποιοῦμεν, καὶ ταῖς εἰς σῶμα ποιναῖς ὑποτίθεμεν, ὡς μηδὲ κατὰ κέλευσιν ἡμετέραν τῆς συνήθους αὐτοῖς[4]) κακουργίας ἐκστάντας. ἀλλὰ καὶ ἀνάγκην ἕξουσιν πᾶσαν χορηγεῖν χρυσίον, τοῦτο μὲν τῷ τε παρὰ Ἀλεξανδρεῦσιν αὐγουσταλίῳ καὶ τοῖς κατὰ καιρὸν ἔχουσι τὴν ἀρχὴν ἐπὶ ταῖς συνειθισμέναις ἐκπομπαῖς, τοῦτο δὲ τῷ τε νῦν [ἢ][5]) κατὰ καιρὸν ἀλαβάρχῃ, τῷ τε πρεποσίτῳ τῶν θείων ἡμῶν θησαυρῶν, οὐδὲν διάφορον ὑπὲρ ὀβρύζης παντελῶς κομιζόμενοι.

γ'. Οὕτω δὲ αὐτὸν ἐπετρέψαμεν τοῦ πράγματος προνοεῖν καὶ τοὺς μετ' αὐτὸν τὴν ἀρχὴν παραληψομένους καὶ τὰς πειθομένας αὐτοῖς τάξεις, ὡς εἰδότας, ὅ τι περ εἴ τι φανεῖεν ὑπὲρ ὀβρύζης ἀπαιτηθέντες ἢ οἱ τῶν θείων ἡμῶν προεστῶτες ἀλαβαρχίων[6]) ἢ ὁ τῶν θείων ἡμῶν λαργιτιόνων πραιπόσιτος, οἴκοθεν καταθήσουσι, τοῦτο μὲν ἐκ

2) Scilicet augustaliano et duciano officio, quae const. XCVI ei subiecerat. 3) Administrationes significantur quas in unam composuit const. XCVI. 4) Ven. αὐτῆς. 5) Deest in Ven. 6) Ven. ἀραβ.

τῶν χορηγουμένων αὐτοῖς τε καὶ τάξεσιν ἀννόνων τοῦτο δὲ [*ἐκ*][7]) *τῶν οὐσῶν αὐτοῖς περιουσιῶν, οὐ μόνον ἐφ' ὅσον ἔχονται τῶν ἀρχῶν, ἀλλὰ κἂν εἰ ταύτας καταθέμενοι τύχωσι, καὶ εἴτε γράψαντες ὁμολογίας τούτου τοῦ μέρους ἀντελάβοντο τῆς ἀρχῆς εἴτε καὶ τοιοῦτο μηδὲν ὡμολογηκότες, ἐπεί γε μάλιστα μηδὲ ἀρχαῖον τὸ τῆς ὀβρύζης ἐστὶν ἀλλ' ἐκ νεωτέρων ἀρξάμενον χρόνων.* [§. *α'*.] *καὶ τοῖς ἄλλοις δὲ, ὅσοι τὰς ἐμπορίας ποιοῦνται καὶ μέχρι νῦν λαμβάνειν τὶ διάφορον εἴθισαν, προαγορεύσεις ὁμοίως, ὡς εἴ τι φανεῖεν ἐν τοῖς συναλλάγμασιν ὑπὲρ ὀβρύζης λαμβάνοντες ἢ ὑπολογιζόμενοι, καὶ οὐσίας ἔκπτωσιν καὶ τὰς εἰς σῶμα ποινὰς ὑποστήσονται. πρᾶγμα*[8]) *κακῶς ἀρξάμενον, εἰς τοσοῦτον δὲ προελθὸν καὶ ὅλῳ τῷ πολιτεύματι λυμαινόμενον ἀνασταλῆναι πρὸς τὸν ἔπειτα χρόνον διὰ τοῦ παρόντος ἡμῶν*[9]) *κελεύομεν νόμου, καὶ μὴ παρενοχλεῖν λοιπὸν τοῖς συναλλάγμασιν, ἀλλ' οὕτως αὐτὸ παραφυλαχθῆναι κινδύνῳ τοῦ παρὰ Ἀλεξανδρεῦσιν αὐγουσταλίου καὶ τῶν κατὰ καιρὸν τὴν αὐτὴν διοικησόντων*[10]) *ἀρχὴν καὶ τάξεων ἑκατέρων, ὥστε καὶ αὐτὴν αὐτοῦ τὴν μνήμην ἀναιρεθῆναι καὶ ζημίας τοσαύτης ἐλεύθερα εἶναι τὰ κατὰ τὴν Αἰγυπτιακὴν διοίκησιν συναλλάγματα.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης ἔργῳ καὶ πέρατι παραδοθῆναι καὶ παραφυλαχθῆναι προσταξάτω. D. VI. K. Ianuar. CP. imp. DN. Iust. PP. Aug. anno XXXIII[11]) post Basilii V. C. cons. ann. XVIII.

7) Deest in Ven. 8) Adde *γάρ*. 9) Ven. *ὑμῶν*. 10) Ven. *διοικησάντων*. 11) Ven.: XVII. quod ferri non potest. eo enim anno Petrus prima vice thronum praefecti praetorio occupavit, non secunda vice, ut est in inscriptione. legendum XXXIII, qui annus est XVIII post cons. Basilii, quem etiam exhibet Codex.

Auth. 132. CLXXIII. Nov. 143. 150.

Extat in appendice Codicum qui Iuliani Epitomen continent. in Ven. et Flor. omittitur, Flor. tamen summas Theodori profert. — Summas praestant Athan. XI, 5 Theod. Nov. 143 et 150 et Epitome incerta in Ἀνέκδ. p. 222 (unde sua habet Nomoc. XIV titt. IX, 30).

DE RAPTIS MULIERIBUS ET QUAE RAPTORIBUS NUBUNT.

Idem Aug. Ariobindae.[1])

Legis interpretationem culmini tantum[1a]) principali competere nemini venit in dubium, quum promulgandae quoque legis auctoritatem fortunae sibi vindicet eminentia. meminimus itaque pro raptu mulierum (sive iam desponsatae fuerint vel maritis coniunctae sive non vel etiam si viduae sint) legem[2]) antea posuisse, et capitis subiecisse supplicio non tantum raptores verum etiam comites eorum, nec non alios qui eis auxilium tempore invasionis contulisse noscuntur, et non tantum parentibus mulierum, verum consanguineis etiam et tutoribus et curatoribus in huiusmodi dedisse per eandem legem vindictam, et praesertim poenis locum dedisse, si iam nuptae vel desponsatae mulieres rapiantur, quum non solum raptus

1) In nonnullis Iuliani Codicibus, veluti Utinensi et Paris. lat. 4568 (olim Ranconeti), inscriptio est: „In nomine domini nostri Ihesu Christi Imperator Caesar Flavius Iustinianus Alamannicus Goticus Francicus Germanicus Anticus Alanicus Vandalicus Africus pius felix inclutus victor ac triumphator semper Augustus *Leoni.*“ unde explicatur, quod Athanasio in Cod. Bodlei. inscriptio audit: Ὁ αὐτὸς πιστὸς βασιλεὺς ἰουστινιανὸς ἀραβίνδῳ λεγεῶνι. cf. infra not. 4. — Me quidem iudice Areobindus, quum ad eum haec constitutio daretur, non *orientalium* praetoriorum praefectus fuit, quia tum graeco sermone scripta esset: sed Africae. Leonem Italiae praefectum fuisse suspicatur Bienerus. caeterum de Areobindo et Leone P. P. videantur Ἀνέκδ. mea p. 268 sq. 1a) Verbum suspectum. forte „culmini status principalis.“ cf. variantes lectiones in Auth. ed. Heimbach p. 1060. 2) l. un. C. de raptu.

mulieris, verum adulterium etiam per huiusmodi temeritatem committitur. et super alias poenas raptoris etiam nec non aliorum qui cum eo fuerunt patrimonium raptae mulieri vindicari per eandem legem praecepimus, ut dotis etiam marito dandae legitimo copia per raptoris ei ministretur substantiam. illo quoque specialiter adiecto, ut nulla sit mulieri vel virgini raptae licentia raptoris eligere matrimonium, sed cui parentes volunt (excepto raptore) legitimo matrimonio copulari, nullo modo nullo tempore licentia mulieri raptae permissa raptoris se coniungere matrimonio: sed parentes etiam si tali consenserint matrimonio deportari praecepimus. sed mirati sumus, quod conati sunt aliqui dicere raptam mulierem sive volentem sive nolentem etsi raptoris amplexa sit matrimonium contra nostrae constitutionis tenorem, debere tamen raptoris eam habere substantiam vel quasi legis praemium, vel ex testamento forte, si hoc etiam factum esse contigerit: qui enim talia dicere praesumserunt, praedictae legis seriem intelligere non potuerunt. qui enim tale stare matrimonium etsi rapta voluerit prohibuimus, et ob hoc parentes raptae mulieris deportationis subiecimus poenae, si huiusmodi consenserunt matrimonio, quomodo raptas mulieres raptorum eligentes connubium praemiis honorassemus raptae datis mulieri? superfluam igitur eorum dubitationem vel in posterum resecantes, priorem legem per praesentem interpretari censuimus.

Sancimus itaque, si rapta mulier cuiuscunque sit conditionis vel aetatis raptoris nuptias eligendas esse censuerit, parentibus praesertim non consentientibus, nec ex beneficio legis nec ex testamento raptoris hereditatem suscipere vel quocunque modo substantiam vindicare, sed praemium quod per legem nostram raptae mulieri datum est, ut raptoris et eorum qui auxilium ei tempore inva-

sionis praebuerint substantiam vindicet, hoc ad parentes, si ambo vel unus supersit qui nuptiis specialiter non probantur consensisse, ex tempore raptus ipso iure transferri, et patrimonium raptoris non iam raptam habere mulierem quae coniugio se raptoris inquinare non piguit, sed in personas transferri quas superius nominavimus eius non consentientes coniugio. nam nefarios huiusmodi coitus poenis corrigi, non praemiis competit honorari. quodsi parentes iam decesserunt vel huiusmodi sceleri consenserunt, substantia raptoris nec non aliorum qui facinoris fuerunt participes fisci viribus vindicetur. quam interpretationem non in futuris tantummodo casibus, verum in praeteritis etiam valere sancimus, tanquam si nostra lex ab initio cum interpretatione tali a nobis promulgata fuisset, Areobinde[3]) pater carissime atque amantissime.

Quae igitur per hanc legem nostra statuit aeternitas, celsitudo tua effectui mancipari observarique praecipiat. *Dat. XII. Kal. Iun. imp. DN. Iustiniani ann. XXXVII. post Basilii V. C. cons. ann. XXII.*[4])

3) Codices Iuliani de quibus not. 1 dixi „Vale Leo“ etc. habent. 4) Subscriptionem Auth. non habet. (de coll. can. Anselmo dedicata et Appendicib. Iuliani videatur Biener p. 526.) supplevi ex Codd. Iuliani. Athan. Kal. Ianuarias habet et proinde annum imperii ιϛ', quod in λϛ' mutandum est. Theod. in Nov. 143 mensem Iunium et annum imperii λϛ', in Nov. 150 rectius annum λζ' habet. quid si dicamus alterum exemplar mense Ianuario ad Areobindum, alterum mense Iunio ad Leonem missum esse?

Nov. 137.

CLXXIV.

In Flor. hoc loco deest, sed Nov. 123, quae nobis est const. CLV, inserta reperitur. — Similiter illi mixta repraesentatur in Basil. III, 1, 7. 8. 17—19. extat quoque in Coll. XXV capitulorum c. 22. — Summae: Athan. I, 17, Theod. Nov. 137 (unde hausit Proch. 28, 1 sqq.), incerti epitomatoris in Nomoc. XIV titt. 1, 8. 28. 3, 1. 8, 8. 9, 2.

Περὶ χειροτονίας ἐπισκόπων καὶ κληρικῶν.

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν αὐτοκράτωρ καῖσαρ Φλάβιος Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Οὐανδαλικὸς Ἀφρικανὸς εὐτυχὴς ἔνδοξος τροπαιοῦχος ἀεισέβαστος αὔγουστος Πέτρῳ τῷ λαμπροτάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων.[1])

Εἰ τοὺς πολιτικοὺς νόμους, ὧν τὴν ἐξουσίαν ἡμῖν ὁ θεὸς κατὰ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπίστευσε, βεβαίους διὰ πάντων φυλάττεσθαι πρὸς ἀσφάλειαν τῶν ὑπηκόων σπουδάζομεν, πόσῳ μᾶλλον πλείονα σπουδὴν ὀφείλομεν θέσθαι περὶ τὴν τῶν ἱερῶν κανόνων καὶ θείων νόμων παραφυλακὴν τῶν ὑπὲρ τῆς τῶν ἡμετέρων ψυχῶν σωτηρίας ὁρισθέντων; οἱ γὰρ τοὺς ἱεροὺς κανόνας φυλάττοντες τῆς τοῦ δεσπότου θεοῦ βοηθείας ἀξιοῦνται, καὶ οἱ τούτους παραβαίνοντες αὐτοὶ ἑαυτοὺς τῇ κατακρίσει ὑποβάλλουσι. μείζονι δὲ ὑπόκεινται κατακρίσει οἱ ὁσιώτατοι ἐπίσκοποι, οἷς πεπίστευται καὶ ζητεῖν τοὺς κανόνας καὶ φυλάττειν εἴπερ τὶ τούτων παραβαινόμενον ἀνεκδίκητον καταλειφθείη.[2]) *τῶν οὖν θείων κανόνων μὴ παραφυλαχθέντων διαφόρους προσελεύσεις ἐδεξάμεθα κατὰ κληρικῶν τε καὶ μοναχῶν καί τινων ἐπισκόπων ὡς μὴ κατὰ τοὺς θείους κανόνας βιούν-*

1) Ita inscriptio audit in Coll. XXV capp. in Ven. brevior est *Αὐτοκράτωρ Ἰουστινιανὸς αὔγουστος Πέτρῳ μαγίστρῳ ὀφφικίων.* 2) Coll. *καταλείπωσιν εἰ* (*ἢ*?) *καταλειφθείη.*

των, καὶ ἄλλοι δὲ εὕρηνται μηδὲ[3]) αὐτὴν τὴν τῆς ἁγίας προσκομιδῆς ἢ τοῦ ἁγίου βαπτίσματος προσευχὴν ἐπιστάμενοι.

α΄. Τὸ τοῦ θεοῦ τοίνυν ἐννοοῦντες κρίμα τὴν ἐφ' ἑκάστῳ τῶν προσαγγελθέντων ζήτησίν τε καὶ διόρθωσιν ἐκελεύσαμεν κανονικῶς προελθεῖν· εἰ γὰρ καὶ τὰ παρὰ τῶν λαϊκῶν ἁμαρτανόμενα οἱ γενικοὶ νόμοι οὐ συγχωροῦσι δίχα ζητήσεως καὶ ἐκδικήσεως καταλιμπάνεσθαι, πῶς τὰ παρὰ τῶν ἁγίων ἀποστόλων καὶ πατέρων ὑπὲρ τῆς πάντων τῶν ἀνθρώπων σωτηρίας κανονικῶς διατυπωθέντα περιιδεῖν ἀνασχόμεθα; πολλοὺς δὲ ἐκ τούτου μάλιστα τοῖς ἁμαρτήμασιν εὕρομεν περιπεσόντας, διὰ τὸ μὴ γίνεσθαι τὰς συνόδους τῶν ὁσιωτάτων ἱερέων κατὰ τὰ ὁρισθέντα ὑπὸ τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων πατέρων. εἰ γὰρ τοῦτο παρεφυλάχθη, ἕκαστος εὐλαβούμενος τὸν ἐπὶ τῆς συνόδου ἔλεγχον ἐσπούδασεν ἂν καὶ τὰς θείας ἐκμανθάνειν λειτουργίας καὶ σωφρόνως βιοῦν, ἵνα μὴ τῇ κατακρίσει τῶν θείων κανόνων ὑποβληθείη. κἀκεῖνο δὲ οὐδὲν ἧττόν τισιν ἁμαρτημάτων γέγονε πρόφασις, ὅτι χωρὶς ἐξετάσεως καὶ τῆς ἐπὶ τῇ ὀρθῇ πίστει καὶ σεμνότητι βίου μαρτυρίας χειροτονοῦνται ἐπίσκοποί τε καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ λοιποὶ κληρικοί. εἰ γὰρ οἱ ἐπιτετραμμένοι εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ ἀνάξιοι τῆς τοῦ θεοῦ ὑπηρεσίας εὑρεθεῖεν, πῶς ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων ἐξιλεοῦσθαι δυνήσονται τὸν θεόν; ὅτι δὲ τὰς χειροτονίας τῶν ἱερέων μετὰ πάσης ἀκριβείας προσήκει γίνεσθαι, διδάσκει ἡμᾶς καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος, ἑπόμενος τοῖς ἁγίοις ἀποστόλοις καὶ θείοις κανόσι. λέγει γὰρ ἐν τῷ μεγάλῳ ἀπολογητικῷ οὕτως· „τίς δὲ τοῖς τοῦ Παύλου κανόσιν ἢ[4]) ὅροις ἑαυτὸν παρεκτείνων, οὓς περὶ ἐπισκόπων ἔταξε καὶ

3) Ven. μήτε, quod ex Flor. et Coll. cit. emendavi.
4) Coll. καὶ. sic est in Gregorii Apol. 119.

πρεσβυτέρων, νηφαλέους, σώφρονας εἶναι, μὴ παροίνους, μὴ πλήκτας, διδακτικοὺς, ἀνεπιλήπτους ἐν ἅπασι καὶ ἀνεπιβάτους τοῖς πονηροῖς, οὐ πολὺ τὸ διαφεῦγον εὑρήσει πρὸς[5]) *τὴν τῶν κανόνων εὐθύτητα.“ καὶ πάλιν ὁ αὐτὸς λέγει οὕτως· „καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι, σοφισθῆναι καὶ οὕτως σοφίσαι, γενέσθαι φῶς καὶ φωτίσαι, ἐγγίσαι θεῷ καὶ προσαγαγεῖν ἄλλους, ἁγιασθῆναι καὶ ἁγιάσαι, χειραγωγῆσαι μετὰ χειρῶν συμβουλεῦσαι μετὰ συνέσεως.“ καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Γρηγόριος περὶ τῶν αὐτῶν ἐν τῷ αὐτῷ λόγῳ τοῦτο γράφει· „τίς ὁ πλάττων καθάπερ αὐθημερὸν τοὺς πηλίνους τὸν τῆς ἀληθοῦς λειτουργίας προστάτην, τὸν μετὰ ἀγγέλων στησόμενον καὶ μετὰ ἀρχαγγέλων δοξάσοντα καὶ Χριστῷ συνιερατεύσοντα;“ καὶ διὰ τούτων μὲν δείκνυσιν ὁ θεολόγος, ὁποίους δεῖ*[6]) *πρὸς τὴν ἱερωσύνην προβάλλεσθαι. περὶ δὲ τῶν ἀναξίως χειροτονουμένων ὁ αὐτὸς τάδε λέγει ἐν τῷ αὐτῷ λόγῳ· „οἱ μηδὲν τῇ ἱερωσύνῃ προεισενεγκόντες μηδὲ τοῦ καλοῦ προταλαιπωρήσαντες ὁμοῦ τε μαθηταὶ καὶ διδάσκαλοι τῆς εὐσεβείας ἀναδείκνυνται, καὶ πρὶν καθαρθῆναι καθαίρουσι, χθὲς ἱερόσυλοι καὶ σήμερον ἱερεῖς, χθὲς τῶν ἁγίων ἔξω καὶ μυσταγωγοὶ σήμερον, παλαιοὶ τὴν κακίαν καὶ σχέδιοι τὴν εὐσέβειαν, ὃ ἔργον χάριτος ἀνθρωπίνης, οὐ τῆς τοῦ πνεύματος.“ ὅτι δὲ οἱ θεῖοι κανόνες κωλύουσι κληρικοὺς εἶναι τοὺς δευτέραν γαμετὴν λαβόντας, καὶ ὁ ἐν ἁγίοις Βασίλειος διδάσκων οὕτως λέγει· „τοὺς δευτερογάμους*[7]) *ὁ κανὼν τῆς ὑπηρεσίας ἀπέκλεισε.“*[8]) *καὶ ταῦτα μὲν ὁ ἐν ἁγίοις Βασίλειος. τοσοῦτον δὲ οἱ ἅγιοι πατέρες τῆς ἱερωσύνης ἐφρόντισαν, ὅτι οἱ ἐν Νικαίᾳ συνελθόντες κανόνα*[9]) *ἐξέθεντο οὕτως*

5) In Coll. *πρὸς* non est, uti nec apud Gregor. 6) Ven. *δὲ*, Flor. plane omittit. 7) Coll. addit *παντελῶς*. 8) Ven. addit *καὶ τοὺς τικτομένους ἐκ τούτων*, quae in Flor. et Coll. rectius desunt. cf. S. Basilii can. 12. 9) Syn. Nic. primae c. 3.

ἔχοντα· „ἀπηγόρευσε καθόλου ἡ μεγάλη σύνοδος μήτε ἐπισκόπῳ μήτε πρεσβυτέρῳ μήτε διακόνῳ μήτε ὅλως τῶν ἐν τῷ κλήρῳ τινὶ ἐξεῖναι συνείσακτον ἔχειν, πλὴν εἰ μητέρα[10]) ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα ὑποψίαν διαφεύγει."

β΄.[11]) Τοῖς οὖν ὑπὸ τῶν θείων κανόνων ὁρισθεῖσιν ἀκολουθοῦντες τὸν παρόντα ποιούμεθα νόμον, δι᾽ οὗ θεσπίζομεν, ὁσάκις χρεία γένηται[12]) ἐπίσκοπον χειροτονηθῆναι, συνιέναι τοὺς κληρικοὺς καὶ τοὺς πρώτους τῆς πόλεως ἧς μέλλει ἐπίσκοπος χειροτονεῖσθαι, καὶ προκειμένων τῶν ἁγίων εὐαγγελίων ἐπὶ τρισὶ προσώποις ψηφίσματα ποιεῖν, καὶ ἕκαστον αὐτῶν ὀμνύναι κατὰ τῶν θείων λογίων καὶ ἐγγράφειν ἐν αὐτοῖς, ὅτι οὔτε διὰ δόσιν οὔτε διὰ ὑπόσχεσιν ἢ φιλίαν ἢ χάριν ἢ ἄλλην οἱανδήποτε προσπάθειαν, ἀλλ᾽ εἰδότες αὐτοὺς τῆς ὀρθῆς καὶ καθολικῆς πίστεως καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὸ τριακοστὸν ἔτος εἶναι τούτους ἐπελέξαντο, καὶ ὅτι οὐδὲ γαμετὴν οὐδὲ παῖδας ἴσασί τινα ἐξ αὐτῶν ἔχειν ἢ παλλακὴν ἢ παῖδας φυσικοὺς γινώσκουσιν αὐτοὺς ἐσχηκέναι ἢ ἔχειν, ἀλλ᾽ εἰ καὶ πρότερόν τις ἐξ αὐτῶν γαμετὴν εἶχε, καὶ αὐτὴν μίαν καὶ οὐδὲ χήραν οὐδὲ ἀνδρὸς ἀποζευχθεῖσαν οὐδὲ τοῖς ἱεροῖς κανόσι καὶ νόμοις[13]) ἀπηγορευμένην, ἀλλ᾽ οὐδὲ πολιτευόμενον ἢ βουλευτὴν[14]) ἢ ταξεώτην τινὰ τῶν ψηφιζομένων εἶναι γινώσκουσι, πλὴν εἰ μὴ ἐν μοναστηρίῳ οὐχ ἧττον δεκαπέντε ἐνιαυτῶν μοναχικὸν ὁ πολιτευόμενος ἢ ὁ ταξεώτης βίον ἀδιαβλήτως ἐξετέλεσε. δηλαδὴ τῆς ἔμπροσθεν ἡμῖν εἰρημένης παρατηρήσεως καὶ ἐπὶ τούτων τῶν προσώπων ἐν τοῖς γινομένοις περὶ αὐτῶν ψηφίσμασι φυλαττομένης, ἵνα ἐκ τῶν οὕτως ψηφιζομένων

10) Ita Syn. Nic. primae c. 3 et Flor. Ven. εἰ μὴ ἄρα ἢ θείαν. 11) Flor. in marg. . . . τοῦ δ΄ (γ΄?) βι. τί. α΄ κεφ. β΄ (η΄?). 12) Ven. γένηται omittit. 13) Verba καὶ νόμοις in Flor. desunt. 14) In Flor. est πολιτευόμενον et supra lineam βουλευτήν. in Coll. ἢ βουλ. deest: similiter apud Ath. glossema esse crediderim.

τριῶν προσώπων ὁ βελτίων χειροτονηθῇ τῇ ἐπιλογῇ καὶ τῷ κρίματι τοῦ χειροτονοῦντος. ἀπαιτεῖσθαι δὲ πρότερον τὸν μέλλοντα χειροτονεῖσθαι παρὰ τοῦ χειροτονοῦντος λίβελλον μεθ' ὑπογραφῆς ἰδίας περιέχοντα τὰ περὶ τῆς ὀρθῆς αὐτοῦ πίστεως· ἀπαγγέλλειν δὲ τοῦτον καὶ τὴν θείαν προσκομιδὴν τὴν ἐπὶ τῇ ἁγίᾳ κοινωνίᾳ γινομένην καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι εὐχὴν καὶ τὰς λοιπὰς προσευχάς. ὅρκον δὲ ὑπέχειν καὶ αὐτὸν τὸν χειροτονούμενον κατὰ τῶν θείων γραφῶν, ὡς οὔτε δι' ἑαυτοῦ οὔτε δι' ἑτέρου προσώπου δέδωκέ τι ἢ ὑπέσχετο οὔτε μετὰ ταῦτα δώσει ἢ αὐτῷ τῷ χειροτονοῦντι αὐτὸν ἢ τοῖς τὰ ψηφίσματα εἰς αὐτὸν ποιησαμένοις ἢ ἑτέρῳ τῶν πάντων τινὶ ὑπὲρ τῆς εἰς αὐτὸν γενησομένης[15]) *χειροτονίας. εἴ τις δὲ παρὰ τὴν μνημονευθεῖσαν παραφυλακὴν ἐπίσκοπος χειροτονηθῇ, κελεύομεν καὶ αὐτὸν πᾶσι τρόποις τῆς ἐπισκοπῆς ἐκβάλλεσθαι καὶ τὸν παρὰ ταῦτα τολμήσαντα χειροτονῆσαι.*

γ'. Εἰ δέ τις κατηγορίαν τινὰ ποιήσεται κατὰ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου ἢ ἄλλου κληρικοῦ ἢ καὶ ἡγουμένου ἐφ' οἱᾳδήποτε αἰτίᾳ, ἀναβαλλέσθω ἡ τοιαύτη χειροτονία, καὶ γινέσθω πρότερον ἐξέτασις τῆς κατηγορίας, παρόντος καὶ τοῦ κατηγόρου καὶ ἐπεξιόντος τοῖς παρ' αὐτοῦ προσαγγελθεῖσιν. εἰ δὲ καὶ ἀπολιμπάνοιτο ἢ ἀναβάλλοιτο ὁ κατήγορος, καὶ οὕτως ὁ τὴν χειροτονίαν μέλλων ποιεῖσθαι ζήτησιν ἀκριβεστάτην ποιείσθω μηνῶν εἴσω τριῶν. καὶ εἰ μὲν ὑπεύθυνον εὕροι τὸν τὴν κατηγορίαν ὑπομείναντα εἴτε κατὰ τοὺς θείους κανόνας εἴτε κατὰ τοὺς ἡμετέρους νόμους, κωλυέσθω ἡ χειροτονία· εἰ δὲ ἀνεύθυνος φανείη, εἴτε παρόντος τοῦ κατηγόρου ἢ καὶ ἀπόντος, γινέσθω ἡ χειροτονία. ὁ δὲ κατήγορος, εἴτε παρὼν μὴ ἀποδείξει εἴτε ἀποφύγοι, εἰ μὲν κληρικὸς εἴη, ἐξωθείσθω τοῦ οἰκείου βαθμοῦ, εἰ δὲ λαϊκὸς εἴη, τὸν προσήκοντα σωφρονισμὸν ὑπομενέτω.[16]) *εἰ*

15) Ven. *γινομένης*. reliqui omnes *γενησομ*. 16) Flor. supra lineam *ἤγουν ἐξοριζέσθω*.

δέ τις πρὸ ἐξετάσεως τὸν κατηγορηθέντα χειροτονήσει, ὅ τε χειροτονήσας καὶ ὁ χειροτονηθεὶς τῆς ἱερωσύνης ἐξωθείσθω.

δ΄. Ἐπειδὴ δὲ τὸ τοῖς κανόσιν εἰρημένον περὶ τῶν συνόδων τῶν ὁσιωτάτων ἐπισκόπων τῶν ὀφειλουσῶν καθ' ἑκάστην ἐπαρχίαν γίνεσθαι μέχρι τοῦ νῦν [ἐστι][17]) μὴ παραφυλαχθὲν, τῶν ἀναγκαιοτάτων ἐστὶν ἐπανορθῶσαι. οἱ μὲν οὖν ἅγιοι ἀπόστολοι καὶ οἱ πατέρες ὥρισαν δεύτερον ἔτους ἑκάστου γίνεσθαι συνόδους τῶν ὁσιωτάτων ἱερέων ἤτοι ἐπισκόπων ἐν ἑκάστῃ ἐπαρχίᾳ, καὶ τὰ ἀναφυόμενα ἐξετάζεσθαι καὶ τῆς προσηκούσης ἀξιοῦσθαι διορθώσεως, τουτέστι μίαν μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς ἁγίας πεντηκοστῆς, τὴν δὲ ἄλλην κατὰ τὸν ὀκτώβριον μῆνα. ἡμεῖς δὲ εὑρόντες, ὡς ἐκ τῆς τοιαύτης ἀμελείας πολλοὶ διαφόροις ἁμαρτήμασι περιεβλήθησαν, κελεύομεν πᾶσι τρόποις μίαν σύνοδον γίνεσθαι καθ' ἕκαστον ἔτος ἐν ἑκάστῃ ἐπαρχίᾳ ἢ τῷ ἰουνίῳ ἢ τῷ σεπτεμβρίῳ[18]) μηνὶ, καὶ συνιέναι παρὰ μὲν τοῖς μακαριωτάτοις πατριάρχαις ἐκείνους τοὺς παρ' αὐτῶν μὲν χειροτονουμένους μὴ ἔχοντας δὲ δίκαιον ἄλλους ἐπισκόπους χειροτονεῖν, παρὰ δὲ τοῖς ὁσιωτάτοις μητροπολίταις ἑκάστης ἐπαρχίας τοὺς ὑπ' αὐτῶν χειροτονουμένους, ἐφ' ᾧ τὰς κινουμένας αἰτίας ἢ τὰ παρά τινων προσαγγελλόμενα ἢ προφάσει πίστεως ἢ κανονικῶν ζητήσεων ἢ διοικήσεως ἐκκλησιαστικῶν πραγμάτων ἢ περὶ ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἢ ἄλλων κληρικῶν ἢ περὶ ἡγουμένων ἢ μοναχῶν ἢ περὶ κατεγνωσμένου βίου ἢ καὶ ἄλλων τινῶν δεομένων ἐπανορθώσεως κινεῖσθαί τε καὶ προσηκόντως ἐξετάζεσθαι, καὶ τὴν ἐπ' αὐτοῖς διόρθωσιν προϊέναι τοῖς θείοις κανόσι καὶ τοῖς ἡμετέροις νόμοις συμβαίνουσαν.

17) Locus parum sanus. interim ἐστι addo ex Basil. Hal. παρεφυλάχθη. 18) Ath. ὀκτωβρίῳ pro σεπτεμβρίῳ habet (scil. ex antecedentibus) et Iunium omittit. sed incertus epitomator τῷ ἰουνίῳ ἢ τῷ σεπτεμβρίῳ.

ε΄. Μὴ μόνον δὲ ἐν ταῖς καθ' ἕκαστον ἔτος γενησομέναις συνόδοις ταῦτα ζητεῖσθαι, ἀλλὰ καὶ ὁσάκις ἄν τινες κατηγορηθεῖεν τῶν ἱερέων ἢ κληρικῶν ἢ ἡγουμένων ἢ μοναχῶν ἢ περὶ πίστεως ἢ περὶ αἰσχροῦ βίου ἢ ὡς παρὰ τοὺς θείους κανόνας τὶ διαπραττόμενοι. καὶ εἰ μὲν ἐπίσκοπος εἴη ὁ κατηγορούμενος, τὸν τούτου μητροπολίτην ἐξετάζειν τὰ λεγόμενα, εἰ δὲ μητροπολίτης εἴη, τὸν μακαριώτατον ἀρχιεπίσκοπον ὑφ' ὃν τελεῖ, εἰ δὲ πρεσβύτερος ἢ διάκονος ἢ ἄλλος κληρικὸς ἢ ἡγούμενος ἢ μοναχὸς, τὸν ὁσιώτατον ἐπίσκοπον ὑφ' ὃν οὗτοι τελοῦσιν ἐξετάζειν τὰ προσαγγελλόμενα, καὶ τῆς ἀληθείας ἀποδεικνυμένης ἕκαστον πρὸς τὸ πταῖσμα κανονικοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι τῷ κρίματι τοῦ ἐξετάζοντος. ταῦτα δὲ πάντα κρατεῖν μὴ μόνον ἐπὶ τῶν μετὰ ταῦτα χειροτονουμένων ἐπισκόπων τε καὶ κληρικῶν καὶ ἡγουμένων, ἀλλὰ καὶ ἐπὶ τῶν νῦν ὄντων καὶ ὑπό τινων ὡς εἰκὸς ἐπί τισιν αἰτίαις ἀπηγορευμέναις τοῖς θείοις κανόσι καὶ τοῖς ἡμετέροις νόμοις κατηγορουμένων. τούτων γὰρ οὕτω φυλαττομένων καὶ οἱ λαϊκοὶ πολλῆς ἐντεῦθεν περί τε τὴν ὀρθὴν πίστιν καὶ τὸν σεμνὸν βίον προκοπῆς τε καὶ ἐπανορθώσεως ἀξιωθήσονται.

ϛ΄. Πρὸς τούτοις κελεύομεν πάντας ἐπισκόπους τε καὶ πρεσβυτέρους μὴ κατὰ τὸ σεσιωπημένον, ἀλλὰ μετὰ φωνῆς τῷ πιστοτάτῳ λαῷ ἐξακουομένης τὴν θείαν προσκομιδὴν καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι προσευχὴν ποιεῖσθαι, πρὸς τὸ κἀντεῦθεν τὰς τῶν ἀκουόντων ψυχὰς εἰς πλείονα κατάνυξιν καὶ τὴν πρὸς τὸν δεσπότην θεὸν διανίστασθαι δοξολογίαν. οὕτως γὰρ καὶ ὁ θεῖος ἀπόστολος διδάσκει, λέγων ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ·[19]) „ἐπεὶ ἐὰν εὐλογήσεις τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν τῷ θεῷ ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδε. σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ

19) Cor. I, 14, 16.

οἰκοδομεῖται.“ καὶ πάλιν ἐν τῇ πρὸς Ῥωμαίους[20]) οὕτως λέγει· „καρδίᾳ μὲν γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι[21]) δὲ ὁμολογεῖται εἰς σωτηρίαν.“ διὰ ταῦτα τοίνυν προσήκει τὴν ἐπὶ τῇ ἁγίᾳ προσκομιδῇ καὶ τὰς ἄλλας προσευχὰς μετὰ φωνῆς παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων τε καὶ πρεσβυτέρων προσφέρεσθαι τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ θεῷ ἡμῶν σὺν τῷ πατρὶ καὶ τῷ[22]) ἁγίῳ πνεύματι, γινωσκόντων τῶν ὁσιωτάτων ἱερέων, ὡς εἴπερ τὶ τούτων παρίδοιεν, καὶ τῇ φοβερᾷ κρίσει τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπολογήσονται καὶ οὐδὲ ἡμεῖς ταῦτα γινώσκοντες ἐφησυχάσομεν ἢ ἀνεκδίκητα καταλίπωμεν. [§. α΄.] κελεύομεν δὲ καὶ τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας εἴπερ ἀμελούμενόν τι τῶν παρ᾽ ἡμῶν νομοθετηθέντων ἴδοιεν, πρῶτον μὲν κατεπείγειν τοὺς μητροπολίτας καὶ τοὺς ἄλλους ἐπισκόπους τὰς εἰρημένας συνόδους ποιεῖσθαι καὶ πάντα πληροῦν ὅσα περὶ τῶν συνόδων διὰ τοῦ παρόντος παρεκελευσάμεθα νόμου, εἰ δὲ ἀναβαλλομένους αὐτοὺς ἴδοιεν, τηνικαῦτα μηνύειν ἡμῖν πρὸς τὸ ἐξ ἡμῶν τὴν προσήκουσαν διόρθωσιν προϊέναι κατὰ[23]) τῶν ὑπερτιθεμένων τὰς συνόδους ποιεῖν. ἐπισταμένων αὐτῶν τε τῶν ἀρχόντων καὶ τῶν πειθομένων αὐτοῖς τάξεων, ὡς εἴπερ μὴ ταῦτα παραφυλάξουσιν ἐσχάταις ὑποβληθήσονται τιμωρίαις. βεβαιοῦμεν δὲ καὶ διὰ τοῦ παρόντος νόμου ἅπαντα τὰ[24]) παρ᾽ ἡμῶν ἐν διαφόροις διατάξεσι νενομοθετημένα περί τε ἐπισκόπων καὶ πρεσβυτέρων καὶ λοιπῶν κληρικῶν, καὶ πρόσγε ξενοδόχων καὶ ὀρφανοτρόφων καὶ τῶν λοιπῶν ὅσοι εὐαγῶν οἴκων προΐστανται.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης διὰ προθεμάτων κατὰ τοὺς συνήθεις τῆς βασιλίδος πόλεως προτιθεμένων εἰς γνῶσιν

20) Rom. 10, 10. 21) Ven. στόμα. 22) Articulum Ven. omittit. 23) Ven. καὶ κατά. 24) Flor. λοιπὰ inserit.

πάντων ἀγαγεῖν σπουδασάτω καὶ καταφανῆ ποιῆσαι τοῖς τῶν ἐπαρχιῶν ἡγουμένοις. D. K. April. CP. DN. Iustin. PP. Aug. anno XXXIX post Basil. v. c. cons. a. XXIV.[25])

25) *Ven.*: VII Kal. Mar. CP. DN. Iustin. PP. Aug. Basil. v. c. cons. *Coll. cit.*: VII Kal. April. Const. imp. DN. Iusti. PP. A. anno XXXVIII post cons. Basilii v. c. anno XVI. *Athanas.*: *ἐγρ. προυνιη καλ.* (Leunclavio X Kal., Fabroto simpliciter Kal.) *ἀπριλ. βασιλείας ἰουστινιανοῦ τὸ λθ´ μετὰ τὴν ὑπατείαν βασιλείου τ β* (Leunclavio *κδ´*). *Theod.*: *ἐξεφ. μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ις´.* in tanta lectionis varietate, ubi coniecturis omnino opus, subscriptionem confeci, quam supra habes. scilicet imperator ad instantiam novi patriarchae eiusmodi constitutiones publicare solitus erat (cf. c. XVI. LXXII. LXXIII. CLV), et haec nostra data esse videtur postquam Ioannes solium patriarchale ascendit, quod anno 565 factum constat. videatur etiam Biener p. 526.

I. Index

CLXXIV constitutionum Iustiniani extravagantium.

(In parenthesi adiectus est numerus, quo constitutio in Collectione 168 Novellarum vel in Authentico posita reperitur. — Caeterum graecas constitutionum rubricas ex Ven. et Flor. exhibuimus. animadvertendum tamen, quod in Auth. apud Ath. et Theod. (sive Indicem Reginae quem vocant — Heimb. Ἀνέκδ. II p. 237) passim aliae sunt, et aliae a ICtis graecis laudantur.)

Const.

1 (N. 155). *Περὶ τοῦ δεῖν τὰς μητέρας ὑποκεῖσθαι ἐπιτροπικοῖς λογισμοῖς.*

2 (N. 138). De usuris super duplum non computandis.

3 (N. 151). *Περὶ τοῦ μὴ παρασταθῆναι ἢ διαχθῆναι βουλευτὴν ἢ ταξεώτην δίχα βασιλικῆς κελεύσεως ἐμφανιζομένης τοῖς ὑπάρχοις.*

4 (N. 152). *Περὶ τοῦ τοὺς ἐπὶ δημοσίοις προϊόντας θείους τύπους μὴ ἄλλως ἐῤῥῶσθαι εἰ μὴ ἐγένοντο ἢ γένοιντο καταφανεῖς τοῖς τῶν πραιτωρίων ἐνδοξοτάτοις ὑπάρχοις καὶ ἐκεῖθεν κυρωθεῖεν.*

5 (Ed. 2). *Περὶ τοῦ μὴ παρέχειν τοὺς ἄρχοντας ἀσυλίας λόγον ἐπὶ δημοσίαις προφάσεσιν.*

6 (Ed. 10). *Περὶ ταξεωτῶν.*

7 (N. 160). *Ἴσον θείου πραγματικοῦ τύπου περὶ τόκων.*

8 (A. 38). Ut hi qui in Africa sunt intra quinquennium competentes sibi res usque ad certum gradum debeant vindicare.

9 (N. 1 — A. 1). *Περὶ κληρονόμων καὶ τοῦ φαλκιδίου.*

10 (N. 2 — A. 2). *Περὶ τοῦ μὴ ἐπιλέγεσθαι τὰς δευτερογαμούσας γυναῖκας καὶ περὶ ἄλλων κεφαλαίων.*

11 (N. 4 — A. 4). *Περὶ τοῦ τοὺς δανειστὰς πρότερον χωρεῖν κατὰ τῶν πρωτοτύπων χρεωστῶν καὶ ἐν δευτέρᾳ τάξει ἀπόρων τούτων εὑρεθέντων κατὰ τῶν μανδατώρων ἢ τῶν ἀντιφωνητῶν ἢ ἐγγυητῶν.*

12 (N. 6 — A. 6). *Περὶ τοῦ πῶς δεῖ χειροτονεῖσθαι τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους, ἄῤῥενας καὶ θηλείας, καὶ ποῖα ἐπιτίμια κατὰ τῶν παραβαινόντων τὸν τύπον τῆς διατάξεως.*

Const.

102 (N. 82 — A. 83). *Περὶ τῶν δικαστῶν καὶ ὥστε μεθ' ὅρκου μὴ αἱρεῖσθαι.*

103 (N. 86 — A. 128). *Ὥστε ὑπερτιθεμένους τοὺς ἄρχοντας ἀκούειν τῶν τοῦ προσιόντος δικαίων συνελαύνεσθαι παρὰ τῶν ἐπισκόπων τοῦτο πράττειν. καὶ ὥστε ἡνίκα τὶς ἐν ὑπονοίᾳ ἔχει τὸν ἄρχοντα, συνακροατὴν τῆς δίκης λαβεῖν τὸν τῆς πόλεως ἐπίσκοπον. καὶ περὶ τοῦ τοὺς ἐπηρεαζομένους ὑπὸ ἄρχοντος τῷ ἐπισκόπῳ προσιέναι. καὶ περὶ ἑτέρας παραφυλακῆς ὑπὸ ἐπισκόπων ὀφειλούσης πάντως κρατύνεσθαι παρὰ ἀρχόντων γενέσθαι.*

104 (N. 83 — A. 84). *Περὶ τοῦ τοὺς κληρικοὺς τοῖς ἐπισκόποις ἀποκρίνεσθαι.*

105 (N. 84 — A. 85). *Περὶ τῶν ὁμοπατρίων καὶ ὁμομητρίων ἀδελφῶν.*

106 (N. 87 — A. 87). *Περὶ μόρτις καύσα δωρεᾶς ἐκ βουλευτῶν γινομένης.*

107 (N. 162). *Θεῖος τύπος περὶ διαφόρων κεφαλαίων.*

108 (N. 85 — A. 86). *Περὶ τῶν ὅπλων.*

109 (N. 101 — A. 101). *Περὶ βουλευτῶν.*

110 (N. 88 — A. 88). *Περὶ παρακαταθήκης καὶ διαμαρτυρίας ἐνοίκων, καὶ περὶ ἀναρτήσεως χορηγίας ἄρτων.*

111 (N. 89 — A. 89). *Περὶ τῶν νόθων.*

112 (N. 90 — A. 90). *Περὶ μαρτύρων.*

113 (N. 91 — A. 93). *Ὥστε ἀπαιτήσεως οὔσης προικὸς πρώτης τε καὶ δευτέρας, ὡς τοῦ ἀνδρὸς δευτερογαμήσαντος, προτιμᾶσθαι τὴν προτέραν γυναῖκα ἢ τοὺς ἐκ τοῦ προτέρου γάμου παῖδας. καὶ ὥστε εἰ βουληθείσης τῆς γυναικὸς ἤτοι τοῦ καταγράψαντος ὑπὲρ αὐτῆς τὴν προῖκα δοῦναι τῷ ἀνδρὶ τὰ καταγραφέντα ἀναβάλλεται ὁ ἀνὴρ ὑποδέξασθαι, λυθέντος τοῦ γάμου ἀπαιτεῖσθαι αὐτὸν τὴν ὑπ' αὐτοῦ καταγραφεῖσαν προγαμιαίαν δωρεάν.*

114 (N. 92 — A. 91). *Περὶ τῶν εἰς τοὺς παῖδας ἀμέτρων δωρεῶν.*

115 (N. 93 — A. 100). *Περὶ ἐφέσεως. ὥστε εἰ κινουμένης δίκης παρὰ ἐφέτῃ ἐπὶ αἱρετοὺς ἔλθωσιν οἱ λιτιγάτορες καὶ ἐν τῷ τοσούτῳ διαδράμοι ἡ διετία καὶ συμβῇ ἐπὶ τὸν ἐφέτην αὖθις τὴν δίκην ἐπανελθεῖν, μὴ ἀντιτίθεσθαι τὴν τῆς διετίας παραδρομὴν ἀπὸ τοῦ νικήσαντος.*

116 (N. 94 — A. 92). *Ὥστε ἀκωλύτως ἐπιτροπεύειν τὰς μητέρας τῶν παίδων, εἰ καὶ ὑπευθύνους αὐτοὺς ἔχοιεν ἢ καὶ εἶεν αὐτοῖς ὑπεύθυνοι, καὶ μηδὲ ὅρκον ὑπεχούσας ὡς οὐ δευτερογαμοῦσιν.*

117 (N. 95 — A. 94). *Ὥστε τοὺς ἄρχοντας πεντήκοντα ἡμέρας μετὰ τὴν ἀρχὴν ἐν ταῖς ἐπαρχίαις διατρίβειν, εἴτε στρατιωτικὴν εἴτε πολιτικὴν ἔχοιεν ἀρχήν.*

II. Chronologia

CLXXIV Constitutionum Iustiniani extravagantium.

533. *Iustiniano A. III cos. imperii a. VI ind. 11.*

1. K. Febr. Belisario [duci Or.]

Iustiniano A. III cos. imp. a. VII ind. 12.

2. XV K. Dec. Hermogeni mag. off.
3. XVII K. Ian. Ioanni P. P. [Or. iterum].

534. *Iustiniano A. IV et Paulino coss. imp. a. VIII. ind. 12.*

4. K. Iun. Ioanni P. P. [Or. iterum].
5. ? Ioanni P. P. [Or. iterum].
6. ? [Ioanni P. P. Or. iterum].
7. ? Papio.

535. *Belisario [et Eutropio] coss. imp. a. VIII ind. 13.*

8. K. Ian. Salomoni P. P. Africae.
9. K. Ian. Ioanni P. P. Or. [iterum] excons.
10. XVII K. April. Hermogeni mag. off.
11. XVII K. April. Ioanni P. P. [Or. iterum excons.].
12. XVII K. April. Epiphanio patriarchae CP.
13. XVII K. Apr. Epiphanio patriarchae CP.
14. XVII K. Apr. Epiphanio patriarchae CP.

Belisario [et Eutropio] coss. imp. a. IX ind. 13.

15. XVII K. Mai. Epiphanio patriarchae CP.
16. XVII K. Mai. Ioanni P. P. [Or.] iterum excons.
17. XVII K. Mai. Ioanni patriarchae veteris Romae.
18. XVII K. Mai. Hermogeni mag. off. excons.
19. XVII K. Mai. Catelliano archiep. Primae Iustinianae.
20. XVII K. Mai. Arsilio praesidi Tarsi.
21. XVII K. Mai. Triboniano quaestori excons.
22. XV K. Iun. Floro comiti R. P.
23. XV K. Iun. Ioanni P. P. Or. iterum excons.
24. XV K. Iun. Ioanni P. P. Or. iterum excons.
25. XV K. Iun. Ioanni P. P. Or. iterum excons.
26. XV K. Iun. Ioanni P. P. Or. iterum excons.
27. XV K. Iun. Triboniano Quaestori.
28. [XV] K. Iun. Constantinopolitanis.
29. XVII K. Iul. Agerochio praesidi Haemimonti.
30. XVII K. Iul. Dominico P. P. Illyr.
31. XVII K. Aug. Ioanni P. P. [Or. iterum excons.].

32. XVII K. Aug. Ioanni P. P. [Or. iterum excons.].
33. XVII K. Aug. [Ioanni P. P. Or. iterum excons.].
34. XVII K. Aug. Salomoni P. P. Africae.
35. XVII K. (?) Aug. Ioanni P. P. [Or.] iterum excons.
36. XVII K. (?) Aug. Anthemio patriarchae.
37. XV K. Sept. [Ioanni P. P. Or. iterum excons.].

Belisario [et Eutropio] coss. imp. a. IX ind. 14.

38. XVII K. Oct. Constantinopolitanis.
39. K. Dec. Constantinopolitanis.

536. *Post cons. Belisarii imp. a. IX ind. 14.*

40. III Non. Ian. Tribuniano mag. off. et quaestori S. P.
41. XV K. Mart. Ioanni P. P. Or. iterum excons.
42. XV K. Mart. Ioanni P. P. Or. iterum excons.
43. XV K. April. Ioanni P. P. Or. iterum excons.
44. XV K. April. Ioanni P. P. [Or.] iterum excons.
45. XV K. April. Ioanni P. P. Or. iterum excons.
46. XV K. April. Ioanni P. P. [Or.] iterum excons.
47. XV K. April. Acacio procons. Armeniae.
48. XV K. April. Ioanni P. P. Or. iterum excons.
49. XV K. (?) April. Strategio comiti S. L.

Post cons. Belisarii imp. a. X ind. 14.

50. XV K. Maii. Ioanni P. P. Or. iterum excons.
51. XV K. Iun. Petro archiepisc. Hierosolymit.
52. XV K. Iun. Bono quaestori exercitus.
53. XV K. (?) Iun. Ioanni P. P. [Or.] iterum excons.
54. K. Iul. Ioanni P. P. [Or.] iterum excons.
55. ? Ioanni P. P. [Or.] iterum excons.
56. VIII Id. Aug. Menae patriarchae.
57. ? Floro comiti R. P.
58. ? Floro comiti R. P.
59. ? Triboniano quaestori (?).

537. *Post cons. Belisarii iterum imp. a. XI ind. 15.*

60. XVI K. Iun. Longino P. U.
61. XV K. Sept. Ioanni P. P. [Or.] iterum excons.
62. XV K. Sept. Ioanni P. P. [Or.] iterum excons.
63. XV K. Sept. Ioanni P. P. [Or.] iterum excons.
64. XV K. Sept. Ioanni P. P. [Or.] iterum excons.
65. XV K. Sept. Ioanni P. P. [Or.] iterum excons.

Post cons. Belisarii iterum imp. a. XI ind. 1.

66. K. Sept. Ioanni P. P. [Or.] iterum excons.
67. K. Sept. Bono quaestori Iustiniano exercitus.

68. K. Sept. Ioanni P. P. Or. iterum excons.
69. K. Sept. Ioanni P. P. [Or.] iterum excons.
70. K. Sept. Ioanni P. P. [Or.] iterum excons.
71. K. Octob. Ioanni P. P. Or. iterum excons.
72. XV K. Nov. Menae patriarchae.
73. XV K. Nov. Menae patriarchae.
74. III Non. Nov. Menae patriarchae.
75. III Non. Nov. Ioanni P. P. Or. iterum excons.
76. III Non. Nov. Ioanni P. P. Or. iterum excons.
77. K. Dec. Ioanni P. P. Or. iterum excons.
78. K. Dec. Ioanni P. P. Or. iterum excons.
79. K. Dec. (?) Triboniano quaestori S. P.
80. V K. Ian. Ioanni P. P. [Or. iterum excons.].
81. V K. Ian. Strategio comiti S. largitionum, Ioanni P. P. [Or.] iterum excons., Longino P. U.
82. ? Dominico (P. P. Illyrici?)

538. *Ioanne [et Volusiano] coss. imp. a. XI ind. 1.*
83. XIV K. Febr. Longino P. U.
84. VII Id. Mart. Longino P. U.
85. X K. April. Iustiniano rectori Mysiae.

Ioanne [et Volusiano] coss. imp. a. XII ind. 1.
86. K. Maii. Ioanni P.P. Or. iterum excons. [cons. ordinario].
87. K. Maii. Menae patriarchae.
88. K. Iun.? Ioanni P. P. Or. iterum excons. [cons. ordinario].
89. K. Iun. Constantinopolitanis.
90. K. Iun. Ioanni P. P. Or. iterum excons. [cons. ordinario].
91. K. Iun. Ioanni P. P. Or. iterum excons. cons. ordinario.
92. K. Iun. Ioanni P. P. Or. iterum excons. cons. ordinario.
93. K. Iun.? Ioanni P. P. Or. iterum excons. [cons. ordinario].
94. K. Iun.? Ioanni P.P. Or. iterum excons. [cons.] ordinario.

Ioanne [et Volusiano] coss. imp. a. XII ind. 2.
95. Id. Oct. Ioanni PP. [Or.] iterum excons. [cons. ordinario].
96. ? Ioanni P. P. Or. iterum excons. [cons. ordinario]?

539. *Apione cons. imp. a. XII ind. 12.*
97. XV K. Febr. Ioanni P. P. Or. iterum excons. ordinario.
98. VI Id. Mart. Menae patriarchae (Ioanni P. P. Or. iterum excons. [ord.]).
99. VI Id. Mart. Ioanni P. P. [Or.] iterum excons. [ordin.].
100. XV K. April. Ioanni [P. P. Or. Menae patriarchae].
101. XV K. April. Senatui.
102. XV K. April. Ioanni P. P. per Or. excons. [ordinario].

Apione cons. imp. a. XIII ind. 2.

103. XV K. Mai. Edictum.
104. XV K. Iun. Ioanni P. P. Or. iterum excons. ordin.
105. XV K. Iun. Ioanni P. P. Or. iterum excons. ordin.
106. XV K. Iun. Ioanni P. P. Or. iterum excons. ordin.
107. XV K. Iun. Dominico P. P. Illyr.
108. VII K. Iul. Basilidi mag. offic.
109. Kal. Aug. Ioanni P. P. Or. iterum excons. [ordin.].

Apione cons. imp. a. XIII ind. 3.

110. K. Sept. Ioanni P. P. Or. iterum excons. ordin.
111. K. Sept. Ioanni P. P. Or. iterum excons. ordin.
112. K. Oct. Ioanni P. P. Or. iterum excons. ordin.
113. K. Oct. Ioanni P. P. Or. iterum excons. ordin.
114. K. [?] Oct. Ioanni P. P. Or. iterum excons. ordin.
115. K. [?] Oct. Ioanni P. P. Or. iterum excons. ordin.
116. K. [?] Oct. Ioanni P. P. Or. iterum excons. ordin.
117. K. Nov. Ioanni P. P. Or. iterum excons. ordin.
118. K. Nov. Ioanni P. P. Or. iterum excons. ordin.
119. XV K. Dec. Ioanni P. P. [Or.] iterum excons. [ordin.].
120. XV K. Ian. Ioanni P. P. [Or.] iterum excons. [ordin.].
121. XV K. Ian. Ioanni P. P. [Or.] iterum excons. [ordin.].
122. XV K. Ian. Ioanni P. P. [Or.] iterum excons. [ordin.].

540. *Iustino cons. imp. a. XIV ind. 3.*

123. VII Id. April. Dominico P. P. Illyrici.

Iustino cons. imp. a. XIV ind. 4.

124. VII Id. Sept. Ioanni P. P. [Or.] iterum [excons. ordin.].
125. . . . . [Lazaro comiti Orientis?].

541. *Basilio cons. imp. a. XIV ind. 4.*

126. K. Febr. Basso vicario Ioannis P. P. [Or.] iterum excons. [ordin.].
127. K. Febr. Basso vicario Ioannis P. P.

Basilio cons. imp. a. XV ind. 4.

128. VI K. Mai. Basso vicario (?) Ioannis P. P. [Or.] iterum excons. [ordin.].
129. VI K. Mai. Basso vicario Ioannis P. P.
130. K. Iun. Theodoto P. P. [Or.] et Eliae P. P. Illyrici.

Basilio cons. imp. a. XV ind. 5.

131. III Id. Sept. Theodoto P. P. per Orientem.
132. Prid. non. Oct. Daciano metropolitano Vizacii.
133. K. Nov. Theodoto P. P. [Or.].

134. X K. Dec. Theodoto P. P. [Or.].
135. Prid. Id. Dec. Menae (Eliae?) P. P. Illyrici.

542. *Post cons. Basilii imp. a. XV ind. 5.*
136. K. Febr. Theodoto P. P. Or.
137. K. Mart. Iuliano (advocato?).

Post cons. Basilii imp. a. XVI ind. 5.
138. V Id. April. Theodoto P. P. [Or.].
139. K. Mai. Lazaro comiti Orientis.

Post cons. Basilii imp. a. XVI ind. 6.
140. IV K. Nov. Daciano metropolitano Vizacii.
141. XV K. Ian. Theodoto P. P. Or.
142. ? ?

543. *Post cons. Basilii iterum imp. a. XVII ind. 6.*
143. XVII K. Aug. Petro P. P. Or.

Post cons. Basilii iterum imp. a. XVII ind. 7.
144. Id. Oct. Petro P. P. [Or.] et Gabrieli P. U.

544. *Post cons. Basilii III imp. a. XVII ind. 7.*
145. XIII K. Febr. Petro P. P. [Or.].
146. X K. April. [Petro P. P. Or.].

Post cons. Basilii III imp. a. XVIII ind. 7.
147. Non. April. Constantinopolitanis.
148. VII Id. Mai. Petro P. P. Or.
149. Prid. Id. Iul. [Lazaro comiti Or.?].

545. *Post cons. Basilii IV imp. a. XVIII ind. 8.*
150. K. Mart. Petro P. P. [Or.].
151. XV K. April. Petro P. P. [Or.].

Post cons. Basilii IV imp. a. XIX ind. 8.
152. VIII Id. Iun. Petro P. P. [Or.].

Post cons. Basilii IV imp. a. XIX ind. 9.
153. XVIII K. Ian. Petro P. P. [Or.].
154. ? ?

546. *Post cons. Basilii V imp. a. XX ind. 9.*
155. K. Mai. Petro mag. offic. et Petro P. P.
156. ? Theodoto P. P. [Or. et]? [Quaestori].

548. *Post cons. Basilii VII imp. a. XXII ind. II.*
157. K. Sept. Basso P. P. [Or.] (Athan.: Theodoto P. P.).
158. XV K. Oct. Basso P. P. [Or.] (Athan.: Eugenio P. P.).

551. *Post cons. Basilii X imp. a. XXV ind. 14.*
159. XVII K. Iul. Addaeo P. P. [Or.].

552. *Post cons. Basilii XI imp. a. XXVI ind. 1.*
160. VIII Id. Septembr. Paulo P. P. Africae.

553. *Post cons. Basilii XII imp. a. XXVI ind.* 1.
161. VI Id. Febr. Areobindo P. P. [Or.].
162. VI Id. Febr. Areobindo P. P. [Or.].

Post cons. Basilii XII imp. a. XXVII ind. 1.
163. XVII K. Mai. Areobindo P. P. Or.

554. *Post cons. Basilii XII imp. a. XXVIII ind. 2.*
164. Id. Aug. Narsi praeposito S. cubiculi, Antiocho P.[P.] per Italiam.

555. *Post cons. Basilii XIV imp. a. XXIX ind. 3.*
165. K. Iun. Petro P.P. [Or.] iterum. (Ath.: Musonio P. U.)

556. *Post cons. Basilii XV imp. a. XXX ind. 4.*
166. K. Mai. Musonio P. U. (et Petro P. P. Or.).

557. *Post cons. Basilii XVI imp. a. XXX ind. 5.*
167. VI K. Mart. [. . . praetori Thraciae?].
168. ? Narsi Panfronio et Senatui.

558. *Post cons. Basilii XVII imp. a. XXXII ind. 7.*
169. X K. Oct. Iohanni P. P. per Africam.
170. XV K. Dec. Marthanae comiti R. P.

559. *Post cons. Basilii XVIII imp. a. XXXII ind. 7.*
171. Id. Mart. Constantinopolitanis.

Post cons. Basilii XVIII imp. a. XXXIII ind. 8.
172. VI K. Ian. Petro P. P. Or. iterum.

563. *Post cons. Basilii XXII imp. a. XXXVII ind. 11.*
173. XII K. Iun. Areobindo [P. P. Africae] et Leoni [P. P. Italiae?].

565. *Post cons. Basilii XXIV imp. a. XXXIX ind. 13.*
174. K. April. Petro magistro officiorum.

III.

Tabula qua indicatur quo numero in nostra collectione collocatae sint constitutiones Iustiniani quae in vulgata Collectione 168 Novellarum et XIII Edictis servatae sunt.

Vulgo.		Nobis.	Vulgo.		Nobis.	Vulgo.		Nobis.
1	—	IX	37	—	XXXIV	73	—	XCIII
2	—	X	38	—	XLI	74	—	XCIV
3	—	XIV	39	—	L	75	—	LXXIX
4	—	XI	40	—	LI	76	—	XCV
5	—	XIII	41	—	LII	77	—	XXVIII
6	—	XII	42	—	LVI	78	—	XCVII
7	—	XV	43	—	LX	79	—	XCVIII
8	—	XVI	44	—	LXI	80	—	XCIX
9	—	XVII	45	—	LXII	81	—	CI
10	—	XVIII	46	—	LXIII	82	—	CII
11	—	XIX	47	—	LXVI	83	—	CIV
12	—	XXII	48	—	LXIV	84	—	CV
13	—	XXXVIII	49	—	LXV	85	—	CVIII
14	—	XXXIX	50	—	LXVII	86	—	CIII
15	—	XXXV	51	—	LXVIII	87	—	CVI
16	—	XXXVI	52	—	LXIX	88	—	CX
17	—	XXI	53	—	LXXI	89	—	CXI
18	—	XLII	54	—	LXX	90	—	CXII
19	—	XLIII	55	—	LXXII	91	—	CXIII
20	—	XLVI	56	—	LXXIV	92	—	CXIV
21	—	XLVII	57	—	LXXIII	93	—	CXV
22	—	XLVIII	58	—	LXXV	94	—	CXVI
23	—	XL	59	—	LXXVI	95	—	CXVII
24	—	XXIII	60	—	LXXVII	96	—	CXVIII
25	—	XXIV	61	—	LXXVIII	97	—	CXIX
26	—	XXV	62	—	LXXX	98	—	CXX
27	—	XXVI	63	—	LXXXIV	99	—	CXXI
28	—	XXXI	64	—	LXXXIII	100	—	CXXII
29	—	XXXII	65	—	LXXXV	101	—	CIX
30	—	XLIV	66	—	LXXXVI	102	—	LIII
31	—	XLV	67	—	LXXXVII	103	—	LIV
32	—	XXIX	68	—	LXXXVIII	104	—	LXXIX
33 }	—	XXX	69	—	LXXXIX	105	—	LXXXI
34 }			70	—	XC	106	—	CXXIV
35	—	XXVII	71	—	XCI	107	—	CXXVI
36	—	VIII	72	—	XCII	108	—	CXXVII

Vulgo.		Nobis.	Vulgo.		Nobis.	Vulgo.		Nobis.
109	—	CXXIX	130	—	CL	155	—	I
110	—	CXXVIII	131	—	CLI	156	—	CXXV
111	—	CXXX	132	—	CXLVII	157	—	CXXXIX
112	—	CXXXI	133	—	C	158	—	CXLIX
113	—	CXXXIV	134	—	CLXVI	159	—	CLXV
114	—	CXXXIII	135	—	CLXVII	160	—	VII
115	—	CXXXVI	136	—	XLIX	162	—	CVII
116	—	CXXXVIII	137	—	CLXXIV	165	—	LXXXII
117	—	CXLI	138	—	II	Ed. 1	—	XVI
118	—	CXLIII	139	—	LVIII	Ed. 2	—	V
119	—	CXLV	141	—	CLXXI	Ed. 3	—	XXXIII
120	—	CXLVIII	142	—	CLXX	Ed. 4	—	LV
121	—	XX	143	—	CLXXIII	Ed. 5	—	CXXX
122	—	CXLVI	145	—	CLXI	Ed. 6	—	CXLVI
123	—	CLV	146	—	CLXII	Ed. 7	—	CXXXVII
124	—	CLIII	147	—	CLXIII	Ed. 8	—	CLVIII
125	—	CXLIV	150	—	CLXXIII	Ed. 9	—	LIX
126	—	CLVI	151	—	III	Ed.10	—	VI
127	—	CLVII	152	—	IV	Ed.11	—	CLXXII
128	—	CLII	153	—	CXXXV	Ed.12	—	XXXVII
129	—	CLIX	154	—	LVII	Ed.13	—	XCVI

IV.

Tabula qua ordo Authentici cum nostra collectione comparatur.

Auth.		Nobis.	Auth.		Nobis.	Auth.		Nobis.
1	—	IX	15	—	XXXV	29	—	XXXII
2	—	X	16	—	XXXVI	30	—	XLIV
3	—	XIV	17	—	XXI	31	—	XLV
4	—	XI	18	—	XLII	32	—	LIII
5	—	XIII	19	—	XLIII	33	—	LIV
6	—	XII	20	—	XLVI	34	—	LXXXI
7	—	XV	21	—	XLVII	35, 36	—	XXX
8	—	XVI	22	—	XLVIII			
9	—	XVII	23	—	XL	37	—	XXVII
10	—	XVIII	24	—	XXIII	38	—	VIII
11	—	XIX	25	—	XXIV	39	—	XXXIV
12	—	XXII	26	—	XXV	40	—	XLI
13	—	XXXVIII	27	—	XXVI	41	—	L
14	—	XXXIX	28	—	XXXI	42	—	LI

Auth.		Nobis.	Auth.		Nobis.	Auth.		Nobis.
43	—	LVI	74	—	XCIV	105	—	CXXVIII
44	—	LX	75	—	XCII	106	—	CXXX
45	—	LXI	76	—	XCIII	107	—	CXXXI
46	—	LXIII	77	—	XCV	108	—	CXXXVIII
47	—	LXIV	78	—	XXVIII	109	—	CXXXIII
48	—	LXVI	79	—	XCVII	110	—	CXXXIV
49	—	LXVII	80	—	XCVIII	111	—	CXXXVI
50	—	LXVIII	81	—	XCIX	112	—	CXLI
51	—	LXIX	82	—	CI	113	—	CXLIII
52	—	LXII	83	—	CII	114	—	CXLV
53	—	LXXI	84	—	CIV	115	—	CXLVIII
54	—	LXX	85	—	CV	116	—	CXLIV
55	—	LXXII	86	—	CVIII	117	—	CLIII
56	—	LXXIV	87	—	CVI	118	—	CL
57	—	LXXIII	88	—	CX	119	—	CLI
58	—	LXV	89	—	CXI	120	—	CLVII
59	—	LXXV	90	—	CXII	121	—	CLVIII
60	—	LXXVI	91	—	CXIV	122	—	CLIX
61	—	LXXVII	92	—	CXVI	123	—	CLXI
62	—	LXXVIII	93	—	CXIII	124	—	CLXII
63	—	LXXIX	94	—	CXVII	125	—	CLXIII
64	—	LXXX	95	—	CXVIII	126	—	CLXV
65	—	LXXXIII	96	—	CXIX	127	—	CLXVI
66	—	LXXXIV	97	—	CXXI	128	—	CIII
67	—	LXXXV	98	—	CXXII	129	—	CXXIV
68	—	LXXXVI	99	—	CXX	130	—	CXLVII
69	—	LXXXVII	100	—	CXV	131	—	C
70	—	LXXXVIII	101	—	CIX	132	—	CLXXIII
71	—	XCI	102	—	CXXVI	133	—	CLII
72	—	XC	103	—	CXXVII	134	—	CLV
73	—	LXXXIX	104	—	CXXIX			

Addenda et corrigenda.

Pag.

10 not. 4ª adde: sive lege *οἵ δέ γε πράκτορες.*

11 lin. 8 lege *κοιαίστωρος.*

14 not. 7 adde: nam *δὲ* quod praecedenti *μὲν* respondeat infra demum c. 5 §. 1 sequitur verbis *τοὺς δέ γε βεβλαμμένους κτλ.*

24 lin. 6 *τῶν εἰς ἀνδράσιν ἀφωρισμένα?* — ad not. 29 adde: nisi *αὐτὸν* (i. e. non per alios) legere malueris.

34 „ 10 *καὶ* ante *χωρὶς* delendum esse videtur.

38 „ 7 lege *δίκῃ.*

40 not. 20 lege *τῶν* pro *τοῖς.*

44 lin. 14 lege *τοιαύτας.*

50 „ 4 dele verba *τούς τε ὁμοπατρίους.*

53 „ 11 lege *ληγάτον.* — lin. 13 legerim aut *εἶναι* pro *ἔχειν,* aut *ἐντιθέναι* (cum Hal.) pro *ἐντεθῆναι.*

61 not. 2 dele ultimum comma. nimirum oratio sic procedit: *ἀφοριζόντων τῶν χαρτουλαρίων τινας τεταγμένους.*

62 lin. 22 comma post *ὑποκεῖσθαι* ponendum, et lin. 23 legendum *καὶ τὰς τούτων τάξεις τούς τε ἐκδ.*

65 „ 21 *ἄλλος?*

67 „ 5 pro *τοῦτο* legerim *τοῦτον* (sc. *τὸν κλῆρον*) vel *ταῦτα* (sc. *τὰ πράγματα*).

75 „ 5 lege *νόμων.* — lin. 25 ad v. *νόμῳ* alleganda est c. XCIV.

76 „ 10 ad v. *Θεοδόσιος* cf. l. 3 C. de nat. lib.

77 „ 3 post verbum *διάταξις* claudatur parenthesis.

78 „ 10 *οὗτος?*

83 ad not. 22 adde: nam constitutio eius argumenti non extat.

84 „ „ 23 adde: videsis c. XCIV c. 1.

Pag.

91 lin. 20 ad verba *πρότερον μὲν* notes, desiderari in sequentibus *ἔπειτα δὲ* vel simile quid, quod istis respondeat. unde in verbis *πρότερον μὲν* vitium latere videtur: forte *προλέγομεν*.

92 Excidit rubrica c. CXII sic: *Περὶ μαρτύρων*.

110 lin. 4 sq. *παίδων*.

114 lin. 6 a fine lege *αὐτῆς* cum Hal.

128 „ ult. lege *βουλόμενον*.

130 „ 6 a fine comma post *παισί* ponatur.

137 „ 9 a fine ad *συνελόντα* notes, apud Hal. rectius legi *συνελόντι*.

138 „ 17 *τεσσαρεσκαιδεκάτῳ ἐνιαυτῷ*? ita Auth. legit. post *ἐνιαυτὸν* sive *ἐνιαυτῷ* comma ponendum.

141 „ 13 *ἐπὶ τοῖς θαλαττίοις*?

154 „ 1 lege *μέσον*.

157 post lin. 2 forte addenda erat rubrica [*Περὶ τοῦ χρόνου τῶν ἁρμοζουσῶν ἀγωγῶν τοῖς εὐαγέσι τόποις*], quam Ven. et Flor. praestant, licet proprie ad Theodori summam pertineat.

158 lin. penult. lege *fuit* pro *fecit*.

174 ad not. 5 sanctam?

180 „ „ 2 adde: forte *περὶ πάντως βαρβ*.

200 „ „ 9 adde: cf. cap. 8 §. 1 „*τῆς δεούσης ἐπικουρίας*". possis etiam legere *ἐνδούσης*. — Ibid. not. 13 lege: *vix* intellegi videtur, nec de c. CLXVII c. 1 cogitari potest.

201 lin. 13 *ὁποίαν*? scil. *προνομίαν*.

202 „ 21 lege *δεδομένοις*.

208 not. 3 dele verba: „quod forte praestat".

210 ad not. 8 adde: sed cf. c. CLXIV in fine.

224 lin. 12 colon post *διορίζομεν* ponendum est, quia quod cap. 14 pergitur *εἰ δὲ*, pertinet ad ea quae praecedunt *τὰς εἰρημένας μὲν κτλ.*

227 „ 11 lege *μιττευέτω*.

248 „ 10 colon post *λαμβάνειν* excidit.

266 „ 3 post *πόλει* nonnulla deesse videntur.

267 „ 11 lege *δεχόμεθα*.

268 „ 3 *Κατὰ τὸν ὅμ. τρόπον*?

274 „ 7 a fine ad verba *εἰ δέ τις* nota: scilicet *τῶν αἱρετικῶν*?

Pag.
291 lin. 6 lege περιουσίας. — lin. 7 a fine ἤ τι.
293 „ 11 a fine. in Codice Bodl. scribitur κρυφά.
300 „ 2 καὶ βουλευτικῆς τύχης?
301 „ 5 a fine dele φο-
305 „ 5 lege πόλεως.
309 „ 13 θειότατος (utpote insolita appellatio episcopi) fortassis in ὁσιώτατος mutandum est.
337 not. 2ª delenda est.
339 „ 10 delenda est.
341 „ 4 delenda, et in textu „triumfator" ponendum est. — lin. 8 a fine lege *contemserint*.

Nota: In Parte I pag. 219 lin. 8 legerim στατούτων. Ibid. pag. 545 lin. 2 ἐπιδεδομένων lege.